I
00101
I

Aristotelis opera

MORALI.

Ar$i.

Grec

V

12.

2-1036-6

BIBLIOTECA
DE LA
UNIVERSIDAD DE SALAMANCA.

Sala Est. Tab. Núm.

2-1036-6



N2 404

~~Moralia Aristot. graeca~~

2-10-8

2-10-

Varios tratados de Aristoteles

I
00101

b18630522

τάδε ἔνεστιν ἐν τῇδε τῇ βίβλῳ.

Ἀριστοτέλους ἠθικῶν νικομαχείων	βιβλία	δέκα.
Τοῦ αὐ τοῦ πολιτικῶν	βιβλία	ὀκτώ.
Τοῦ αὐ τοῦ οἰκονομικῶν	βιβλία	δύο.
Τοῦ αὐ τοῦ μεγάλων ἠθικῶν	βιβλία	δύο.
Τοῦ αὐ τοῦ ἠθικῶν εὐδημίων	βιβλία	ὀκτώ.

Hæc Aristotelis uolumina in hoc libro impressa continentur.

Ethicorum ad Nicomachum	libri.	x.
Politicorum	libri	viii.
Oeconomicorum	libri	ii
Magnorum moralium	libri	ii.
Moralium ad Eudemum	libri	viii.

Num. 38. cap. 1. num. 12.

Aldus Manutius Romanus Alberto pio Carporum Principi. S. D. P.

Iure qdem Alberte Príceps inclyte, logicos, phyſicoſq; Ariſtótelis libros cura nra formis excuſos ſub tuo noíe publicauimus. qm̃ tu illis aſſidue ſic das operã, ut iã excellas iudicio doctorũ hominũ. Sed lõge cõueniẽtius morales hos, œconomicósq;, ac politicos Ariſtótelis libros tibi dicamus, cũ ſis et princeps, et ad regẽdum natus príceps, atq; optimis moribꝰ et doctrína p̃ditus. Accipe igr̃ et hos qua fronte cæteros phí libros ſub tuo editos noíe accepiſti. His n. libris quo nã modo ſe qsq; optime regat triplici editione Ariſtoteles docet. Item quéadmodum res priuata, et familia. Res pu. et ciuitas gubernanda ſit, docte et prudéter oſtendit. Hæc oía nos ſumma cura, et diligẽtia cõpreſſa tradimus. Quáq; ad Eudemũ moralia, qa unũ dúnta xat exẽplar hére potuimus, offendẽt nõnunq; & tuas, et aliorũ doctiſſimas aures. Item æconomica potius fragméta quædã, q̃ liber íteger et abſolutus uidebuntur. Atq; utinã id omne qđ eſt a Leonardo Aretino in latinũ traductũ dare potuiſſem. qđ ut haberemus, Romã. Florétiá. Mediolanũ. í Græciã. adipſos quoq; diuiſos toto orbe Britãnos, et quo non? miſimus. nec niſi, quod etiam Venetiis habebatur, accepimus. Atq; hic é ſextus méſis, ex quo penè abſolutos hos libros, dú id, qđ derat, expectaremus, nõ ſine magno incõmodo ítermiſimus. hoc é ſecũdum a Leonardo tralatum librũ. q latine íncipit, Probã mulíeré. Quicũ a nobis nuſq; íuenire tur, í eius locũ, aliud qddã, etſi ad politica magis, q̃ ad œconomica ſpectare uidetur, ſtudioſis damus, daturi et id parũ, qđ deeſt, cũ p̃mum héri poterit. Videãt igitur qdã uel ingrati, uel inuidi, uel maleuoli, q̃ ſit difficile qualeſcúq;, nedũ emẽdatos im primẽdos curare Ariſtótelis libros, cæterorũq; illuſtrium praros inuẽtu. Sed ſemp mundus fuit malus. ſemp ingratus benefactoribus. Non miror itaq;, ſi in mundi odium euectus Sotades ín hæc carmina erupit.

Αυτὸς γαῤ ἐὼν πανταχηῆσ ὁ πάρτα γρυνῶν.
Ουκ ἐρίνει δικαίωσ τὸν κατ̓ ἄνθρωπον ἔπασον.
Καὶ γὰρ κατὰ χώραν τὰ καλὰ πέφυκεν ἀεί.
Καὶ γοῖσ μεγάλοισ ἀεὶ κακοῖσ γίνεθ̓ κόσμοσ.
Οτι πάντεσ ὅσοι περιστὰν ἠθέλησαν οὐρεῖν,
Η μηχανικὸν πόνημα, ἢ σοφὸν μάθημα,
Ουχὶ κακὸν εἰς γὰν θεῖναι πρὸ τέλοσ ἐπόησαν
Υπὸ τοῦ πανήτοροσ κόσμου καλῶσ παθόντεσ.

Σωκράτην ὁ κόσμοσ ἐπῄνει σοφὸν εἶναι.
Καὶ καλῶσ ἀνεῖλε γὰν σωκράτην ὁ κόσμοσ
Εν τῇ φυλακῇ. ἰώμενον ὅτι πίων τέθνηκεν.
Πουλύποδα φαγὼν ὁ δυσγένησ μὸν τέθνηκεν.
Αισχύλῳ γράφοντι ἐπιπέπτωκε χελώνη.
Σοφοκλῆσ ἅ φαγὼν σαφυλῆσ πνιγεὶσ τέθνη
Κυνὸσ οἰκτρὰ θράκην δυσπόθων ἔρωτον. (κι.
Τὸν θεῖον ὅμηρον λιμὸσ κατέδαπάνησεν.

¶ Quanq̃ mihi í tãto odio et íuidia íprobox hominum, id ualde gaudẽdum é. q̃ íduſtria nra potiſſimum, maximíſq; laboribus effectum é, qđ maxíe cupiebamus. ut. í. reiiciendas ineptias, et barbariẽ, græcíſq; auctoribus, et bonis artibus dandã operã, iá oés, q recto ſunt iudicio cẽſeãt. cœperíntq; plurimi exẽplaria græca. nocturna uerſare manu, uerſare diurna. Gaudẽdúmq; uel id plurimum mihi é cũ tu præclarus ac doctus Princeps de hac prouincia nos multum ames fortiter tueariſ. pie foueas. Vale decus et præſidium noſtrum.

ἈΡΙΣΤΟΤΈΛΟΥΣ ἨΘΙΚΩ̂Ν ΝΙΚΟΜΑΧΕΊΩΝ, ΤῸ Α΄.



Πᾶσα τέχνη καὶ πᾶσα μέθοδος, ὁμοίως δὲ πρᾶ-
ξίς τε καὶ προαίρεσις, ἀγαθοῦ τινος ἐφίεσθαι
δοκεῖ· διὸ καλῶς ἀπεφήναντο τἀγαθόν, οὗ
πάντα ἐφίεται· διαφορὰ δέ τις φαίνεται
τῶν τελῶν· τὰ μὲν γὰρ εἰσιν ἐνέργειαι· τὰ
δὲ παρ' αὐτὰς, ἔργα τινά· ὧν δ' εἰσὶ τέλη
τινὰ παρὰ τὰς πράξεις, ἐν τούτοις βελ-
τίω πέφυκε τῶν ἐνεργειῶν τὰ ἔργα· πολλῶν δὲ πράξεων οὐ-
σῶν καὶ τεχνῶν καὶ ἐπιστημῶν, πολλὰ γίνεται καὶ τὰ τέλη· ἰατρι-
κῆς μὲν γὰρ ὑγίεια· ναυπηγικῆς δὲ, πλοῖον· στρατηγικῆς δὲ, νίκη· οἰ-
κονομικῆς δὲ, πλοῦτος· ὅσαι δ' εἰσὶ τῶν τοιούτων, ὑπὸ μίαν τινὰ ἀ-
ρετήν, καθάπερ ὑπὸ τὴν ἱππικήν, χαλινοποιητική· καὶ ὅσαι ἄλ-
λαι τῶν ἱππικῶν ὀργάνων εἰσίν· αὕτη δὲ καὶ πᾶσα πολεμικὴ πρᾶξις
ὑπὸ τὴν στρατηγικήν· τὸν αὐτὸν δὲ τρόπον ἄλλαι ὑφ' ἑτέρας· ἐν ἁπά-
σαις δὲ, τὰ τῶν ἀρχιτεκτονικῶν, τέλη πάντα εἰσὶν αἱρετώτερα τῶν ὑφ'
αὐτά· τούτων γὰρ χάριν κἀκεῖνα διώκεται· διαφέρει δ' οὐδὲν
τὰς ἐνεργείας αὐτὰς εἶναι τὰ τέλη τῶν πράξεων, ἢ παρὰ ταύ-
τας ἄλλο τι καθάπερ καὶ τῶν λεχθεισῶν ἐπιστημῶν· Εἰ δή τι τέλος
ἐστὶ τῶν πρακτῶν ὃ δι' αὐτὸ βουλόμεθα τὰ ἄλλα δὲ διὰ τοῦτο, καὶ μὴ
πάντα δι' ἕτερον αἱρούμεθα, πρόεισι γὰρ οὕτως εἰς ἄπειρον, ὥστ' εἶ-
ναι κενὴν καὶ ματαίαν τὴν ὄρεξιν, δῆλον ὡς τοῦτ' ἂν εἴη τἀγαθὸν, καὶ
τὸ ἄριστον· ἆρ' οὖν καὶ πρὸς τὸν βίον ἡ γνῶσις αὐτοῦ μεγάλ' ἔχει ῥοπήν·

καὶ καθάπερ τοξότου σκοπὸν ἔχοντες, μᾶλλον ἂν τυγχάνοιμεν τοῦ δέοντος· εἰ δ' οὕτω, πειρατέον τύπῳ γε περιλαβεῖν αὐτὸ τί ποτ' ἐστὶ καὶ τίνος τῶν ὡς ἡμῶν ἡ δι' ὅλου μέσον· δόξειε δ' ἂν καὶ ἡ πολιτικὴ φαίνεται τις εἶναι χρεὼν τῶν ὡς ἡμῶν ἐν ταῖς πόλεσι, καὶ πρᾶσις ἑκάστου μανθάνειν, καὶ μέχρι τίνος, αὕτη δι' ἃ πάσχει· ὁρῶμεν δὲ τὰς ἐν τιμοπάταις τῶν δι' ὅλου μέσων ὑπὸ ταύτην οὔσας, οἷον στρατηγικὴν οἰκονομικὴν ῥητορικήν· χωρὶς δὲ ταύτης τοῖς ἰδίοις πρακτικὰς τῶν ἐπιστημῶν, ἔτι δὲ νομοθετούσης τί δεῖ πράττειν, καὶ τίνων ἀπέχεσθαι, ἡ ταύτης τέλος περιέχοι ἂν τὰ τῶν ἄλλων· ὥστε τοῦτ' ἂν εἴη τἀνθρώπου ἀγαθόν· εἰ γὰρ ταυτόν ἐστιν ἑνὶ καὶ πόλει, μεῖζόν γε καὶ τελεώτερον τὸ τῆς πόλεως φαίνεται λαβεῖν καὶ σῴζειν· ἀγαστὸν μὲν γὰρ καὶ ἑνί, ἀλλὰ μόνῳ· κάλλιον δὲ καὶ θειότερον ἔθνει καὶ πόλεσιν, ἡμῖν ὄν μεθοδος, τούτων ἐφίεται πολιτικὴ πεῖρα. Λεκτέον δ' αὖ ἱκανῶς, εἰ καὶ τὰ τῶν ὑπαιθρίων ὕλαι διασαφηθεῖεν· τὸ γὰρ ἀκριβὲς οὐχ ὁμοίως ἐν ἅπασι τοῖς λόγοις ἐπιζητητέον, ὥσπερ οὐδὲ τοῖς δημιουργήμασιν· τὰ δὴ καλὰ καὶ τὰ δίκαια περὶ ὧν ἡ πολιτικὴ σκοπεῖται, τοσαύτην ἔχει διαφορὰν καὶ πλάνην, ὥστε δοκεῖ νόμῳ μόνον εἶναι· φύσει δὲ, μή· τοιαύτην δ' ἔστιν ἁπλανῆ ἔχειν τὰ ἀγαθά, διὰ τὸ πολλοῖς συμβαίνειν βλάβας ἀπ' αὐτῶν· ἤδη γάρ τινας ἀπώλοντο διὰ πλοῦτον· ἕτεροι δὲ διὰ ἀνδρεῖαν· ἀκριβῆ μὲν οὖν περὶ τοιούτων καὶ ἐκ τοιούτων λεγόντων, παχυλῶς τύπῳ τἀληθὲς ἐνδείκνυσθαι καὶ ἐκ τοιούτων λεγόντων, τοιαῦτα συμπεραίνεσθαι· τὸν αὐτὸν ἢ τρόπον ἢ ἀποδέχεσθαι χρεὼν ἕκαστον τῶν λεγομένων· πεπαιδευμένου δὲ ἐστὶν ἐπὶ τοσοῦτον ἐπιζητεῖν κατὰ βέβαιον ἕκαστον γένος, ἐφ' ὅσον ἡ τοῦ πράγματος φύσις ἐπιδέχεται· ἔοικε δὲ καὶ πολίτου φαίνεται μαθηματικὸν τὸν πιθανολόγον τοῦτον ἀποδέχεσθαι, μηδὲ ἔχειν ἀπαιτεῖν ἅπαντα παρ' ἑκάστου ἐπιεικῶς, ἀγνοοῦντα μὴ τούτων ὅτι μάλιστα κατὰ τὰς καθ'

κασον

καστον αὐρεῖ δὲ τοιοῦτος λόγος ἁπλῶς ἢ ὁ περὶ τῶν πολιτικῶν· ἐκ τούτων δὲ ἐστὶν οἰκεῖος ἀκροατὴς ὁ νέος· ἀπειρος γὰρ πρακτικὸς τῶν κατὰ τὸν βίον πράξεων· οἱ λόγοι δὲ ἐκ τούτων καὶ περὶ τούτων. Ἔτι δὲ τοῖς πάθεσιν ἀκόλουθητικὸς ὢν ματαίως ἀκροάσεται τοῦ πολιτικοῦ ἀνω φελῶς· ἐπειδὴ τέλος ἐστὶν οὐ γνῶσις, ἀλλὰ πρᾶξις· διαφέρει δ' οὐθὲν νέος τῷ ἡλικίαν, ἢ τὸ ἦθος νεαρὸς ὁ δὲ τοῦ ἀτελοῦς ἢ ἔλλειψις, αἰτία δὲ τὸ κατὰ πάθος ζῆν καὶ διώκειν ἕκαστα· τοῖς γὰρ τοιούτοις ἀνόνητος ἡ γνῶσις γίνεται, καθάπερ τοῖς ἀκρατέσι· τὸν δὲ κατὰ λόγον τὰς ὀρέξεις ποιουμένοις καὶ πράττουσι, πολυωφελὲς ἂν εἴη τὸ περὶ τούτων εἰδέναι· καὶ περὶ μὲν ἀκροατοῦ, καὶ πῶς ἀποδεκτέον καὶ τί προτιθέμεθα πεφροιμιάσθω τοσαῦτα. Λέγομεν δὲ αὐτὰ λαβόντες, ἐπειδὴ πᾶσα γνῶσις καὶ προαίρεσις ἀγαθοῦ τινος ὀρέγεται, τί ὅ τε λέγομεν τὴν πολιτικὴν εἶναι· καὶ τί τὸ τέλος τῶν ἀκροτάτων τῶν πρακτῶν ἀγαθόν· ὀνόματι μὲν ὃν πολλοὶ συμφωνοῦσιν· ὁμολογεῖται γὰρ τὴν εὐδαιμονίαν, καὶ οἱ πολλοὶ καὶ οἱ χαρίεντες λέγουσι· τὸ εὖ ζῆν, καὶ τὸ εὖ πράττειν, τυγχάνειν τε ὑπολαμβάνουσι τῷ εὐδαιμονεῖν· περὶ δὲ εὐδαιμονίας τί ἐστιν ἀμφισβητοῦσι· καὶ οὐχ ὁμοίως οἱ πολλοὶ τοῖς σοφοῖς ἀπαγγέλλουσιν· οἱ μὲν γὰρ τῶν ἐναργῶν τινὰ καὶ φανερῶν· οἷον ἡδονὴν ἢ πλοῦτον ἢ τιμήν· ἄλλοι δ' ἄλλο· πολλάκις δὲ καὶ ὁ αὐτὸς τὸ μὲν ὑγίειαν· πενόμενος πλοῦτον· συνιέντες δὲ ἑαυτοὺς ἀγνοιαν· φλεγόμενοι τὸ ὑπερ αὐτοὺς λέγουσι θαυμάζουσιν· ἔνιοι δὲ ᾠήθησαν τὸ μὲν ἀγαθὸν καὶ τὰ πολλὰ τῶν καλῶν, ἄλλο τι καθ' αὑτὸ εἶναι, ὃ καὶ τοῖς ἢ πᾶσιν αἴτιον ὅτου εἶναι ἀγαθά· ἅπασα μὲν οὖν βεβαιοῦσθαι τὰς δόξας μάταιον τῶν οὕτως ὄντων· ἱκανὸν ἢ τὰς μάλιστα εἰωθυίας λαζόσας, ἢ δι' ἃς δόξαι ἔχειν τινὰ λόγον· μὴ λανθανέτωσαν ἡμᾶς ὅτι διαφέρουσιν οἱ ἐπὶ τὰς ἀρχὰς καὶ οἱ ἐπὶ τὰς ἀρχάς· ᾗ γὰρ Πλάτων ἠπόρει τοῦτο καὶ ἐζήτει· πότερον ἐπὶ τὰς ἀρχὰς ἢ ἐπὶ τὰς ἀρχὰς ἔστιν ἡ ὁδός· ὡσαύτως ἔχει καὶ ἐπὶ τὰ καλὰ καὶ ἐπὶ τὸ ἀγαθόν· ἐπὶ τὸ πρῶτον γὰρ καὶ ἐπὶ τὸ γνώριμον· ἡμᾶς δεῖ πρῶτον τὸ γνώριμον· διὸ δεῖ τὰ καλὰ καὶ τὰ δίκαια καὶ ὅλως τὰ πολιτικὰ ἐξ ἐθῶν ἱκανῶς ἔχοντα παιδευθέντα· ἀρκτέον γὰρ τῶν ὅτι τοιούτων· εἰ

τοὺ μὲν γὰρ ἡμῖν, τοὺ δὲ, ἀπολλῶσ· ἴσως οὖν ἡμῖν μὲν ἀρκτέον, ἀπὸ τοῦ ἡμῖν γνωρίμων· διὸ δεῖ τοῖς ἤθεσιν ἠχθαικαλῶς τὸν τε ἐλεύθερον καὶ δίκαιον, καὶ ὅλως τῶν πολιτικῶν ἀκροατὸν μὲν ἱκανῶς· ἀρχὴ γὰρ τὸ ὅτι· καὶ εἰ τοῦτο φαίνοιτο ἀρκούντως, οὐδὲν προσδήσει τὸ διότι· ὁ δὲ τὰ ὅτι οὕτω καὶ ἔχοι ἢ λάβοι αὐτὰ ἀρχὰς ἔχα δίκως· ᾧ δὲ μηδέτερον ὑπάρχει τούτων, ἀκουσάτω τῶν Ἡσιόδου· Οὗτος μὲν πανάριστος, ὃς αὐτὸς πάντα νοήσει Φρασσάμενος· ἐπὶ καὶ ἐσθλὸς ἐκεῖνος τελέσσῃσιν ἀμείνων· ἐσθλὸς δ' αὖ κἀκεῖνος ὃς εὖ εἰπόντι πίθηται· ὃς δέκε μήτ' αὐτὸς νοέῃ, μήτ' ἄλλου ἀκούων ἐν θυμῷ βάληται· ὁ δ' αὖτ' ἀχρήϊος αὐτὲρ· ἡμεῖς δὲ λέγωμεν πόθεν παρεξόμεθα· τὸ γὰρ ἀγαθὸν καὶ τὴν εὐδαιμονίαν ὅτι ἀπὸ λόγως ἔοικασιν ἐκ τοῦ βίου ὑπολαμβάνειν· οἱ μὲν πολλοὶ καὶ φορτικώτατοι, τὴν ἡδονήν· διὸ καὶ τὸν βίον ἀγαπῶσι τὸν ἀπολαυστικόν· τρεῖς γὰρ εἰσὶ μάλιστα οἱ προέχοντες· ὁ τε νῦν εἰρημένος, καὶ ὁ πολιτικὸς, νῦν τρίτος ὁ θεωρητικὸς· ἀμέλει σὺν πολλοὶ, παντελῶς ἀνδραποδώδεις φαίνονται βοσκημάτων βίον προαιρούμενοι· τυγχάνουσι δὲ λόγου, διὰ τὸ πολλοὺς τῶν ἐν τοῖς ἐξουσίαις ὁμοιοπαθεῖν Σαρδαναπάλῳ· οἱ δὲ χαρίεντες καὶ πρακτικοὶ, τιμήν· τοῦτο γὰρ τοῦ πολιτικοῦ βίου σχεδὸν τοῦτο τὸ τέλος· φαίνεται δὲ τοῦ πολὺ τιμὴ ἐλαττόν εἶναι τοῦ ζητουμένου· δοκεῖ γὰρ μᾶλλον εἶναι τῶν τιμώντων· ἢ ὑπ' αὐτῶν τιμωμένων· τὸ ἀγαθὸν δ', οἰκεῖόν τι καὶ δυσαφαίρετον εἶναι μανθάνομεν· ἔτι δοκοῦσι διώκειν τιμὴν, ἵνα πιστεύωσιν ἑαυτοὺς ἀγαθοὺς εἶναι· ζητοῦσι δὴ ὑπὸ τῶν φρονίμων τιμᾶσθαι, καὶ ἐν οἷς σπουδάζουσιν, ἐπ' ἀρετῇ· δῆλον δὴ ὅτι κατά γε τοῦτους ἀρετή κρεῖττόν τι· τάχα δ' ἂν μάλιστ' αὐτὸς τέλος τοῦ πολιτικοῦ βίου ταύτην ὑπολάβοι· φαίνεται δὲ τελεστέρα καὶ αὕτη· δοκεῖ γὰρ ἐν δέχεσθαι τὸ καθ' ὑπάρχειν τὴν ἀρετὴν, ἢ ἐνεργεῖν· καὶ πρὸς τούτοις κακοπαθῶν καὶ ἀτυχεῖν τὸν μέγιστον ἢ οὕτω ζῶντα, ὃν εἰ καὶ οὐδὲ δαιμονίσειεν ἢ μὴ θέσιν διαφυλάττων· καὶ περὶ μὲν τούτων ἀλλ' ἱκανῶς ἐν τοῖς ἐγκυκλίοις εἴρηται καὶ αὐτῇ· τρίτος δ' ἐστὶν ὁ θεωρητικὸς.

κὸς· ὑπὲρ δ' τὴν ὠφέλιμον τοῖς ἐθομένοις πρὸς μεθά· ὃ ἔχη-
ματισμένος, δίκαιός τίς ἐστι. ἔοικε δὲ καὶ τοῦ δῆλον ὅτι, ἀλλὰ ζητοῦμεν λαβεῖν
βόν· χρήσιμον γὰρ ἡμῖν μᾶλλον ἔσεσθαι· δι' ὁμᾶλλον τὰ πρότερον λεχθέν-
τα λητέον ἢ ὑπὸ λάβοι· διὰ τὰ γράμματα φασὶ τοιοῦτον· φαίνεται δ' ὁ δ' ἐκεῖ
νος· καίτοι τοιαῦτα λοιδοροῦσι πρὸς αὐτὰ καταβέβληκεν· ταῦτα μὲν
οὖν ἀφείσθω· τὸ δὲ καθόλου βέλτιον ἴσως ἐπισκέψασθαι καὶ περὶ τα
γαθοῦ τίς λέγεται· καίτοι προσάντης φανεῖται γινόμενος ζητήσεως,
διὰ τοὺς φίλους αἴρεσθαι εἰσαγομένην τὰς εἰδέας· δόξειε δ' ἂν ἴσως βέλτιον
καὶ δεῖν ἐκπολεμοῦντας ἀλλὰ τὴν ἀλήθειαν καὶ τὰς οἰκείας αἱρεῖν, ἅλως τε
καὶ φιλοσόφους ὄντας· ἀμφοῖν γὰρ ὄντοιν φίλοιν, ὅσιον προτιμᾶν
ἀλήθειαν· οἱ δὲ νομίσαντες τοῦτο δόξαν τοῦτο,
ἐν οἷς τὸ πρότερον καὶ ὕστερον οὐ λέγεται· διόπερ οὐδὲν ἂν
καλεσκώαζον· τὸ γὰρ ἀγαθὸν λέγεται καὶ ἐν τῷ τί ἐστι, καὶ ἐν τῷ ποιῷ καὶ ἐν
τῷ πρός τι, τὸ δὲ καθ' αὐτὸ καὶ οὐσία πρότερον τῇ φύσει, τὸ πρός τι· ὥσπερ
φυάδι γὰρ τοῦτ' ἔοικε συμβεβηκότι τῷ ὄντος· ὥστ' οὐκ ἂν εἴη
κοινή τις, ἐπὶ τούτων ἰδέα· ἔτι ἐπεὶ τὰγαθὸν ἰσαχῶς λέγεται
τῷ ὄντι· καὶ ἐν τῷ τί, λέγεται· οἷον ὁ θεὸς καὶ ὁ νοῦς· καὶ ἐν τῷ ποιῷ αἱ ἀρε
ταὶ· καὶ ἐν τῷ ποσῷ, τὸ μέτριον· καὶ ἐν τῷ πρός τι, τὸ χρήσιμον· καὶ ἐν χρόνῳ
καιρὸς· καὶ ἐν τόπῳ οἰκία τοιοῦτον· δῆλον ὡς οὐκ ἂν εἴη
κοινόν τι καθόλου καὶ ἓν· ἅδε γὰρ ἂν ἐλέγετο ἐν πᾶσαις ταῖς κατηγορίαις·
ἀλλ' ἓν μία μόνη· ἔτι δὲ, ἐπεὶ τῶν κατὰ μίαν ἰδέαν, μία τις ἐπιστήμη,
καὶ ἀγαθῶν ἅπαντα, ἴσως μία τις ἂν ἐπιστήμη· νῦν δ' εἰσὶν καὶ αἱ κατὰ τὴν
μίαν κατηγορίαν, οἷον καιρὸς μὲν ἐν πολέμῳ στρατηγική· ἐν νόσῳ δὲ
ἰατρική· καὶ τὸ μέτριον τροφὴ μὲν ἰατρική· ἐν πόνοις δὲ γυμνα
στική· ἀποροίη δ' ἄν τις, τί ποτ' ἐν βούλονται λέγειν αὐτὸ καθ' ἕκα-
στον· εἰ γὰρ ἓν τὸ αὐτὸ ἀνθρώπῳ, καὶ ἵππῳ, καὶ ἐν τῷ αὐτῷ λόγῳ τὸ ἀγα-
θὸν αὐτοῦ· ἢ γὰρ αὐτὸς οὐδὲν διοίσουσιν· εἰ δ' ὅτως, οὐδ' ἓν ἀγαθόν· ἀλλὰ
μὴν τό γε τῷ αἰδίῳ εἶναι μᾶλλον ἀγαθὸν ἔσεσθαι, εἰ περ μὴ λευκότε
ρόν γε τὸ πολυχρόνιον τοῦ ἐφημέρου· πιθανώτερον δ' ἔοικασιν οἱ πυθα-
γόρειοι λέγειν καὶ ἐν τῷ ἓν ἀγαθῶν συστοιχίᾳ τὸ ἓν

οἷς δὴ μαρτυροῦσι τοῖς ἐπαινουμένοις δοκεῖ, ἀλλὰ περὶ μὲν τούτων
ἀλλ' ἐῶ λόγος· τοῖς δὲ λεγομένοις ἀμφισβήτησίς τις ὑποφαίνεται,
διὰ τὸ μὴ περὶ παντὸς ἀγαθοῦ τοὺς λόγους εἰρῆσθαι· λέγεσθαι γὰρ
ἢ καθ' ἡδονὴν εἶναι τἀγαθὸν ἢ καθ' ἡδονήν τινα καὶ ἀγαθὴν ἢ ἀγαθήν.
τοῖς δὲ ποιητικοῖς τούτων, ἢ φυλακτικοῖς ἢ σωτηρίαν ἐργάζεσθαι καὶ
τοιούτων ἕνεκα τὰ λεγόμενα ἀγαθὰ ἐστίν· δῆλον δὲ ὅτι διὰ τοῦτο
λέγεται ἕκαστα τὰ τοιαῦτα ἀγαθά· καθ' αὑτὰ δὲ τὰ τοιαῦτα χωρίσαντες
οὐκ ἂν τὸ αὐτὸ φαῖεν εἶναι ἀγαθὰ καθ' αὑτά, σκεψώμεθα δὲ καὶ
ἐκ τῶν περὶ τὴν μίαν ἰδέαν ἀγαθῶν λεγομένων· οἷον τὸ φρονεῖν ἢ ὁρᾶν ἢ
ὁτιοῦν τῶν τοιούτων ἀγαθά· ταῦτα γὰρ εἰ μὲν ἀγαθά ἐστιν οὐδὲν μᾶλλον
καθ' αὑτὰ ἀγαθὰ ἔσται τὸ αὐτὸ ἐν πᾶσιν ὑπάρχον· οὐδὲ μὴν ἡδονή τις
μία ἔσται τὸ ἀγαθόν· ἔτι δὲ διαφέρουσί τινες αἱ λόγοι ταύτης ἀγαθαὶ· ἃ γὰρ
ἀγαθὰ ὄντα καθ' αὑτὰ ἀγαθὰ κατὰ τὸν αὐτὸν λόγον ἐστίν· οὐ γὰρ ἐπὶ τοῖς
κατὰ τὸν χρόνον ὁμωνύμοις, ἀλλ' ἆρα ἐφ' ἑνός εἶναι,
ἢ πρὸς ἓν ἅπαντα συντελεῖ, ἢ μᾶλλον κατὰ ἀναλογίαν· ὡς ἐν σώματι
τὸ ὄψις, ἐν ψυχῇ νοῦς· καὶ ἄλλο δὴ ἐν ἄλλῳ· ἀλλ' ἴσως ταῦτα μὲν ἀφετέον
τοῦ νῦν· σαφέστερον γὰρ ὑπὲρ αὐτῶν, ἂν περὶ φιλοσοφίας οἰκειότερον· ὁμοίως δὲ καὶ περὶ ἡδονῆς· εἰ γὰρ ὄντι ἓν τὸ κοινὸν
καὶ καθ' ὃ ἀγαθόν, ἢ χωρίσιμόν τι αὐτὸ καθ' αὑτὸ, δῆλον ὡς
οὐκ ἂν εἴη πρακτὸν· οὐδὲ κτητὸν ἂν ᾖ· μᾶλλον δ' ἴσως τοιοῦτόν τι ζητεῖται·
τάχα δ' ἐπιδέξειεν ἂν βέλτιον εἶναι τινὰ εἰδέναι αὐτὸ πρὸς τὰ κτητὰ
καὶ πρακτὰ τἀγαθά· οἷον ὡς παράδειγμα τοῦτ' ἔχοντες
μᾶλλον εἰσόμεθα καὶ τὰ ἡμῖν ἀγαθά· καὶ εἰδότες ἐκεῖνο, ἐπιτυγχάνοιμεν
αὐτῶν· ἔστι δ' ἀνάγκη τοῦτο μὲν οὕτω ἔχειν τινὰ λόγον· οἰκεῖον τοῖς
εἰρημένοις δ' ἀφωνεῖν· πᾶσαι γὰρ ἀγαθοῦ τινος ἐφίενται, καὶ τὸ
ζητούμενον ἐπιζητοῦσαι, παραλείπουσι τὴν γνῶσιν αὐτοῦ· καίτοι βουλήσεσθαι τηλικοῦτον ἀπάντασι τοῖς τυχοῦσι ἀγνοεῖν καὶ μὴ

δεῖ

ἢ ἐωζητεῖν, οὐκ ὀλίγον· ἀλλ' ὅρον ἢ ἔστι τὸ ὠφελητὸν ἢ ὑφαιτ-
ὴ τέκτων πρὸς τὸν αὐτοῦ τέχνην· εἰδὼς αὐτὸ τἀγαθὸν, ἢ σῶσ ἱα
τρικώτερος· ἢ στρατηγικώτερος ἔσται, ὁ τὴν ἰδέαν αὐτὴν τιθεα-
μένος. φαίνεται μὲν γὰρ ἢ τὴν ὑφάν σ' ὅτως ἐπισκοπεῖν οἵα τ'
ἀλλὰ τὴν αὐτό· μᾶλλον δ' ἴσως τὴν τοῦδε καθ' ἕκαστον ἰδέαν ζητ-
ητέα· εἰ δὲ καὶ ὠφελιμὴ τούτων, ἐπιτοσοῦτον εἰρήσθω. Πάλιν δ' ἐπαν μέλ-
θωμεν ἐπὶ τὸ ζητούμενον ἀγαθόν, τί ποτ' αὖ εἶη. φαίνεται μὲν
γὰρ ἄλλο ἄλλης πράξ ως καὶ τέχνη· ἄλλο μὲν ἰατρικὴ καὶ στρατη
γικὴ, καὶ ταῖς λοιπαῖς ὁμοίως· τί οὖν ἑκάστη τἀγαθόν· ἢ οὗ χά-
ριν τἄλλα πράττει· τοῦτο δ' ἰατρικὴ μὲν ὑγίεια· ἡ στρα-
τηγικὴ δὲ νίκη· ἡ οἰκοδομικὴ δὲ, οἰκία· ἡ ἄλλῳ ἄλλο· ἐν ἅπα
σῃ δὲ πράξ ει καὶ προαιρέσει, τὸ τέλος· τοῦ γὰρ ἕνεκα, τἄλλα πρ
άττουσι πάντες· ὥστ' εἴπερ τῶν πρακτῶν ἅπάντων ἐστὶ τέλος
τοῦτ' ἂν εἴη τὸ πρακτὸν ἀγαθόν· εἰ δὲ πλείω, ταῦτα· μεταβαίνων
ἢ ὁ λόγος εἰς τὸ αὐτὸ ἀφῖκται· τοῦτο δ' ἔτι μᾶλλον δι' ἀσαφῆ-
σαι πειρατέον· ἐπεὶ δὲ πλείω φαίνεται τὰ τέλη, τούτων δ' αἱ-
ρούμεθά τινα δι' ἕτερα· οἷον πλοῦτον· αὐλοὺς· ὅλως τὸ ὄργα-
να· δῆλον ὡς οὐκ ὅσ τ' πάντα τέλεια· τὸ δ' ἄριστον, τέλεόν τι
φαίνεται· ὥστ' εἰ μία ὅστις ἐστὶ μόνον τέλεον· τοῦτ' ἂν εἴη τὸ ζη-
τούμενον· εἰ δὲ πλείω, τὸ τελειότατον τούτων· τελεώτερον δὲ λέ
γομεν τὸ καθαυτὸ διωκτόν· τὸ δι' ἕτερον· καὶ τὸ μηδέποτε διὰ ἄλλο
αἱρετὸν τοῖς καθαυτὸ αἱρετοῖς· καὶ διὰ τοῦθ' αἱρετὸν· καὶ ἁπλῶς δὴ τέλειον τὸ
καθαυτὸ αἱρετὸν αἰεί· καὶ μηδέποτε διὰ ἄλλο· τοιοῦτον δὴ εὐδαιμο
νία μάλιστ' εἶναι δοκεῖ· ταύτην γὰρ αἱρούμεθα αἰεὶ δι' αὐτήν· καὶ οὐ
δέποτε διὰ ἄλλο· τιμὴν γὰρ καὶ ἡδονὴν καὶ νοῦν καὶ πᾶσαν ἀρετὴν αἱρού
μεθα μὲν καὶ δι' αὐτά· μηδενὸς δ' ἀποβαίνοντος εἰλόμεθ' ἂν ἕνεκα τούτ-
ων· αἱρούμεθα δὲ καὶ εὐδαιμονίας χάριν, διὰ ταύτ' ὑπολαμβάνοντες
εὐδαιμονήσειν· τὴν δ' εὐδαιμονίαν, οὐδεὶς αἱρεῖται τούτων χάριν· οὐ
δ' ὅλως διὰ ἄλλο· φαίνεται δὴ καὶ ἐκ τῆς αὐταρκείας τὸ αὐτὸ συμβαί
νειν· τὸ γὰρ τέλειον ἀγαθὸν, αὐτάρκες εἶναι δοκεῖ· τὸ δ' αὐτάρ-

κες λέγομεν, οὐκ αὐτῷ μόνῳ τῷ ζῶντι βίον μονώτην· ἀλλὰ
καὶ γονεῦσι καὶ τέκνοις καὶ γυναικὶ καὶ ὅλως τοῖς φίλοις καὶ πο-
λίταις· ἀνθρώπῳ γὰρ φύσει πολιτικὸν ἄνθρωπος· τούτων οὖν ἕλκεται ἕκαστος
ἑαυτῷ· εἰ δὲ καὶ ἐν ὁρμητηρίῳ ἐστὶ τοῖς ἄλλοις ἐν τοῖς πολέμοις καὶ τοῖς
τοὺς φίλους εἰς ἀπείρων προφάσιν· ἀλλὰ ῥητέον μὴ εἰσαῦθις ἐπι-
σκεπτέον· τὸ δ' αὐτάρκες τίθεμεν, ὃ μονούμενον αἱρετὸν ποιεῖ
τὸν βίον καὶ μηδενὸς ἐνδεῆ· τοιοῦτο δὲ τὴν εὐδαιμονίαν οἰόμεθα
εἶναι· ἔτι δὲ πάντων αἱρετωτάτην μὴ συναριθμουμένην· συναρι-
θμουμένην δῆλον ὡς αἱρετωτέραν μετὰ τοῦ ἐλαχίστου ἀγα-
θῶν· ὑπερογὰρ ἀγαθῶν τι νεῦμα τὸ προστιθέμενον· ἀγαθῶν δὲ
τὸ μεῖζον, αἱρετώτερον ἀεί· τέλειον δή τι φαίνεται καὶ αὐτάρκες· ἡ
εὐδαιμονία πάντων τῶν πρακτῶν οὖσα τέλος· ἀλλὰ δὴ τὴν μὲν εὐδαιμο-
νίαν τὸ ἄριστον λέγειν, ὁμολογούμενον φαίνεται· πρᾶξιν δὲ
ἐναρίστην τίθεμεν ἔτι λεκτέον· τάχα δὴ γένοιτ' ἂν οὕτω, εἰ-
ληφθείη τὸ ἔργον τοῦ ἀνθρώπου· ὥσπερ γὰρ αὐλητῇ καὶ ἀγαλματοποιῷ
καὶ παντὶ τεχνίτῃ, καὶ ὅλως ὧν ἔστιν ἔργον τι καὶ πρᾶξις, ἐν τῷ
ἔργῳ δοκεῖ τὸ ἀγαθὸν εἶναι καὶ τὸ εὖ, οὕτω δόξειεν ἂν καὶ ἀνθρώπῳ, εἴ γέ ἐστί
τι ἔργον αὐτοῦ· πότερον οὖν, τέκτονος μὲν καὶ σκυτέως ἔστιν ἔργα
τινὰ καὶ πράξεις, ἀνθρώπου δὲ οὐδέν ἐστιν, ἀλλὰ ἀργὸν πέφυκεν; ἢ
καθάπερ ὀφθαλμοῦ καὶ χειρὸς καὶ ποδός, καὶ ὅλως ἑκάστου τῶν μορίων
φαίνεται τί ἔργον, οὕτω καὶ ἀνθρώπου τῶν ἄλλων τι θετέον τῆς
ἐργοντί· τί οὖν δὴ τοῦτ' ἂν εἴη τὸ μόνον ζῆν, κοινὸν εἶναι φαί-
νεται καὶ τοῖς φυτοῖς· ζητεῖται δὲ τὸ ἴδιον· ἀφοριστέον ἄρα τὴν θρε-
πτικὴν καὶ αὐξητικὴν ζωήν· ἑπομένως ἂν εἴη αἰσθητική τις αὖ εἶναι· φαί-
νεται δὲ καὶ αὕτη κοινὴ καὶ ἵππῳ καὶ βοὶ καὶ παντὶ ζῴῳ· λείπεται δὴ πρα-
κτική τις τοῦ λόγον ἔχοντος· τούτου δέ, τὸ μὲν ὡς ἐπιπειθὲς λόγῳ·
τὸ δ' ὡς ἔχον καὶ διανοούμενον· δὶ διττὸς δὲ καὶ ταύτης λεγομένης·
τὸ κατ' ἐνέργειαν θετέον κυριώτερον γὰρ αὕτη δοκεῖ λέγεσθαι· εἰ δ'
ἔστιν ἔργον αὐτοῦ, ψυχῆς ἐνέργειαν λόγον μὴ ἄνευ λόγου, τὸ δ' αὐτὸ
φαμὲν εἶναι τόδε τινὰ καὶ σπουδαῖον, ὡς ἐπὶ κιθαρῖ-

σοῦ.

σοῦ ἢ μὴ σπουδαίου κιθαρίσοῦ. ἔτι ἀλλ' ἆρα τοῦτ' ἐστὶ πάντ', προστιθεμένης φύσεως ἀρετὴν ὑπερέχης πρὸς τὸ ἔργον· κιθαρίσοῦ μὲν ἢ κιθαρίζειν· σπουδαίου δέ, τὸ οὗ· εἰ δ' ὅτων, ἀνθρώπου τίθεμεν ἔργου ζωήν τινα. ταύτην δὲ ψυχῆς ἐνέργειαν ἢ πράξεις μετὰ λόγου· σπουδαίου δ' ἀνδρὸς οὗ ταῦτα ἔτι καλῶς ἕκαστον δὴ ᾧ κατ' οἰκείαν ἀρετὴν ἀπαρτίζεται· εἰ δ' ὅτω, τὸ ἀνθρώπῳ ἀγαθόν, ψυχῆς ἐνέργεια γίνεται κατ' ἀρετήν· εἰ δὲ πλείους αἱ ἀρεταί, κατὰ τὴν ἀρίστην καὶ τελεωτάτην· ἔτι δὲ ἐν βίῳ τελείῳ· μία γὰρ χελιδὼν ἔαρ οὐ ποιεῖ· οὐδὲ μία ἡμέρα· οὕτω δὲ οὐδὲ μακαρίους καὶ εὐδαίμονας, μία ἡμέρα· ἢ ὀλίγος χρόνος. περιγραφέσθω μὴν δὴ τὸ ἀγαθὸν ταύτην· δεῖ γὰρ ἴσως ὑπερτυπῶσαι πρῶτον· εἶθ' ὕστερον ἁπλᾶ γράφειν· δόξειε δ' ἂν παντὸς εἶναι προάγειν καὶ διαρθρῶσαι τὰ καλῶς ἔχοντα τῇ περιγραφῇ· καὶ ὁ χρόνος τῶν τοιούτων ὡρετῆς ἢ σωρὸς ἀγαθὸς εἶναι· ὅθεν καὶ τῶν τεχνῶν αὐξήσασιν ἐπιδόσεις· πάντες γὰρ προσθεῖναι τὰ λεῖπον μεμνῆσθαι ἢ μὴ τὰ προσήκοντα χρή, καὶ τὰ ἀκειβάειν μὴ ὁμοίως ἐν ἅπασιν ἐπιζητεῖν· ἀλλ' ἐν ἑκάστοις τὰ ὑπακτὰ μέχρι ὕλης, ἢ ἐστὶ τοσοῦτον, ἐφ' ὅσον οἰκεῖον τῇ μεθόδῳ· καὶ γὰρ τέκτων ἢ γεωμέτρης, διαφερόντως ἐπιζητοῦσι τὴν ὀρθήν· ὁμοίως γὰρ ἐφ' ὅσον χρησίμη πρὸς τὸ ἔργον· ὁ δὲ, τίδ' ἐστὶν· ἢ ποῖόν τι· θεατὴς γὰρ τἀληθοῦς· τὸν αὐτὸν δὲ τρόπον, καὶ ἐν τοῖς ἄλλοις ποιητέον, ὅπως μὴ τὰ πάρεργα τῶν ἔργων πλείω γίνηται· διὸ καὶ παιτητέον οὐδ' ἅπαντα ἀποδεικτικῶς ὁμοίως· ἀλλ' ἱκανὸν ἕκαστα ᾖ, ὅπερ ἐφικτὸν χωρεῖν καλῶς· οἱ μὲν γὰρ ἀκούοντες ἐπιεικῶς· ἡ δ' ὅτι, πρῶτον μὲν ἀρχὴ τὰ ἀρχῶν ἢ, αἱμὲ, ἐπαγωγῇ θεωρεῖν· αἱ μὲν αἰσθήσει· αἱ δὲ ἐθισμῷ τινι· καὶ ἄλλαι δὲ ἄλλως· μεταιέναι δὲ πειρατέον ἑκάστας ἢ πεφύκασι· καὶ σπουδαστέον ὅπως ὁρισθῶσι καλῶς· μεγάλην γὰρ ἔχουσι ῥοπὴν πρὸς τὰ ἑπόμενα· δοκεῖ οὖν πολὺ ἥμισυ τοῦ παντὸς εἶναι ἡ ἀρχή· καὶ πολλὰ ἐμφανῆ γίνεσθαι διὰ τῆσδε ζητουμένης· σκεπτέον δὲ καὶ περὶ αὐτῆς, ὁ μόνον ἐκτοσοῦμαι τοῦ πράσματος, καὶ ἐξῶθεν ὁ λόγος· ἀλλὰ καὶ ἐκ τῆς λεγομένης περὶ αὐτῆς· τῷ μὲν γὰρ ἀληθεῖ πάντ' συμφέρει

τοὺς πάσχοντας· τῷ δὲ ψυδεῖ, καὶ τὰ διαφωνεῖ τὰ ληθὲς· νεμε-
μνημένων δὴ τῶν ἀγαθῶν ξιχῶ, καὶ τῶν μὴ ἐκ τοῦ λεγομένου· τὸ δὲ
περὶ ψυχὴν καὶ σῶμα, τὰ περὶ ψυχὴν κυριώτατα τοῦ λόγου μὴν· ἡ
μάλιστα ἀγαθὰ· τὰς δὲ πράξεις τὰς ἐνεργείας τὰς ψυχικὰς, περὶ
ψυχὴν τίθεμεν, ὥστε καλῶς ἂν λέγοιτο καὶ παλαιὰν οὖσαν καὶ ὁμολογου-
μένην ὑπὸ τῶν φιλοσοφούντων· ὀρθῶς δὴ νῦν ὅτι πρᾶξίς τις ἐστὶν ἡ εὐ ἔργειν, τὸ τέλος· ὅτι δὲ
τὰ περὶ ψυχὴν ἀγαθῶν γίνεται, μὴ οὐ τῶν ἐκτὸς ἐστὶν ἀγαθῶν τῷ λόγῳ,
μὴ τὸν βίον· καὶ τὴν πρᾶξιν ἡμῖν δοκεῖ μονα· χρόνον δὲ βίωσίς τις εἶναι
καὶ πρᾶξία· φαίνεται δὲ καὶ τὰ ἐπιζητούμενα περὶ τὴν ἡδονὴν μονὴν
ἀνάγκη τὸν ὑπάρχειν τῷ λεχθέντι· τῆς μὲν γὰρ ἀρετῆς τὸ φρό-
νησις· ἄλλοις δὲ σοφία τις εἶναι δοκεῖ· τῆς δὲ ταύτας ἢ τούτων,
τὴν μεθ' ἡδονῆς, ἢ οὐκ ἄνευ ἡδονῆς, ἕτεροι δὲ τὴν ἐκ τοῦ πρᾶξιν συμ
περιλαμβάνουσι· φύτων δὲ τὰ μὲν πολλοὶ καὶ παλαιοὶ λέγουσι· τὰ
δὲ ὀλίγοι ἢ ἔνδοξοι ἄνδρες· οὐδέτερους δὲ φύτων ἄλογον διαμαρ-
τάνειν τοῖς ὅλοις· ἀλλ' ἐπί τι, καὶ τὰ ὀλίγα καὶ τὰ ὀρθῶς· τοῖς μὲν
οὖν λέγουσι τὴν ταῦτα ἀρετὴν, ἢ ἀρετήν τινα, εἰκὸς ὅλως·
ταύτης γὰρ ὄντων καὶ ταῦτα εἶναι τὰ ἀγαθὰ· διαφέρει δ' ἴσως οὐ μικρὸν ἐν
κτήσει ἢ χρήσει τὸ αἱρεῖσθαι ὑπάρχειν μᾶλλον καὶ ἐνέργειαν· τὸ μὲν
γὰρ ἕξιν· τὸ δὲ χρῆσθαι μηδὲν ἀγαθὸν ἀποτελεῖν ὑπάρχουσαν· οἷον
τῷ καθεύδοντι ἢ μὴ ἄλλως πως ἐνεργοῦντι· τῷ δὲ ἐνέργειαν ἀνάγκη οἷον-
τε πράξαι δι' αὐτῶν καὶ καλῶς, μὴ δὲ πράξαι, ὥσπερ ἐν Ὀλυμπιάσιν, οὐχ οἱ
κάλλιστοι καὶ ἰσχυρότατοι στεφανοῦνται, ἀλλ' οἱ ἀγωνιζόμενοι·
τούτων γάρ τινες νικῶσιν, ὅτων καὶ τῶν ἐν τῷ βίῳ καλῶν καὶ ἀγαθῶν,
οἱ πράττοντες ὀρθῶς ἐστὶ βολοὶ γίνονται· ἔστι δὲ καὶ βίος αὐτῶν καθ'
αὑτὸν ἡδύς· τὸ μὲν γὰρ ἥδεσθαι, τῶν ψυχικῶν ἑκάστῳ δοκεῖν ἡδὺ
δυνατὸς ὁ λέγεται φιλοτοιοῦτος, οἷον ἴσως μὲν τῷ φιλίππῳ θέαμα δὲ τῷ φιλοθεώρῳ· τοιαύτην δὲ τρόπον καὶ τὰ δίκαια τῷ φιλοδικαίῳ, καὶ ὅλως τὰ καὶ τὰρετὴν τῷ φιλαρέτῳ· τοῖς μὲν οὖν πολλοῖς τὰ ἡδέα μάχεται, διὰ τὸ μὴ φύσει ἀγαθὰ εἶναι·

τοῖς δὲ

τοῖς φιλοκάλοις ὄντων ἡδέα, τὰ φύσει ἡδέα· τοιαῦται δὲ αἱ κατ' ἀρετὴν πράξεις· ὥστε καὶ τούτοις εἰσὶν ἡδεῖαι, ἢ καθ' αὑτάς· δεῖ δὴ καὶ προσεῖναι τὴν ἡδονὴν οἵος ἂν τὼν, ὥσπερ περὶ ἄπασι τοῖς· ἀλλ' ἐχέτω τὴν ἡδονὴν ὡς ἑαυτῷ· πρὸς γὰρ εἰρημένοις ὁ· ὅ δ' ὄντι ἀγαθὸς ὁμὴ χαίρων τοῖς καλοῖς πράξεσιν· ὅτι γὰρ δίκαιον οὐ δεῖ σαφὲς ἂν εἴη πρὸν μὴ χαίρων τὰ τῷ δικαίω πράττειν· ὅτι ἐλευθέριον, πρὸν μὴ χαίρων τὰ ταῖς ἐλευθερίοις πράξεσιν· ὁμοίως δὲ καὶ ὧν τῶν ἄλλων· εἰσὶ δ' οὕτω, καθ' αὑτὰς αἱ εἶναι κατ' ἀρετὴν πράξεις ἡδεῖαι· ἀλλὰ μὴν καὶ ἀγαθαί γε καὶ καλαί· καὶ μάλιστα τούτων ἕκαστον εἴπερ καλῶς κρίνει περὶ αὐτῶν ὁ σπουδαῖος· κρίνει δ' ὡς εἴρηται· ἄριστον ἄρα καὶ κάλλιστον καὶ ἥδιστον ἡ εὐδαιμονία· καὶ οὐδὲ διώρισται ταῦτα κατὰ τὸ δήλιακὸν ἐπίγραμμα· κάλλιστον τὸ δικαιότατον· λῶστον δ' ὑγιαίνειν· ἥδιστον δ' ὃ τυγχάνουσι ἕκαστοι ἐρῶντες τοῦτο γὰρ ὑπάρχει τοῖς τὰ ταῦτα ἀεὶ σὺν ἡδονῇ πράττουσιν· ταύτας δ' ἢ μία τούτων τὴν ἀρίστην εἶναί φαμεν τὴν εὐδαιμονίαν· φαίνεται δ' ὅμως καὶ τὰ ἐκτὸς ἀγαθὰ προσδεομένη καθάπερ εἴπομεν· ἀδύνατον γὰρ, ἢ οὐ ῥᾴδιον τὰ καλὰ πράττειν, ἀχορήγητον ὄντα· πολλὰ μὲν γὰρ πράττεται καθάπερ διὰ ὀργάνων διὰ φίλων, καὶ πλούτου καὶ πολιτικῆς δυνάμεως· ἐνίων δ' ἐστὶν ἐλλείποντα μειοῦσθαι τὸ μακάριον· οἷον εὐγενείας· εὐτεκνίας· κάλλους· οὐ πάνυ γὰρ εὐδαιμονικὸς ὁ τὴν ἰδέαν παναίσχης· ἢ δυσγενὴς· ἢ μονώτης καὶ ἄτεκνος· ἔτι δ' ἴσως ἧττον, εἴτ' ἂν κακοὶ τοὺς ἐκγόνους ἢ φίλοι ἀπεθάνοσιν ἢ τοιοῦτοι τυγχάνουσιν καθάπερ ἐνεπομένως εἴρηται· ἢ καὶ ἀπορεῖται πότερον ὀστέον μαθητὸν, ἢ ἐθιστὸν, ἢ καί τινα ἄλλον τρόπον ἀσκητόν· ἢ κατὰ τὴν ἀθείαν μοῖραν ἢ καὶ ἀπὸ τύχης παρέπεται· εἰ μὲν οὖν καὶ ἄλλο τι θεῶν ἐστὶ δώρημα ἀνθρώποις, εὔλογον καὶ τὴν εὐδαιμονίαν θεὸν εἶναι· καὶ μάλιστα τῶν ἀνθρωπίνων ὅσῳ βέλτιστον· ἀλλὰ τοῦτο μὲν ἴσως ἄλλης ἂν εἴη σκέψεως οἰκειότερον· φαίνεται δὲ καὶ ἐξ μὴ θεόπεμπτος οὖσα·

ἀλλὰ διὰ ρετὴν καί τινα μάθησιν ἢ ἄσκησιν παραγίνεται τ
θῶ τούτων εἶναι· τὸ γὰρ φρ ἀρετῆς ἄθλον ⸫ τέλος ἀεῖσον φαί
μεθα εὐθεῖόν τι μακάριον· εἶη δ' ἂν καὶ πολύκοιμον· δυνατ" γὰρ
ὑπάρξαι πᾶσι τοῖς μὴ πεπηρωμένοις πρὸς ἀρετὴν διά τι
νος μαθήσεως ⸫ ἐπιμελείας· εἰδ' ὅτι οὕτω βέλτιον ἢ διὰ τύ
χην εὐδαιμονεῖν, δῆλον ἐχειν οὕτως· εἴπερ κατὰ φύσιν ὡς οἰ
όν τε καλλίσαι ἔχειν ἅπαντα φύκεν· ὁμοίως δὲ καὶ τὴν τῶν
σαν αἰτίαν· καλλίσας καὶ τὴν ἀρίστην· τὸ δὲ μέγιστον καλλιστον ἐ
πιτρέψαι τύχη, λίαν πλημμελὲς ἂν εἴη· συμφανὲς δ' ὅτι οὐκ
ἐν πολλῷ γε τῷ χρόνῳ· εἰρηται γὰρ ψυχῆς ἐνέργεια κατ' ἀρετὴν τελεία
τις· τῶν δὲ λοιπῶν ἀγαθῶν, τὰ μὲν ἀναγκαῖον· τὰ δὲ συμφυτὰ
ἀχρήσιμα πέφυκεν ὀργανικά· ὁμολογούμενα δὲ ταῦτ' ἂν εἴη
τοῖς ἐν ἀρχῇ· τὸ γὰρ φρ πολιτικῆς τέλος, ἄριστον ἐτίθεμεν, αὐτὴ
δὲ πολείσην ἐπιμέλειαν ποιεῖται, τοῦ πρός τινας ⸫ ἀναθοὺς τοὺς
πολίτας ποιῆσαι, καὶ πρακτικοὺς τῶν καλῶν· εἰκότως δ' ἔμοιγε
δοῦν ἄττ' ἐστὶν ἔσω, ἄττα δ' ἐκτὸς τίθησιν ὁ νομοθέτης· ὅσα δὲν εὐδαιμονίαν λέγομεν· ὅ
δὲν γὰρ αὐτοῖς οἷόν τε κοινωνοῦσαι τοιαύτης ἐνεργείας· διὰ ταύτην
ἐστὶν αἰτίαν, ὅ δὲ πᾶς εὐδαίμων ὅστις· οὐ πως γὰρ πρακτικοὶ τῶν
τοιούτων διὰ τὴν ἡλικίαν· οἱ δὲ λεγόμενοι, διὰ τὸ ἐλπίδας μακαρί
ζονται· δεῖ γὰρ ὡς εἰπεῖν καὶ ἀρετῆς τελείας καὶ βίου τε
λείου· πολλαὶ γὰρ μεταβολαὶ γίνονται ⸫ παντοῖαι τύχαις κατὰ βίον·
⸫ ἐν δὲ χῇ τὸν μάλιστα εὐθηνοῦντα, μεγάλῃ συμφορᾷ περιπεσεῖν
ὠλιγήρως, καθάπερ ἐν τοῖς ἡρωϊκοῖς περὶ Πριάμου μυθεύεται· τὸν δὲ
τοιαύτας χρησάμενον τύχας, καὶ τελευτήσαντ' ἀθλίως, οὐδεὶς εὐδαι
μονίζει· πότερον οὖν οὐδὲν ἄλλο οὐδένα αὐτῶν εὐδαιμονιστέον εἶναι κατὰ
δόλωνα δὲ χρεὼν τέλος ὁρᾶν· εἰ δὲ δὴ, ἀθετέον ὅτῳ· ἀρά γε καὶ
ὅστις εὐδαίμων τότε πεισθήσεται ἀποθανὼν, ἢ τοῦτο μὲν τελῶς, ἄτοπον·
ἄλλως τε καὶ τοὺς λέγουσιν εἶναί τινας εὐδαιμονίαν· εἰ δὲ μὴ
λέγομεν τὸν τεθνεῶτα εὐδαίμονα, μηδὲ ὅλως τοῦτο βάλλειν, αἰσχρὸν τὴν
νικᾶν ἀνθρώπου ἕνεκα καὶ φίλων ἀποθανόντων εἰκὸς ἡδέως

καὶ

κακῶν ὁ δ' εὐτυχημάτων. ἔχει δ' ἡ τοῦτο ἀμφισβήτησίν τινα. δοκεῖ δὲ εἶναί τι τῷ τεθνεῶτι καλὸν καὶ ἀγαθὸν εἴτε καὶ τοῖς ζῶσι τι μὴ αἰσθανομένῳ· οἷον τιμαὶ ἢ ἀτιμίαι ἢ τέκνων ἢ ὅλως ἀπογόνων ἢ τῶν πραξίαι τι δ' εὐτυχίαι. ἀπορίαν δ' ἔχει καὶ ταῦτα διὰ τὸ τοῦ τεθνεῶτος μακαρίως βεβιωκότος μεῖζον ἢ ἔλαττον πολλὰ μεταβολὰ συμβαίνειν· εἰ γὰρ τοὺς ἐκγόνους· ἢ τοὺς ὅλως αὐτοῦ, ἀγαθοὺς εἶναι, καὶ τυγχάνειν βίου δικαίου ἀξίαν· τοὺς δ' ἐξεναντίας· δῆλον δ' ὅτι καὶ τοῖς ἀπογόνοις πρὸς τοὺς γονεῖς τοιοῦτον τρόπον ἔχειν αὐτοὺς ὑπάρχει· ἄτοπον δὴ γίνοιτ' ἂν, εἰ συμμεταβάλοι ἡ τοῦ τεθνεῶτος, ἢ γίνοιτο, ὅτε μὴ ὑπάρχει· πόλιν δ' ἆθλιος ἀρτῶν ἢ, ἢ τὸ μηδὲν μηδὲ πότε ναχθόλεσιν εἶναι τὰ τῶν ἐκγόνων· ἀλλ' ἔοικεν ἐπὶ τὸ πρότερον ἀπορηθέν· τάχα γὰρ ἂν θεωρηθείη τὸ νῦν ἐπιζητούμενον ἐξ ἐκείνου· εἰδὴ τέλος ὁρᾶν δεῖ μηδὲν τοῦτο μακαρίζειν ἕκαστον· ἀχώριστον δ' μακάριον ἀλλ' ὅτι πρότερον λεκτέον, ὡς οὐκ ἄτοπον· εἰ ὅτι δυστυχοῦσιν οἱ δαίμονιοι μὴ ἀληθεύσεται κατὰ τὸν τοῦτον τρόπον, διὰ τὸ μὴ βούλεσθαι τοὺς ζῶντας οὕτως οἰκονομίζειν διὰ τὰς μεταβολὰς, καὶ διὰ τὸ μόνιμόν τι τὸ οἰκεῖον εἶναι· μὴ δὲ μεταβάλλειν καὶ μηδαμῶς οὐ μεταβολὴν· τὰς δὲ τύχας πολλάκις αὐτοκυκλεῖσθαι περὶ φυσικοὺς φύσεις· δῆλον δ' ὡς εἰσὶν ἀκολουθοῦσι μᾶλλον τύχαις· τὸν αὐτὸν δαίμονα ἢ πάλιν ἆθλιον ἔρρωμένον πολλάκις· καὶ μᾶλλον τὸν τὸν δαίμονα ἀποφαίνοντι, καὶ σαθρῶς ἱδρυμένον, ἢ τὸ μὴ τοῖς τύχαις ἐπακολουθεῖν ὀρθῶς ὀρθόν· οὐ γὰρ ἐν ταύτοις τὸ οὗ ἢ κακῶς, ἀλλὰ πρόσεισι ταῦτα τοῦτον ὁ αἰνίττεσθαι βίος καθάπερ εἴπομεν· κύριαι δ' εἰσὶν, αἱ κατ' ἀρετὴν ἐνεργείαι φιλοδαιμονίας· αἱ δ' ἐναντίαι· τοῦτ' ἀντίστροφον μαρτυρεῖ δὲ τῷ λόγῳ, καὶ τὸν νῦν διαπορηθέν· περὶ οὐδὲν γὰρ οὕτως ὑπάρχει τῶν ἀνθρωπίνων βεβαιότης, ὡς περὶ τὰς ἐν ἀρετῇ κατ' ἀρετὴν· μονιμώτεραι γὰρ ἢ τὰ τῶν ἐπιστημῶν αὐτῶν δοκοῦσιν εἶναι· τούτων δ' αὐτῶν αἱ τιμιώτατα, καὶ μονιμώτατα, διὰ τὸ μάλιστα ζῶντες καὶ ταῦτα ἐν αὐτοῖς τοὺς μακαρίους.

πρῶτον γὰρ ἔοικεν αἴτιόν τι τοῦ μὴ γίνεσθαι τὸ εἰδαίμονα τὸν λόγον ὑπάρχειν δὴ τὸ ζητούμενον τῷ εὐδαίμονι καὶ ἔσεσθαι βίον τοιοῦτον· αἰεὶ γὰρ ἢ μάλιστα πάντων πράξει καὶ θεωρήσει τὰ κατὰ ἀρετήν· καὶ τὰς τύχας οἴσεται κάλλιστα καὶ πάντη πάντως ἐμμελῶς, ὅπερ ὡς ἀληθὴς ἀληθῶς καὶ τετράγωνος ἄνευ ψόγου· πολλῶν δὲ γιγνομένων κατὰ τύχην, καὶ διαφερόντων μεγέθει μικρότητι, τὰ μὲν μικρὰ τῶν τυχημάτων ὁμοίως ἢ ῥᾳδίως ἂν τις φέροι, δηλονότι ὡς ἐπὶ εἰς ὀστὴν φλοιῶν· τὰ δὲ μεγάλα καὶ πολλὰ τὸν μὲν μὴ εὐδαίμονα μᾶλλον μακαριώτερον τὸν βίον ποιήσει· καὶ γὰρ αὖ τὰ εὐτυχήματα μεῖζον πέφυκεν· καὶ ἡ χρῆσις αὐτῶν καλὴ καὶ σπουδαία γίνεται· αὖ πάλιν δὲ συμβαίνοντα θλίβει καὶ λυμαίνεται τὸν μακάριον· λύπας τε γὰρ ἐμποδίζει πολλὰς ἐνεργείας· ὅμως δὲ καὶ ἐν τούτοις διαλάμπει τὸ καλόν· ὡς ἐπειδὰν φέρηται δυσκόλως πολλὰ καὶ μεγάλ' ἀτυχήσας· μηδ' ἀναλγησίαν· ἀλλὰ γνώμη χαίρων ὁ μεγαλόψυχος· εἰδ' εἰσὶν αἱ ἐνεργεῖαι κυρίως φλοιῶς καθάπερ εἴπομεν· οὐδεὶς ἂν γένοιτο τῶν μακαρίων ἄθλιος· οὐδέποτε γὰρ πράξει τὰ μισητὰ καὶ φαῦλα· τὸν γὰρ ὡς ἀληθῶς ἀγαθὸν καὶ ἔμφρονα, πάσας οἰόμεθα τὰς τύχας εὐχερῶς φέρειν καὶ ἐκ τῶν ὑπαρχόντων καὶ αἰεὶ τὰ κάλλιστα πράττειν· καθάπερ ὁ στρατηγὸς ἀγαθὸς τῷ ὄντι στρατοπέδῳ χρῆσθαι πολεμικώτατα· καὶ σκυτοτόμος ἐκ δοθέντος σκύτους κάλλιστον ὑποδήματι· τὸν αὐτὸν δὲ τρόπον καὶ τοὺς ἄλλους τεχνίτας ἅπαντας· εἰ δ' οὕτως, ἄθλιος μὲν οὐδέποτε γένοιτ' ἂν εὐδαίμων· οὐ μὲν μακάριος, ἐὰν πριαμικὴ τύχῃ περιπέσῃ· οὐδὲ δὴ ποικίλος γε καὶ εὐμετάβολος· ὅτι δ' ἐκ φαύλων εὐδαίμων κινηθήσεται ῥᾳδίως· οὐθὲ ὑπὸ τῶν τυχόντων ἀτυχημάτων· ἀλλ' ὑπὸ μεγάλων πολλῶν· ἐκ τοιούτου δ' οὐκ ἂν γένοιτο πάλιν εὐδαίμων ἐν ὀλίγῳ χρόνῳ· ἀλλ' εἰ πέρ ἐν πολλῷ τινι καὶ τελείῳ μεγάλων καὶ καλῶν ἐνεργειῶν τῷ γε μὴ ἐπιβολος· τοιγαροῦν καὶ λέγομεν εὐδαίμονα τὸν κατ' ἀρετὴν τελείαν ἐνεργοῦντα ἱκανῶς ἐκτὸς ἀγαθοῖς ἱκανῶς χορηγηθέντα μέν, μὴ ἐν τυχόντι χρόνῳ·

χρόνον· ἀλλὰ τέλειον βίον· ἢ προσθετέον καὶ βιωσόμενον οὕτω, καὶ
τελευτήσοντα κατὰ λόγον· ἐπεὶ δὴ τὸ μέλλον ἀφανὲς ἡμῖν τῆς
εὐδαιμονίας δὲ τέλος καὶ τέλειον τίθεμεν πάντη καὶ πάντως· εἰ
δ' οὕτω μακαρίους ἐροῦμεν τῶν ζώντων, οἷς ὑπάρχει καὶ ὑπάρ-
ξει τὰ λεχθέντα, μακαρίους δὲ ἀνοῦς· καὶ περὶ μὲν τούτων
ἐπιτοσοῦτον διωρίσθω· τὰς δὲ τῶν ἀπογόνων τύχας καὶ τῶν φίλων ἁ-
πάντων, τὸ μὲν μηδοτιοῦν συμβάλλεσθαι, λίαν ἄφιλον φαίνε-
ται, καὶ ταῖς δόξαις ἐναντίον· πολλῶν δὲ καὶ παντοίας ἐχόντ
διαφορὰς τῶν συμβαινόντων, καὶ τῶν μὲν μᾶλλον συνίκνουμεν
τῶν δ' ἧττον, καθ' ἕκαστον μὲν διαιρεῖν, μακρὸν καὶ ἀπέραντον
φαίνεται· καθόλου δὲ λεχθὲν καὶ τύπω, τάχ' ἂν ἱκανῶς ἔχοι, εἰ
δὴ καθάπερ καὶ τῶν περὶ αὐτὸν ἀτυχημάτων, τὰ μὲν ἔχει τιβρί-
θος ῥοπὴν πρὸς τὸν βίον· τὰ δ' ἐλαφροτέροις ἔοικεν, οὕτω καὶ τὰ
περὶ τοὺς φίλους ὁμοίως ἅπαντας· διαφέρει δὲ τῶν παθῶν
ἕκαστον περὶ ζῶντας ἢ τελευτήσαντας συμβαίνειν, πολὺ μᾶλλον
ἢ τὰ παράνομα καὶ δεινὰ προϋπάρχειν ἐν ταῖς τραγῳδίαις ἢ
πράττεσθαι· συλλογιστέον δὴ καὶ ταύτῃ τὴν διαφοράν· μᾶλλον δ'
ἴσως τὸ διαπορεῖσθαι περὶ τοὺς κεκμηκότας, εἴτινος ἀγαθοῦ
κοινωνοῦσιν ἢ τῶν ἀντικειμένων· ἔοικε γὰρ ἐκ τούτων εἰ ἡδὶ ἱκνεῖται
πρὸς αὐτοὺς ὁτιοῦν εἴτε ἀγαθόν, εἴτε τοὐναντίον, ἀφαυρόν-
τι καὶ μικρὸν, ἢ ἁπλῶς ἢ ἐκείνοις εἶναι· εἰ δὲ μὴ, τοσοῦτόν γε
καὶ τριοῦτον· ὥστε μὴ ποιεῖν εὐδαίμονας τοὺς μὴ ὄντας, μὴ δὲ
τοὺς ὄντας μακαρίους ἀφαιρεῖσθαι τὸ μακαρίον· συμβάλλεσθαι μὲν
οὖν τι φαίνονται τοῖς κεκμηκόσιν αἱ εὐπραξίαι τῶν φίλων· ὁμοίως δὲ
καὶ αἱ δυσπραξίαι· τοιαῦτα δὲ καὶ τηλικαῦτα, ὥστε μήτε τοὺς
εὐδαίμονας, μὴ εὐδαίμονας ποιεῖν, μήτ' ἄλλο τῶν τοιούτων
μηδέν· διωρισμένων δὲ τούτων, ἐπισκεψώμεθα περὶ τῆς εὐδαι-
μονίας· πότερα τῶν ἐπαινετῶν ἐστιν, ἢ μᾶλλον τῶν τιμίων· δῆλον γὰρ
ὅτι τῶν γε δυνάμεων οὐκ ἔστι· φαίνεται δὴ πᾶν τὸ ἐπαινετὸν τῷ
ποιόν, τι εἶναι, καὶ πρός τι πως ἔχειν ἐπαινεῖσθαι· τὸν γὰρ

δίκαιον ἢ τὸν ἀνδρεῖον ἢ ὅλως τὸν ἀγαθὸν ἢ τὴν ἀρετήν, ἐπειδὴ
νόμῳ διὰ τὰ ἔργα καὶ τὰς πράξεις, καὶ τὸν ἰσχυρὸν ἢ τὸν δρομικὸν,
ἢ τῶν ἄλλων ἕκαστον, τῷ πρόσφορόν τινα αὐτὸν φύσει εἶναι πως πρὸς
ἀγαθόν τι καὶ σπουδαῖον· διὰ οὐ γὰρ τοῦ ἐκ τύχης εἶναι τοὺς θεοὺς ἐπαί-
νους εἶναι φαίνονται πρὸς ἡμᾶς ἀναφορά μοι δοκοῦσιν· τοῦτο δ' ἂν συμ-
βαίη διὰ τὸ πίπτειν τοὺς ἐπαίνους διὰ ἀναφορᾶς ὡς πρὸ εἰπο-
μεν· εἰ δ' ὅτι ὁ ἔπαινος τοιούτων, δῆλον ὅτι τὰ ἀρίστων οὐκ ἔστιν ἔπαινος, ἀλλὰ μείζονά τινα βέλτιον καθάπερ φαίνεται·
τούς τε γὰρ θεοὺς μακαρίζομεν καὶ εὐδαιμονίζομεν· καὶ τῶν ἀν-
δρῶν τοὺς θεοτάτους μακαρίζομεν· ὁμοίως δὲ καὶ τὰγαθὸν
οὐδεὶς γὰρ τὸν εὐδαιμονίαν ἐπαινεῖ καθάπερ τὸ δίκαιον, ἀλλ'
ὡς θειότερόν τι καὶ βέλτιον μακαρίζει· ὅθεν δὲ καὶ Εὔδοξος κα-
λῶς ἐσωφίσθησαν περὶ τὰ ἀγαθὸν ἡδονῆ· τὸ γὰρ μὴ ἐπαι-
νεῖσθαι τὰ ἀγαθῶν ὄντα, μαρτύριόν ἐστι τοῦ κρεῖττόν ἐστι τῶν ἐπαι-
νετῶν εἶναι τὸν θεὸν καὶ τὰγαθόν· πρὸς ταῦτα δὲ καὶ τὰ μακα-
ριζόμενα· ὁμοίως γὰρ ἐστὶν ἔπαινος, φιλαρετῆς· πρακτικοὶ γὰρ τῶν
καλῶν ἀπὸ ταύτης· τὰ δὲ ἐγκώμια τῶν ἔργων, ὁμοίως καὶ τῶν
σωματικῶν καὶ τῶν ψυχικῶν· ἀλλὰ ταῦτα μὲν ἴσως οἰ-
κειότερον ἐξ ἀκριβῶν τοῖς περὶ τὰ ἐγκώμια φιλοσόφοις· ἡμῖν δὲ δῆλον ἐκ τῶν εἰρημένων, ὅτι ὅτι μὲν εὐδαιμονίαι τι μί-
ων καὶ τελείων· ἔοικε δ' ὅτως ἔχειν, καὶ διὰ τὸ εἶναι αὐτὴν τοιαύτην·
τὰ γὰρ ἄριστα πάντες ποιοῦσι τὰ πρὸ αὐτῶν· τὴν μὲν ἀρχὴν εἶναι
τὸ αἴτιον τῶν ἀγαθῶν, τὴν μίαν τινὰ τὴν θείαν τὴν θεμένην· ἐπεὶ δ' ὅτι ἡ εὐ-
δαιμονία ψυχῆς ἐνέργειά τις κατ' ἀρετὴν τελείαν, περὶ ἀρε-
τῆς ἐστὶν ἐπιστητέον· τὸ γὰρ δὲ οὕτως ἂν βέλτιον καὶ περὶ εὐ-
δαιμονίας θεωρήσομεν· δοκεῖ δὲ καὶ ὁ κατὰ ἀλήθειαν πολιτι-
κὸς, περὶ ταύτην μάλιστα πεπονῆσθαι· βούλεται γὰρ τοὺς πολί-
τας ἀγαθοὺς ποιεῖν, καὶ τῶν νόμων ὑπηκόους· παράδειγμα δ' ὧν
ἔχομεν, τοὺς κρήτων ἢ λακεδαιμονίων νομοθέτας, καὶ
εἴτινες ἕτεροι τοιοῦτοι γεγόνασιν· εἰ δὲ φιλοπολιτικῆς ἐστὶν ἡ

σκέψις

σκέψις αὕτη, δῆλον ὅτι γένοιτ' ἂν ἡ ζήτησις κατὰ τὴν ἐξ ἀρ-
χῆς προαίρεσιν· περὶ ἀρετῆς δὲ ἐπισκεπτέον ἀνθρωπίνης δηλο-
νότι· ἢ γὰρ τὸ ἀγαθὸν ἀνθρώπινον ἐζητοῦμεν· καὶ τὴν εὐδαιμονίαν
ἀνθρωπίνην· ἀρετὴν δὲ λέγομεν ἀνθρωπίνην, οὐ τὴν τοῦ σώματος
ἀλλὰ τὴν τῆς ψυχῆς· καὶ τὴν εὐδαιμονίαν δὲ, ψυχῆς ἐνέργειαν
λέγομεν· εἰ δὲ ταῦθ' οὕτως ἔχει, δῆλον ὅτι δεῖ τὸν πολιτικὸν εἰδέναι
πῶς τὰ περὶ ψυχὴν· ὥσπερ καὶ τὸν ὀφθαλμοὺς θεραπεύσοντα,
καὶ πᾶν σῶμα, καὶ μᾶλλον ὁσωτιμιωτέρα καὶ βελτίων ἡ πολιτικὴ
τῆς ἰατρικῆς· καὶ τῶν ἰατρῶν δ' οἱ χαρίεντες, πολλὰ πραγματεύονται
περὶ τὴν τοῦ σώματος γνῶσιν· θεωρητέον δὴ καὶ τοῦ πολιτικῶ
περὶ ψυχῆς· θεωρητέον δὲ τούτων χάριν, καὶ ἐφ' ὅσον ἱκανῶς ἔχει
πρὸς τὰ ζητούμενα· τὸ δὲ ἐπιπλεῖστον ἐξακριβοῦν, ἐργωδέστερον ἴ-
σως ἐστὶ τῶν προκειμένων· λέγεται δὲ περὶ αὐτῆς καὶ τοῖς ἐξωτερικοῖς
λόγοις ἀρκούντως ἔνια· καὶ χρηστέον αὐτοῖς· οἷον τὸ μὲν, ἄλογον
αὐτῆς εἶναι· τὸ δὲ, λόγον ἔχον· ταῦτα δὲ πότερον διώρισται καθάπερ
τὰ τοῦ σώματος μόρια καὶ πᾶν τὸ μεριστὸν, ἢ τῷ λόγῳ δύω ἐστὶν,
ἀχώριστα πεφυκότα καθάπερ ἐν τῇ περιφερείᾳ, τὸ κυρτὸν καὶ τὸ
κοῖλον, οὐδὲν διαφέρει πρὸς τὸ παρόν· τοῦ ἀλόγου δὲ τὸ μὲν, ἔοι-
κε κοινῶ καὶ φυτικῶ· λέγω δὲ τὸ αἴτιον τοῦ τρέφεσθαι καὶ τοῦ αὐξά-
νεσθαι· τὴν τοι αὐτὴν γὰρ δύναμιν τῆς ψυχῆς, ἐνάπασι τοῖς
τρεφομένοις θείητις ἂν καὶ ἐν τοῖς ἐμβρύοις· τὴν αὐτὴν δὲ ταύτην
καὶ ἐν τοῖς τελείοις· εὐλογώτερα γὰρ ἢ ἄλλην τινά· ταύτης μὲν
αὖ κοινήτις ἀρετὴ καὶ οὐκ ἀνθρωπικὴ φαίνεται· δοκεῖ γὰρ ἐν-
τοῖς ὕπνοις ἐνεργεῖν μάλιστα τὸ μόριον τοῦτο καὶ ἡ δύναμις
αὕτη· ὁ δ' ἀγαθὸς καὶ κακὸς, ἥκιστα διάδηλος καθ' ὕπνον· ὅθεν
φασὶν οὐδὲν διαφέρειν τὸ ἥμισυ τοῦ βίου τοὺς εὐδαίμονας τῶν ἀθλίων·
συμβαίνει δὲ τοῦτ' εἰκότως· ἀργία γὰρ ἐστὶν ὕπνος τῆς ψυχῆς ἢ
λέγεται σπουδαία καὶ φαύλη· πλὴν εἴπερ κατὰ μικρὸν διικνοῦνταί-
τινες τῶν κινήσεων, καὶ ταύτη βελτίω γίνεται τὰ φαντάσματα τῶν
ἐπιεικῶν· ἢ τῶν τυχόντων· ἀλλὰ περὶ μὲν τούτων, ἅλις· καὶ τὸ θρε-
πτικὸν ἐατέον· ἐπεὶ δὴ τῆς ἀνθρωπικῆς ἀρετῆς ἄμοιρον πέφυκεν

ἔοικε δὴ καὶ ἄλλητις φύσις τῆς ψυχῆς ἄλογος εἶναι, μετέ-
χουσα μέν τοι πῆ λόγου· τοῦ γὰρ ἐγκρατοῦς καὶ ἀκρατοῦς, τὸν
λόγον, καὶ τῆς ψυχῆς, τὸ λόγον ἔχον, ἐπαινοῦμεν· ὀρθῶς γὰρ καὶ
ἐπὶ τὰ βέλτιστα παρακαλεῖ· φαίνεται δὲ ἐν αὐτοῖς καὶ ἄλλο τι παρὰ
τὸν λόγον πεφυκὸς· ὃ μάχε ταί τε καὶ ἀντιτείνει τῷ λόγῳ· ἀ-
τεχνῶς γὰρ καθάπερ τὰ παραλελυμένα τοῦ σώματος μό-
ρια εἰς τὰ δεξιὰ προαιρουμένων κινῆσαι τοὐναντίον εἰς τὰ
ἀριστερὰ παραφέρεται, καὶ ἐπὶ τῆς ψυχῆς οὕτως· ἐπὶ τὰ ἐναντία
καὶ αἱ ὁρμαὶ τῶν ἀκρατῶν· ἀλλ' ἐν τοῖς σώμασι μὲν, ὁρῶμεν τὸ πα-
ραφερόμενον· ἐπὶ δὲ τῆς ψυχῆς, οὐχ ὁρῶμεν· ἴσως δὲ οὐδὲν ἧττον καὶ
ἐν τῇ ψυχῇ, νομιστέον εἶναί τι παρὰ τὸν λόγον ἐναντιούμενον
τούτῳ καὶ ἀντιβαῖνον· πῶς δὲ ἕτερον, οὐδὲν διαφέρει· λόγου δὲ καὶ τοῦ
τὸ φαίνεται μετέχειν ὥσπερ εἴπομεν· πειθαρχεῖ γοῦν τῷ λόγῳ
τὸ τοῦ ἐγκρατοῦς· ἔτι δὲ ἴσως εὐηκοώτερόν ἐστι τὸ τοῦ σώφρονος
καὶ ἀνδρείου· πάντα καὶ ὁμοφωνεῖ τῷ λόγῳ· φαίνεται δὴ καὶ τὸ
ἄλογον διττὸν· τὸ μὲν καὶ φυτικὸν, οὐδαμῶς κοινωνεῖ λόγου· τὸ δὲ
ἐπιθυμητικὸν καὶ ὅλως ὀρεκτικὸν, μετέχει πῶς, ἡ κατήκοόν ἐστιν
αὐτοῦ καὶ πειθαρχικόν· οὕτω δὴ καὶ τοῦ πατρὸς καὶ τῶν φίλων φα-
μὲν ἔχειν λόγον, καὶ οὐχ ὥσπερ τῶν μαθηματικῶν· ὅτι δὲ πείθε-
ται πως ὑπὸ λόγου τὸ ἄλογον, μηνύει καὶ ἡ νουθέτησις καὶ πᾶσα ἐ-
πιτίμησίς τε καὶ παράκλησις· εἰ δὲ χρὴ καὶ τοῦτο φάναι λόγον ἔ-
χειν, διττὸν ἔσται καὶ τὸ λόγον ἔχον· τὸ μὲν κυρίως καὶ ἐνέαυτον· τὸ δὲ
ὥσπερ τοῦ πατρὸς ἀκουτιστικόν τι· διορίζεται δὲ καὶ ἡ ἀρετὴ κατὰ
τὴν διαφορὰν ταύτην· λέγομεν γὰρ αὐτῶν τὰς μὲν διανοη-
τικάς· τὰς δὲ ἠθικάς· σοφίαν μὲν καὶ σύνεσιν καὶ φρόνησιν
διανοητικάς· ἐλευθεριότητα δὲ καὶ σωφροσύνην, ἠθικάς· λέ-
γοντες γὰρ περὶ τοῦ ἤθους, οὐ λέγομεν ὅτι σοφὸς ἢ συνετός· ἀλ-
λ' ὅτι πρᾶος ἢ σώφρων· ἐπαινοῦμεν δὲ καὶ τὸν σοφὸν κατὰ
τὴν ἕξιν· τῶν ἕξεων δὲ τὰς ἐπαινετὰς ἀρετὰς λέγομεν.

ΑΡΙ

ἈΡΙΣΤΟΤΈΛΟΥΣ ἨΘΙΚΩ̂Ν ΝΙΚΟΜΑΧΕΊΩΝ,

ΤῸ .Β΄.

Αἰ τῆς ἢ τῆς ἀρετῆς οὔσης, τῆς μὲν διανοητικῆς· τῆς δὲ, ἠθικῆς· ἡ μὲν διανοητικὴ, τὸ πλεῖστον ἐκδιδασκαλίας ἔχει τὴν γένεσιν τε τὴν αὔξησιν· διόπερ ἐμπειρίας δεῖται καὶ χρόνου· ἡ δ' ἠθικὴ ἐξ ἔθους περιγίνεται· ὅθεν καὶ τοὔνομα ἔσχηκε, μικρὸν παρεκκλίνον ἀπὸ τοῦ ἔθους· ἐξ οὗ καὶ δῆλον ὅτι οὐδὲ μία τῶν ἠθικῶν ἀρετῶν, φύσει ἡμῖν ἐγγίνεται· οὐδὲν γὰρ τῶν φύσει ὄντων, ἄλλως ἐθίζεται· οἷον ὁ λίθος φύσει κάτω φερόμενος, οὐκ ἂν ἐθισθείη ἄνω φέρεσθαι· οὐδ' ἂν μυριάκις αὐτὸν ἐθίζητις ἄνω ῥίπτων, οὐδὲ πῦρ κάτω· οὐδ' ἄλλο οὐδὲν τῶν ἄλλως πεφυκότων, ἄλλως ἂν ἐθισθείη· οὔτε ἄρα φύσει, οὔτε παρὰ φύσιν ἐγγίνονται αἱ ἀρεταί· ἀλλὰ πεφυκόσι μὲν ἡμῖν δέξασθαι αὐτὰς· τελειουμένοις δὲ διὰ τοῦ ἔθους· ἔτι ὅσα μὲν φύσει ἡμῖν παραγίνεται, τὰς δυνάμεις τούτων πρότερον κομιζόμεθα· ὕστερον δὲ, τὰς ἐνεργείας ἀποδίδομεν· ὅπερ ἐπὶ τῶν αἰσθήσεων δῆλον· οὐ γὰρ ἐκ τοῦ πολλάκις ἰδεῖν, ἢ πολλάκις ἀκοῦσαι τὰς αἰσθήσεις ἐλάβομεν· ἀλλ' ἀνάπαλιν· ἔχοντες ἐχρησάμεθα, οὐ χρησάμενοι ἔσχομεν· τὰς δ' ἀρετὰς λαμβάνομεν, ἐνεργήσαντες πρότερον, ὥσπερ τε ἐπὶ τῶν ἄλλων τεχνῶν· ἃ γὰρ δεῖ μαθόντας ποιεῖν, ταῦτα ποι-

ὄντες μανθάνομεν· οἷον οἰκοδομοῦντες· οἰκοδόμοι γίνονται· καὶ κι-
θαρίζοντες, κιθαρισταί· οὕτω δὲ, καὶ τὰ μὲν δίκαια πράττοντες, δί-
καιοι γινόμεθα· τὰ δὲ σώφρονα, σώφρονες· τὰ δ' ἀνδρεῖα, ἀνδρεῖοι·
μαρτυρεῖ δὲ καὶ τὸ γινόμενον ἐν ταῖς πόλεσιν, οἱ γὰρ νομοθέται τοὺς
πολίτας ἐθίζοντες, πριοῦσιν ἀγαθοὺς· καὶ τὸ μὲν βούλημα πάντος νομο-
θέτου τοῦτ' ἐστίν· ὅσοι δὲ μὴ ὦ αὐτὸ πριοῦσιν, ἁμαρτάνουσι· καὶ δια-
φέρει τούτῳ πολιτεία πολιτείας, ἀγαθὴ φαύλης· ἔτι ἐκ τῶν αὐτῶν
καὶ διὰ τῶν αὐτῶν, καὶ γίνεται πᾶσα ἀρετή, καὶ φθείρεται· ὁμοίως δὲ
καὶ τέχνη· ἐκ γὰρ τοῦ κιθαρίζειν, καὶ οἱ ἀγαθοὶ καὶ οἱ κακοὶ γίνονται κι-
θαρισταί· ἀνάλογον δὲ οἱ οἰκοδόμοι καὶ οἱ λοιπὸν πάντες· ἐκ μὲν
γὰρ τοῦ ὦ οἰκοδομεῖν, ἀγαθοὶ οἰκοδόμοι ἔσονται· ἐκ δὲ τοῦ κακῶς, κα-
κοί· εἰ δὲ μὴ οὕτως εἶχεν, οὐδὲν ἂν ἔδει τοῦ διδάξοντος· ἀλλὰ πάν-
τες ἂν ἐγίνοντο ἀγαθοὶ, ἢ κακοί· οὕτω δὴ καὶ ἐπὶ τῶν ἀρετῶν ἔχει· πράτ-
τοντες γὰρ τὰ ἐν τοῖς συναλλάγμασι τοῖς πρὸς τοὺς ἀνοῦς, γι-
νόμεθα οἱ μὲν δίκαιοι, οἱ δὲ ἄδικοι· πράττοντες δὲ τὰ ἐν τοῖς δει-
νοῖς, καὶ ἐθιζόμενοι φοβεῖσθαι ἢ θαρρεῖν· οἱ μὲν, ἀνδρεῖοι· οἱ δὲ, δει-
λοί· ὁμοίως δὲ καὶ περὶ τὰς ἐπιθυμίας ἔχει καὶ τὰ περὶ τὰς ὀρ-
γάς· οἱ μὲν γὰρ σώφρονες καὶ πρᾶοι γίνονται· οἱ δὲ, ἀκόλαστοι καὶ ὀρ-
γίλοι· οἱ μὲν ἐκ τοῦ οὕτω σὶ ἐν αὐτοῖς ἀναστρέφεσθαι· οἱ δὲ, ἐκ τοῦ
οὕτως· καὶ ἑνὶ δὴ λόγῳ ἐκ τῶν ὁμοίων ἐνεργειῶν, αἱ ἕξεις γίνονται· διὸ
δεῖ τὰς ἐνεργείας τοιὰς ἀποδιδόναι· κατὰ γὰρ τὰς τούτων διά-
φορας, ἀκολουθοῦσιν αἱ ἕξεις· οὐ μικρὸν οὖν διαφέρει τὸ οὕτως ἢ οὕτως
εὐθὺς ἐκ νέων ἐθίζεσθαι, ἀλλὰ πάμπολυ· μᾶλλον δὲ τὸ πᾶν· ἐπεὶ
οὖν ἡ παροῦσα πραγματεία, οὐ θεωρίας ἕνεκά ἐστι ὥσπερ αἱ ἄλ-
λαι· οὐ γὰρ ἵν' εἰδῶμεν τί ἐστιν ἡ ἀρετὴ σκεπτόμεθα· ἀλλ' ἵν' ἀγα-
θοὶ γενώμεθα, ἐπεὶ οὐδὲν ἂν ἦν ὄφελος αὐτῆς, ἀναγκαῖον ἐπι-
σκέψασθαι περὶ τὰς πράξεις πῶς πρακτέον αὐτάς· αὗται γὰρ
εἰσι κύριαι καὶ τοιποιὰς γενέσθαι τὰς ἕξεις, καθάπερ εἰρήκαμεν·
τὸ μὲν οὖν κατὰ τὸν ὀρθὸν λόγον πράττειν, κοινὸν καὶ ὑπερκεί-
σθω· ῥηθήσεται δ' ὕστερον περὶ αὐτοῦ καὶ τί ἐστιν ὁ ὀρθὸς λόγος, καὶ

πῶς

ως δ' ἔχει πρὸς τὰς ἀλλας ἀρετὰς ἐκεῖνο δεῖ προσθεῖναι ὅτι
περὶ πράξεις μὲν ἐστὶν ἡ τελεία ἀρετὴ καὶ τὸ εὖ πράττειν οὐκ ἄνευ
ταύτης ὀρθῶς ὁ φείλει λεχθῆναι, ὡς περ καὶ πρότερον εἴρηται, ὅτι καὶ τὰ τῶν ὑλικῶν λόγοι
ἀποπληρωτικοὶ τὰ δ' ἐν ταῖς πράξεσι καὶ τὰ συμφέροντα, ὧν
δεῖν ἕξεως ἔχει, ὥσπερ οὐδὲ ταύτας καὶ τοὺς τούτου δ' ὄντος τοῦ κα
θόλου λόγου, ἔτι μᾶλλον ὁ ὀρθὸς ἐν τούτοις καθ' ἕκαστα λόγος ἁρμόττει
κειμένοις. ἔστι γὰρ ὑπὸ τὴν αἴσθησιν ἡ περὶ τοιούτων πρᾶξις. δεῖ δ' αὐτοὺς ἀεὶ τοὺς πράττοντας, τὰ πρὸς τὸν καιρὸν σκο
πεῖν, ὥσπερ ἐπὶ φρονήσεως ἔχει καὶ φρονήσεως πολιτικῆς. ἀλλὰ
καὶ περὶ τὸν τοιοῦτον τοῦ περὶ τοὺς λόγους, πειρατέον βοη
θεῖν. πρῶτον οὖν τοῦτο θεωρητέον, ὅτι τοιαῦτα πέφυκεν ὑ
πὸ ἐνδείας καὶ ὑπερβολῆς φθείρεσθαι δεῖ γὰρ ὑπὲρ τῶν ἀφα
νῶν τοῖς φανεροῖς μαρτυρίοις χρῆσθαι, ὥσπερ ἐπὶ φρόνησις
τῆς ὑγιείας ὁρῶμεν· τὰ γὰρ ὑπερβάλλοντα γυμνάσια καὶ τὰ ἐλ
λείποντα, φθείρει τὴν ἰσχύν· ὁμοίως δὲ καὶ τὸ πρὸς τὴν τροφὴν
πολὺ καὶ ἐλάττον ἀμφοῖν φθείρει τὴν ὑγίειαν. τὸ δὲ σύμμετρον
καὶ ποιεῖ καὶ αὔξει καὶ σῴζει· οὕτως οὖν καὶ ὧν ἡ σωφροσύνης καὶ ἀν
δρείας ἔχει καὶ τῶν ἄλλων ἀρετῶν· ὁ μὲν γὰρ πάντα φεύγων καὶ φο
βούμενος, καὶ μηδὲν ὑπομένων, δειλὸς γίνεται· ὁ μὲν μηδὲν ὅλως
φοβούμενος, ἀλλὰ πρὸς πάντα βαδίζων, θρασύς· ὁμοίως δὲ
ὁ μὲν ἐπὶ πᾶσιν ἡδονῆς ἀπολαύων, καὶ μηδεμιᾶς ἀπεχόμενος,
ἀκόλαστος· ὁ δὲ πάσας φεύγων ὥσπερ οἱ ἄγροικοι, ἀναίσθητός
τις· φθείρεται γὰρ καὶ σωφροσύνη καὶ ἀνδρία ὑπὸ τῆς ὑπερβολῆς καὶ
τῆς ἐλλείψεως· ὑπὸ δὲ τῆς μεσότητος σῴζεται· ἀλλ' οὐ μόνον αἱ γε
νέσεις εἰσὶ καὶ αὐξήσεις καὶ φθοραὶ, ἐκ τῶν αὐτῶν καὶ ὑπὸ τῶν αὐτῶν
γίνονται· ἀλλὰ καὶ αἱ ἐνέργειαι, ἐν τοῖς αὐτοῖς ἔσονται καὶ γὰρ
ἐπὶ τῶν ἄλλων τῶν φανερωτέρων οὕτως ἔχει· οἷον ἐπὶ τῆς ἰσχύ
ος· γίνεται γὰρ καὶ ἐκ τοῦ πολλὴν προσλαμβάνειν, καὶ πολ
λοὺς πόνους ὑπομένειν· καὶ μάλιστα δύναται ταῦτα ποιεῖν ὁ ἰ
σχυρός· οὕτω δ' ἔχει καὶ ἐπὶ τῶν ἀρετῶν· ἐκ τε γὰρ τοῦ μὴ χαίρειν τοῖς

ἢ δυνῶν πρόμεθα σώφρονες. ἢ μᾶλλον οἱ, μᾶλλον δυνάμεθα
ἁπτόμενοι αὐτῶν. ὁμοίως δὲ καὶ ἐπὶ τῆς ἀνδρείας. ἐθιζόμενοι γὰρ
φρονεῖν τὰ φοβερὰ καὶ ὑπομένειν αὐτὰ, γινόμεθα ἀνδρεῖοι. ἢ τε
νόμοι, μᾶλλον ἀναδεσμοῦσι μεθ' αὑτῶν τὸ φοβερόν. σημεῖον δὲ τοῦτο
ἐστὶν ἡ τῶν ἐξεων. τοῖς μὲν γὰρ ὑπομένουσιν δυνηθῶσιν. ἢ λύπην τοῖς
ἐργοις. ὁ μὲν γὰρ ἀπεχόμενος τῶν σωματικῶν ἡδονῶν, καὶ αὐτῷ
τούτῳ χαίρων, σώφρων. ὁ δὲ ἀχθόμενος, ἀκόλαστος. καὶ ὁ μὲν
ὑπομένων καὶ ἡδόμενος ἐπὶ χαίρων ἢ μὴ λυπούμενος γε, ἀνδρεῖος. ὁ δὲ λυ
πούμενος. δειλός. περὶ ἡδονὰς δὲ λύπας ὅσιν αἱ ἠθικαὶ ἀρεταί. διὰ μὲν
τῶν ἡδονῶν, τὰ φαῦλα πράττομεν. διὰ δὲ τὴν λύπην, τῶν καλῶν
ἀπεχόμεθα. διὸ δεῖ ἠχθαίρωσθαι πως εὐθὺς ἐκ νέων ὡς ὁ Πλάτων φη-
σίν. ὡς τε χαίρειν τε καὶ λυπεῖσθαι οἷς δεῖ. ἡ γὰρ ὀρθὴ παιδεία αὐ-
τὴ ἐστίν. ἔτι δὲ εἰ αἱ ἀρεταὶ εἰσι περὶ πράξεις καὶ πάθη, παντὶ δὲ πάθει
καὶ πράξει ἕπεται ἡδονὴ καὶ λύπη. καὶ διὰ τοῦτ' ἂν εἴη ἡ ἀ
ρετὴ περὶ ἡδονὰς καὶ λύπας. μιμοῦνται δὲ αἱ κολάσεις γινόμε
νας διὰ τούτων. ἰατρεῖαι γάρ τινες εἰσιν. αἱ δὲ ἰατρεῖαι, διὰ τἐναντί
ου φύκασιν εἰώθασιν. ἔτι δὲ καθάπερ εἴπομεν. πᾶσα ψυχῆς ἕ-
ξις, ὑφ' οἵων πέφυκε γίνεσθαι χείρων ἢ βελτίων, πρὸς ταῦτα καὶ
περὶ ταῦτα τὴν φύσιν ἔχει. δὴ δὲ καὶ αἱ ἡδοναὶ ἢ λύπαι φαῦλαι γίνον
ται περὶ διώκειν ταύτας καὶ φεύγειν. ἢ ἃς μὴ δεῖ. ἢ ὅτι οὐ δεῖ. ἢ ὡς οὐ-
δεῖ, ἢ ὅσαι χῶς ἄλλως ὑπὸ τὸν λόγον δι' ὁρίζονται τὰ τοιαῦτα. διὸ
καὶ ὁρίζονται τὰς ἀρετὰς ἀπαθείας τινὰς καὶ ἠρεμίας. ὀρθῶς δὲ, ὅ-
τι μάλιστα λέγουσιν, ἀλλ' οὐχ ὡς δεῖ. οὐδὲ ὡς ὀφείλει. ἢ ὅτε. ὅσαι δὲ ἄλλαι
προστίθενται ὑπάρχειται ἄρα ἡ ἀρετὴ εἶναι περὶ τὰς ἡδονὰς καὶ
λύπας. τῶν βελτίζων πρακτικὴ. ἢ δὲ κακία, τοὐναντίον.
φανεροὶ τοίνυν ἂν εἶμεν ἐκ τούτων φανερὸν, ἔτι περὶ τῶν αὐτῶν. ἐ-
ὧν γὰρ ὁμοίως εἰς τὰς αἱρέσεις, καὶ ἐξιῶν ὄντων εἰσὶ τὰς φυσικὰς
καὶ ὃ συμφέρον ἐστὶ καὶ ἡδέος, καὶ πρὸς ἃ ὄντων ἐναντίων, αἰσχροῦ ἀσυμφό
ρου. λυπηροῦ, περὶ ταὐτά ἐστιν. ὁ ἀγαθὸς καὶ ῥθωτικός ὅστιν.
ὁ δὲ κακὸς, ἀμφοτερικός. μᾶλλον δὲ περὶ τὴν ἡδονὴν. κοινὴ γὰρ αὕ
τη πρὸς ζώοις, καὶ πᾶσι τοῖς ὑποτὴν αἵρεσιν παρακολουθεῖ. καὶ

γὰρ τὸ καλὸν, ἢ τὸ συμφέρον, ἡδὺ φαίνεται· ἔτι δ' ἐκ τῶν αὐτῶν ἀνθρώπων συμβαίνει ἅμα· ὃ δὲ ἐκ τῶν αὐτῶν ἀεὶ γίνεται, ταὐτὸν πάθος ἐγκεχωρισμένου τοῦ βίου καὶ οὐ κατὰ τὰς πράξεις· οἷς μᾶλλον· οἷς δ' ἧττον, ἡδονὴ καὶ λύπη, διὰ τοῦτ' ἔδοξαν εἶναι οἱ περὶ τὰς τέχνας πραγματείαν· οὐ γὰρ μικρὸν εἰς τὰς πράξεις οὖν ἢ καλῶς χαίρειν ἢ λυπεῖσθαι· ἔτι δὲ χαλεπώτερον ἡδονῇ μάχεσθαι ἢ θυμῷ, καθάπερ φησὶν Ἡράκλειτος· περὶ δὲ τὸ χαλεπώτερον ἀεί ἐστιν ἡ τέχνη καὶ ἡ ἀρετή· ἡ δὲ τοῦ, βέλτιον ἐν τούτῳ, ὥστε καὶ διὰ τοῦτο περὶ ἡδονὰς καὶ λύπας πᾶσα ἡ πραγματεία· καὶ τῇ ἠθικῇ καὶ τῇ πολιτικῇ· ὁ μὲν γὰρ οὖν τύραννος χρώμενος, ἀγαθὸς ἔσται ὁ δὲ κακῶς, κακός· ὅτι μὲν δή ἐστιν ἡ ἀρετὴ περὶ ἡδονὰς καὶ λύπας, καὶ ὅτι ἐξ ὧν γίνεται καὶ αὐξηθεῖσα φθείρεται, καὶ ὅταν τούτων καὶ αὐξηθεῖσα, καὶ ὅτι ἐξ ὧν γίνεται καὶ αὐξηθεῖσα καὶ ἐνεργεῖ, εἰρήσθω· ἀπορήσειε δ' ἄν τις, πῶς λέγομεν· ὅτι δεῖ τοὺς μὲν δικαίους πράττοντας δικαίους γίνεσθαι· τοὺς δὲ σώφρονας, σώφρονας· εἰ γὰρ πράττουσι τοὺς δικαίους καὶ τοὺς σώφρονας, ἤδη εἰσὶ δίκαιοι καὶ σώφρονες, ὥσπερ εἰ τὰ γραμματικὰ καὶ μουσικά, γραμματικοὶ καὶ μουσικοί· ἢ οὐχ ἐπὶ τῶν τεχνῶν ὅτως ἔχει· ἐνδέχεται γὰρ γραμματικόν τι ποιῆσαι καὶ ἀπὸ τύχης, ἢ ἄλλου ὑποδείξαντος· τότε οὖν ἔσται γραμματικός, ἐὰν καὶ γραμματικόν τι ποιήσῃ, καὶ γραμματικῶς· τοῦτο δ' ἐστὶ τὸ κατὰ τὴν τέχνην ἐν αὐτῷ γραμματικήν· ἔτι δὲ ὅμοιον οὐκ ἔστιν ἐπὶ τῶν τεχνῶν καὶ τῶν ἀρετῶν· τὰ μὲν γὰρ ὑπὸ τῶν τεχνῶν γινόμενα, τὸ εὖ ἔχει ἐν ἑαυτοῖς· ἀρκεῖ οὖν τοῦτο πῶς ἔχοντα γενέσθαι· τὰ δὲ κατὰ τὰς ἀρετὰς γινόμενα, οὐκ ἐὰν αὐτά πως ἔχῃ, δικαίως ἢ σωφρόνως πράττεται, ἀλλὰ καὶ ἐὰν ὁ πράττων πῶς ἔχων πράττῃ, πρῶτον μὲν, ἐὰν εἰδὼς· ἔπειτα ἐὰν προαιρούμενος· καὶ προαιρούμενος δι' αὐτά· τὸ δὲ τρίτον, ἐὰν βεβαίως καὶ ἀμετακινήτως ἔχων πράττῃ· τῶν τε δὲ πρὸς μὲν τὸ τὰς ἄλλας τέχνας ἔχειν, ἃ ζῶν ἀριθμεῖται, πλὴν αὐτὸ τὸ εἰδέναι· τὰ δὲ πρὸς τὰς ἀρετὰς, τὸ μὲν εἰδέναι μικρὸν ἢ ὅ

δένι ἰχύφ. τὰδ' ἄλλα σ̓ μικρὸν· ἀλλὰ τὸ πᾶν δύνασται· ὥσπερ
καὶ ἐκ τοῦ πολλάκις πράττειν τὰ δίκαια καὶ τὸν σώφρονα
γενέσθαι φαμέν. τί μὴν ἔστι πράγματα, δίκαια ἢ σώφρονα λέγεται,
ὅταν ᾖ τοιαῦτα, οἷα ἂν ὁ δίκαιος ἢ ὁ σώφρων πράξειε· δίκαι-
ος δὲ καὶ σώφρων οὐκέτι μ, οὐχ ὁ ταῦτα πράττων, ἀλλὰ ἢ ὁ οὕτω πράτ-
των, ὡς οἱ δίκαιοι καὶ οἱ σώφρονες πράττουσιν. ὧν οὖν λέγεται, ὅ-
τι ἐκ τοιούτων δίκαια πράττειν ὁ δίκαιος γίνεται· καὶ ἐκ τοῦ τὰ σώφρο-
να, ὁ σώφρων· ἐκεῖ δὲ μὴ πράττειν ταῦτα, ἀλλ' εἰς αὐτὰ δὲ μελέτης γε-
νέσθαι ἀγαθός· ἀλλοῖ πολλοὶ· ταῦτα μὲν οὖν πράττουσιν· ἐπὶ δὲ τὸν λό-
γον καταφεύγουσι, οἴονται φιλοσοφεῖν, καὶ οὕτως ἔσεσθαι σπου-
δαῖοι· ὅμοιόν τι πάσχοντες τοῖς κάμνουσιν· οἱ μὲν ἰατρῶν ἀκού-
ουσι μὲν ἐπιμελῶς, πράττουσι δ' οὐθὲν τῶν προσταττομένων· ὥσ-
περ οὖν οὐδ' ἐκείνοις εὖ ἕξει τὸ σῶμα, οὕτω θεραπευόμενοι, οὐδ' οὕ-
τως τὴν ψυχὴν, οὕτω φιλοσοφοῦντες· μετὰ δὲ ταῦτα τί ὄφελος ἢ ἀρε-
τὴν σκέπτεσθαι· ἐπεὶ δὴ ταύτην τὴν ψυχῆς τινὰ φαμὲν εἶναι ἕξιν· φανε-
ρὸν ἐκ τούτων· ἢ ἀρετὴ λέγω δὴ πάθη μ, ἐφ' οἷς μέν ἐστιν
ὀργὴν θυμ· φόβ· θράσος· φθόν· χαράν· φιλίαν· μίσ· πόθ· ζῆλ· ἔ-
λε· ὅλως οἷς ἕπεται ἡδονὴ ἢ λύπη· δυνάμεις δὲ καθ' ἃς παθητικοί
τ λεγόμεθα· οἷον καθ' ἃς δυνατοὶ ὀργισθῆναι, ἢ λυπηθῶναι ἢ ἐλεῆ-
σαι· ἕξεις δὲ, καθ' ἃς πρὸς τὰ πάθη ἐχόμ· οὐ ἢ κακ· οἷον πρὸς τὸ ὀργι-
σθῆναι· εἰ μ σφοδρῶς ἢ ἀνιέμ· κακ· ἐχόμ· εἰ δὲ μέσως, οὐ· ὁ
μοίως δὲ πρὸς τἆλλα· πάθη μ δ' εἰσὶν ἃ πάσχεται, ἃ αἰσχρό-
τητα, ὅτι δ λεγόμεθα κ τὰ πάθη ἀνδρεῖοι ἢ φαῦλοι καὶ τοιοῦτοι
ἀρετὰς ἢ τοὺς κακίας λεγόμεθα· ἔτι ὅτι μ τὰ πάθη, δι' ἃ ἐπαι-
νούμεθα ἢ ψεγόμεθα· ἐπὶ ὀργιζόμενος ἢ φοβούμενος, ἐπαινούμεθα
ἢ ψεγόμεθα· ἐπὶ ὀργιζόμενος μὲν οὐ πρὸς τὸν τυχόντα, ἀλλ' ὁ πρὸς
τοὺς ἀρετὰς ἢ τοὺς κακίας, ἐπαινούμεθα ἢ ψεγόμεθα· ἐπὶ ὀρ-
γιζόμεθα ἢ φοβούμεθα, οὐ προαιρέτως· αἱ δὲ ἀρεταὶ, προαιρέσεις
τινὲς ἢ οὐκ ἄνευ προαιρέσεως· πρὸς δὲ τούτοις, κατὰ μὲν τὰ πά-
θη κινεῖσθαι λεγόμεθα· κ δὲ τὰς ἀρετὰς ἢ τὰς κακίας, οὐ κινεῖ
σθαι, ἀλλὰ διακεῖσθαι πως· διὰ ταῦτα δὲ, ἃ μὲν ἀρε-

ἀγαθοὶ λεγόμεθα τῷ δύνασθαι πράττειν ἀβλαβῶς, ὅτι καὶ οἱ ὅτ' ἐπαινούμεθα· ὅτε γὰρ μεθα· καὶ ἔτι δυνατοὶ μὴ ἐς μὴ φύσει· ἀγαθοὶ ἢ κακοὶ οὐ γιγνόμεθα φύσει· εἴπερ μηδὲ περὶ τούτου πρότερον· εἰ δ' ἄρ μήτε παθητικοὶ εἰσὶν αἱ ἀρεταί, μήτε δυνάμεις, λείπεται ἐξεις αὐτὰς εἶναι· ὅτι μὲν οὖν δεῖ τῷ γένει ἡμῖν ἀρετή, εἴρηται· δεῖ δὲ μὴ μόνον οὕτως εἰπεῖν ὅτι ἕξεις, ἀλλὰ καὶ ποιάς τις· ἡ τοίνυν ὅτι πᾶσα ἀρετὴ ἂν εἴη ἀρετή, οὗ τότε εὖ ἔχον ἀποτελεῖ, καὶ τὸ ἔργον αὐτοῦ οὗ ἀποδίδωσιν· οἷον ἡ τοῦ ὀφθαλμοῦ ἀρετή, τούτου ὀφθαλμὸν ποιοῦ ἀγαθὸν ποιεῖ, καὶ τὸ ἔργον αὐτοῦ· τῇ γὰρ τοῦ ὀφθαλμοῦ ἀρετῇ ὁρῶμεν· ὁμοίως καὶ τοῦ ἵππου ἀρετὴ ἵππον τε ποιοῦ ἀγαθὸν καὶ εὐίππους καὶ ἐν ἱππασίᾳ καὶ ἐν τοῖς πολεμίοις· εἰ δὴ τοῦτ' ἐπὶ πάντων ἐστίν, ἡ τοῦ ἀνθρώπου ἀρετὴ εἴη ἂν ἕξις, ἀφ' ἧς ἀγαθὸς ἄνθρωπος γίνεται· καὶ ἀφ' ἧς εὖ τὸ ἑαυτοῦ ἔργον ἀποδώσει πᾶσα γὰρ τέχνη ἐστὶ καὶ μάθησις· ἔτι δὲ καὶ ὧδε ἔσται φανερόν· ἐὰν θεωρήσωμεν τίς ἐστὶν ἡ φύσις αὐτῆς· ἐν πάντι δὴ συνεχεῖ καὶ διαιρετῷ ἔστι λαβεῖν τὸ μὲν πλεῖον· τὸ δ' ἔλαττον· τὸ δ' ἴσον· καὶ ταῦτα ἢ κατ' αὐτὸ τὸ πρᾶγμα, ἢ πρὸς ἡμᾶς· τὸ δ' ἴσον μέσον τι ὑπερβολῆς καὶ ἐλλείψεως· λέγω δ' ὅτι μὲν πράγματος μέσον, τὸ ἴσον ἀπέχον ἀφ' ἑκατέρου τῶν ἄκρων ὁ περ ἔστιν ἓν καὶ ταὐτὸν πᾶσι· πρὸς ἡμᾶς δ' ὃ μήτε πλεονάζῃ μήτε ἐλλείπειν δέον τοις· ἄρα δ' ἔχει· ἢ τὸ αὐτὸ πᾶσι· οἷον εἰ τὰ δέκα πολλά, τὰ δὲ δύο ὀλίγα, τὰ ἓξ μέσα λαμβάνουσι κατὰ τὸ πρᾶγμα· ἴσῳ γὰρ ὑπερέχει καὶ ὑπερέχεται· τοῦτο δὲ μέσον ἐστὶ κατὰ τὸν ἀριθμητικὸν ἀνάλογον· τὸ δὲ πρὸς ἡμᾶς, οὐχ οὕτω λητέον· οὐ γὰρ εἴ τῳ δέκα μνᾶς φαγεῖν πολύ· δύο δὲ ὀλίγον, ὁ ἀλείπτης ἓξ μνᾶς προστάξει· ὅτι γὰρ ἴσως καὶ τούτῳ πολὺ τῷ λητομένῳ δὲ ὀλίγον· Μίλωνι μὲν γὰρ ὀλίγον· τῷ δ' ἀρχομένῳ τῶν γυμνασίων, πολύ· ὁμοίως ἐπὶ δρόμου καὶ πάλης· οὕτω δὴ πᾶς ἐπιστήμων τὴν ὑπερβολὴν καὶ τὴν ἔλλειψιν φεύγει· τὸ δὲ μέσον ζητεῖ καὶ τοῦθ' αἱρεῖται· μέσον δὲ τὸ τοῦ πράγματος, ἀλλὰ τὸ πρὸς ἡμᾶς· εἰ δὴ πᾶσα ἐπι-

οὕτω τὸ ἔργον εὖ ἐπιτελεῖ πρὸς τὸ μέσον βλέπουσα καὶ εἰς τοῦ-
τ' ἄγουσα τὰ ἔργα. ὅθεν εἰώθασιν καὶ λέγειν τοῖς εὖ ἔχουσιν ἔρ-
γοις, ὅτι οὔτ' ἀφελεῖν ἔστιν, οὔτε προθεῖναι. ὡς τῆς μὲν ὑπερβολῆς
καὶ τῆς ἐλλείψεως φθειρούσης τὸ εὖ. τῆς δὲ μεσότητος σωζούσης. οἱ δ'
ἀγαθοὶ τεχνῖται ὡς δὴ λέγομεν πρὸς τοῦτο βλέποντες ἐργάζονται.
ἡ δὲ ἀρετὴ, πάσης τέχνης ἀκριβεστέρα καὶ ἀμείνων ἐστίν, ὥσπερ καὶ
ἡ φύσις τοῦ μέσου ἂν εἴη στοχαστική. λέγω δὲ τὴν ἠθικὴν. αὕτη γὰρ ἐστὶ
περὶ πάθη καὶ πράξεις. ἐν δὲ τούτοις ἐστὶν ὑπερβολὴ καὶ ἔλλειψις
καὶ τὸ μέσον, οἷον καὶ φοβηθῆναι, καὶ θαρρῆσαι. καὶ ἐπιθυμῆσαι. καὶ
ὀργισθῆναι. καὶ ἐλεῆσαι. καὶ ὅλως ἡσθῆναι καὶ λυπηθῆναι ἐστι καὶ μᾶλ-
λον καὶ ἧττον. καὶ ἀμφότερα οὐκ εὖ. τὸ δ' ὅτε δεῖ, καὶ ἐφ' οἷς, καὶ πρὸς
οὓς, καὶ οὗ ἕνεκα καὶ ὡς δεῖ, μέσον τε καὶ ἄριστον, ὅπερ ἐπὶ τῆς ἀρετῆς.
ὁμοίως δὲ καὶ περὶ τὰς πράξεις ἐστὶν ὑπερβολὴ καὶ ἔλλειψις, καὶ
τὸ μέσον. ἡ δὲ ἀρετὴ, περὶ πράξεις καὶ πάθη ἐστίν. ἐν οἷς ἡ μὲν ὑπερ-
βολὴ ἁμαρτάνεται, καὶ ἡ ἔλλειψις ψέγεται. τὸ δὲ μέσον, ἐπαινεῖται καὶ κα-
τορθοῦται. ταῦτα δ' ἄμφω τῆς ἀρετῆς. μεσότης τις ἄρα ἐστὶν
ἡ ἀρετὴ στοχαστικὴ γε οὖσα τοῦ μέσου. ἔτι τὸ μὲν ἁμαρτάνειν, πολ-
λαχῶς ἐστι. τὸ γὰρ κακὸν, τοῦ ἀπείρου ὡς οἱ πυθαγόρειοι εἴκαζον.
τὸ δ' ἀγαθὸν, τοῦ πεπειραμένου. τὸ δὲ κατορθοῦν μοναχῶς. διὸ
καὶ τὸ μὲν ῥᾴδιον. τὸ δὲ χαλεπόν. ῥᾴδιον μὲν τὸ ἀποτυχεῖν τοῦ σκο-
ποῦ. χαλεπὸν δὲ, τὸ ἐπιτυχεῖν. καὶ διὰ ταῦτ' οὖν, τῆς μὲν κακίας,
ἡ ὑπερβολὴ καὶ ἡ ἔλλειψις. τῆς δὲ ἀρετῆς, ἡ μεσότης. ἐσθλοὶ μὲν καὶ
ἁπλῶς. παντοδαπῶς δὲ κακοί. ἔστιν ἄρα ἡ ἀρετὴ ἕξις προαι-
ρετικὴ ἐν μεσότητι οὖσα τῇ πρὸς ἡμᾶς ὡρισμένῃ λόγῳ. καὶ ὡς
ἂν ὁ φρόνιμος ὁρίσειε. μεσότης δὲ δύο κακιῶν. τῆς μὲν, καθ'
ὑπερβολήν. τῆς δὲ, κατ' ἔλλειψιν. καὶ ἔτι τῷ τὰς μὲν, ἐλλεί-
πειν, τὰς δ' ὑπερβάλλειν. τοῦ δέοντος, ἔν τε τοῖς πάθεσι καὶ ἐν
ταῖς πράξεσι. τὴν δ' ἀρετὴν, τὸ μέσον καὶ εὑρίσκειν καὶ αἱρεῖσθαι.
διὸ κατὰ μὲν τὴν οὐσίαν καὶ τὸν λόγον τὸν τί ἦν εἶναι λέγοντα, μεσότης ἐστὶν ἡ ἀ-
ρετὴ, κατὰ δὲ τὸ ἄριστον καὶ τὸ εὖ, ἀκρότης. οὐ πᾶσα δὲ πιδέχεται πρᾶξις

οὐ δὲ

οὐ δὲ πᾶν πάθος τὴν μεσότητα· ἔνια γὰρ εὐθὺς ὠνόμασται συνει-
λημμένα μετὰ τῆς φαυλότητος· οἷον ἐπιχαιρεκακία· ἀναισχυν-
τία· φθόνος· καὶ ἐπὶ τῶν πράξεων, μοιχεία· κλοπή· ἀνδροφονία·
πάντα γὰρ ταῦτα καὶ τὰ τοιαῦτα λέγεται, τῷ αὐτὰ φαῦλα εἶναι.
ἀλλ' οὐχ αἱ ὑπερβολαὶ αὐτῶν, οὐδὲ αἱ ἐλλείψεις· οὐκ ἔστιν οὖν οὐ-
δέ τοτε περὶ αὐτὰ κατορθοῦν, ἀλλ' ἀεὶ ἁμαρτάνειν· οὐδ' ἔστι τὸ εὖ ἢ
μὴ εὖ περὶ τὰ τοιαῦτα· ἐν τῷ, ἢ δεῖ καὶ ὅτε, καὶ ὡς μοιχεύειν· ἀλ-
λ' ἁπλῶς τὸ ποιεῖν ὁτιοῦν τούτων ἁμαρτάνειν ἐστίν· ὅμοιον οὖν τὸ ἀξιοῦν
καὶ περὶ τὸ ἀδικεῖν, καὶ δειλαίνειν· καὶ ἀκολασταίνειν εἶναι μεσότητα
ὑπερβολὴν καὶ ἔλλειψιν· ἔσται γὰρ οὕτω τε ὑπερβολῆς καὶ ἐλλείψε-
ως μεσότης, καὶ ὑπερβολῆς ὑπερβολή· καὶ ἔλλειψις, ἐλλείψεως·
ὥσπερ δὲ σωφροσύνης καὶ ἀνδρείας οὐκ ἔστιν ὑπερβολὴ ἢ ἔλλει-
ψις, διὰ τὸ, τὸ μέσον εἶναί πως ἄκρων, οὕτως οὐδὲ ἐκείνων με-
σότης· οὐδὲ ὑπερβολὴ καὶ ἔλλειψις, ἀλλ' ὡς ἂν πράττηται ἁμαρ-
τάνεται· ὅλως γὰρ οὔθ' ὑπερβολῆς καὶ ἐλλείψεως μεσότης ἐ-
στὶν· οὐδὲ μεσότητος ὑπερβολὴ καὶ ἔλλειψις· δεῖ δὲ τοῦτο μὴ μό-
νον καθόλου λέγεσθαι, ἀλλὰ καὶ ἐν τοῖς καθ' ἕκαστα ἐφαρμόττειν·
ἐν γὰρ τοῖς περὶ τὰς πράξεις λόγοις, οἱ μὲν καθόλου κοινότεροί εἰ-
σιν· οἱ δὲ ἐπὶ μέρους, ἀληθινώτεροι· περὶ δὲ τὰ καθ' ἕκαστα αἱ πρά- + cap 7.
ξεις· δέον δὲ ἐπὶ τούτων συμφωνεῖν· ληπτέον οὖν ταῦτα ἐκτίθεια
γραφῆς· περὶ μὲν οὖν φόβους καὶ θάρρη, ἀνδρεία μεσότης· τῶν δ'
ὑπερβαλλόντων, ὁ μὲν τῇ ἀφοβίᾳ, ἀνώνυμος· πολλὰ δ' ἔστιν ἀ-
νώνυμα· ὁ δ' ἐν τῷ θαρρεῖν ὑπερβάλλων, θρασύς· ὁ δὲ τῷ μὲν φο-
βεῖσθαι ὑπερβάλλων, τῷ δὲ θαρρεῖν ἐλλείπων, δειλός· περὶ ἡδο-
νὰς δὲ καὶ λύπας οὐ πάσας· περὶ δὲ τὰς σωματικὰς καὶ τούτων τὰς πε-
ρὶ ἁφὴν μάλιστα ἧττον δὲ καὶ περὶ τὰς λύπας, μεσότης μὲν, σωφρο-
σύνη· ὑπερβολὴ δὲ, ἀκολασία· ἐλλείπον τες δὲ περὶ τὰς ἡδονὰς,
οὐ πάνυ σίσνονται· διόπερ οὐδ' οὗτοι ὀνόματος τετυχήκασιν· ἔ-
στω σαν δὲ ἀναίσθητοι· περὶ δὲ δόσιν χρημάτων καὶ λῆψιν μεσότης
μὲν ἐλευθεριότης· ὑπερβολὴ δὲ καὶ ἔλλειψις, ἀσωτία καὶ ἀνελευθε-

ρία· ἐν ἀντίως δὲ αὐτὰς ὑπερβάλλουσι καὶ ἐλλείπουσιν· ὁ μὲν
γὰρ ἄσωτος· ἐν μὲν προέσει, ὑπερβάλλει· ἐν δὲ λείψει, ἐλλείπει·
ὁ δ' ἀνελεύθερος, ἐν μὲν λείψει, ὑπερβάλλει· ἐν δὲ προέσει, ἐλ-
λείπει· νῦν μὲν οὖν τύπῳ καὶ ἐπὶ κεφαλαίῳ, λέγομεν, ἀρκούμενοι
αὐτῷ τούτῳ· ὕστερον δὲ ἀκριβέστερον περὶ αὐτῶν διορισθήσεται· περὶ
δὲ τὰ χρήματά εἰσι, καὶ ἄλλαι διαθέσεις· μεσότης μὲν μεγαλοπρέ-
πεια· ὁ γὰρ μεγαλοπρεπὴς, διαφέρει ἐλευθερίου, ὁ μὲν γὰρ πε-
ρὶ, μεγάλα· ὁ δὲ περὶ μικρά· ὑπερβολὴ δὲ ἀπειροκαλία καὶ βα-
ναυσία· ἔλλειψις δὲ, μικροπρέπεια· διαφέρουσι δὲ αὗται τῶν πε-
ρὶ τὴν ἐλευθεριότητα· ὁ δὲ διαφέρουσιν, ὕστερον ῥηθήσεται· περὶ
δὲ τιμὴν καὶ ἀτιμίαν, μεσότης μὲν, μεγαλοψυχία· ὑπερβολὴ
δὲ, χαυνότης τις λεγομένη· ἔλλειψις δὲ μικροψυχία· ὡς δὲ λέγο-
μεν ἔχειν πρὸς τὴν μεγαλοπρέπειαν τὴν ἐλευθεριότητα πε-
ρὶ μικρὰ διαφέρουσαν, οὕτως ἔχει τις καὶ πρὸς τὴν μεγαλοψυ-
χίαν περὶ τιμὴν οὖσαν μεγάλην αὐτὴ περὶ μικρὰ οὖσα· ἔστι γὰρ
ὡς δεῖ ὀρέγεσθαι τιμῆς· καὶ μᾶλλον ἢ δεῖ· καὶ ἧττον· λέγεται δ' ὁ μὲν
ὑπερβάλλων ταῖς ὀρέξεσι φιλότιμος· ὁ δ' ἐλείπων, ἀφιλότι-
μος· ὁ δὲ μέσος, ἀνώνυμος· ἀνώνυμοι δὲ καὶ αἱ διαθέσεις· πλὴν ἡ οὖν
φιλοτίμου, φιλοτιμία· ὅθεν ἐπιδικάζονται οἱ ἄκροι τῆς μέσης χώ-
ρας· καὶ ἡμεῖς δὲ, ἔστι μὲν ὅτε, τὸν μέσον φιλότιμον καλοῦμεν· ἔστι δ' ὅτε,
ἀφιλότιμον· καὶ ἔστιν, ὅτε μὲν, ἐπαινοῦμεν τὸν φιλότιμον, ἔστι δ'
ὅτε, τὸν ἀφιλότιμον, διὰ τίνα δ' αἰτίαν τοῦτο ποιοῦμεν, τοῖς ἑ-
ξῆς ῥηθήσεται· νῦν δὲ περὶ τῶν λοιπῶν λέγομεν κατὰ τὸν ὑφη-
γημένον τρόπον· ἔστι δὲ καὶ περὶ ὀργὴν, ὑπερβολὴ καὶ ἔλλειψις καὶ με-
σότης· καὶ δὸν δὲ ἀνωνύμων ὄντων αὐτῶν τὸν μέσον, πρᾶον λέγοντες,
τὴν μεσότητα πραότητα καλέσομεν· τῶν δ' ἄκρων, ὁ μὲν ὑ-
περβάλλων, ὀργίλος ἔστω· ἡ δὲ κακία, ὀργιλότης· ὁ δ' ἐλλείπων,
ἀόργητός τις· ἡ δ' ἔλλειψις, ἀοργησία· εἰσὶ δὲ καὶ ἄλλαι τρεῖς με-
σότητες ἔχουσαι μέντοι ἀομοιότητα πρὸς ἀλλήλας· διαφέρου-
σι δὲ ἀλλήλων· πᾶσαι μὲν γάρ εἰσι περὶ λόγων καὶ πράξεων κοινω-

νί-

νίαν· διαφέρουσι δὲ ὅτι ἡ μὲν ἐστι περὶ τὸ ἀληθὲς τὸ ἐν αὐτοῖς·
αἱ δὲ περὶ τὸ ἡδύ· φύγυ δὲ, τὸ μὲν, ἐν παιδιᾷ· τὸ δὲ, ἐν πᾶσι τοῖς κα
τὰ τὸν βίον· ῥητέον οὖν καὶ περὶ φύτων, ἵνα μᾶλλον κατίδω μὲν ὅτι
ἐν πᾶσιν ἡ μεσότης ἐπαινετὸν· τὰ δ' ἄκρα οὔτε ὀρθὰ, οὔτε ἐπαι
νετά· ἀλλὰ ψεκτά· ἔστιν μὲν οὖν καὶ φύτων τὰ πλείω ἀνώνυμα·
πειρατέον δ' ὥσπερ καὶ ἐπὶ τῶν ἄλλων αὐτοὺς ὀνομαφποι-
εῖν, σαφηνείας ἕνεκεν καὶ τοῦ ἐπαρακολουθήτου· περὶ μὲν οὖν τὸ
ἀληθὲς, ὁ μὲν μέσος, ἀληθής τις, καὶ ἡ μεσότης ἀλήθεια λεγέσθω·
ἡ δὲ προσποίησις, ἡ μὲν ἐπὶ τὸ μεῖζον, ἀλαζονεία· καὶ ὁ ἔχων αὐ-
τὴν ἀλαζών· ἡ δὲ ἐπὶ τὸ ἔλαττον, εἰρωνεία, καὶ εἴρων· περὶ δὲ τὸ
ἡδὺ, τὸ μὲν ἐν παιδιᾷ· ὁ μὲν μέσος, εὐτράπελος, καὶ ἡ διάθε-
σις εὐτραπελία· ἡ δ' ὑπερβολὴ βωμολοχία· καὶ ὁ ἔχων αὐτὴν βω
μολόχος· ὁ δ' ἐλείπων, ἀγροικός τις· καὶ ἡ ἕξις, ἀγροικία· περὶ δὲ
τὸ λοιπὸν ἡδὺ τὸ ἐν τῷ βίῳ, ὁ μὲν ὡς δεῖ ἡδὺς ὤν, φίλος· καὶ
ἡ μεσότης φιλία· ὁ δ' ὑπερβάλλων, ὁ μὲν οὐδενὸς ἕνεκα ἄρε-
σκος· ὁ δ' ὠφηλείας καὶ αὐτοῦ, κόλαξ· ὁ δ' ἐλλείπων καὶ ἐν πᾶσιν
ἀηδὴς δύσερίς τις καὶ δύσκολος· εἰσὶ δὲ καὶ ἐν φῖς πάθεσι καὶ ἐν τῷ περὶ
τὰ πάθη μεσότητες· ἡ δὲ αἰδώς, ἀρετὴ μὲν οὐκ ἔστιν· ἐπαινεῖται δὲ καὶ
ὁ αἰδήμων· καὶ γὰρ ἐν φύγις, ὁ μὲν, λέγεται μέσος· ὁ δὲ ὑπερβάλ
λων, ὡς κατὰ πλήξ, ὁ πάντα αἰδούμενος· ὁ δ' ἐλλείπων, ἢ ὁ μὴ
δὲ ὅλως, ἀναίσχυντος· ὁ δὲ μέσος αἰδήμων· νέμεσις δὲ με-
σότης φθόνου καὶ ἐπιχαιρεκακίας· εἰσὶ δὲ περὶ λύπην καὶ ἡ δο
νὴν τὰς ἐπὶ τοῖς συμβαίνουσι τοῖς πέλας γινομένας· ὁ μὲν γὰρ νε
μεσητικός, λυπεῖται ἐπὶ τοῖς ἀναξίως εὖ πράττουσιν· ὁ δὲ φθο
νερὸς ὑπερβάλλων τοῦτον, ἐπὶ πᾶσι λυπεῖται· ὁ δ' ἐπιχαι
ρέκακος τοσοῦτον ἐλλείπει τοῦ λυπεῖσθαι, ὥστε καὶ χαίρειν·
ἀλλὰ περὶ μὲν οὖν φύτων, καὶ ἄλλοθι καιρὸς ἔσται· περὶ δὲ δικαιοσύ
νης, ἐπεὶ οὐχ ἁπλῶς λέγεται, μετὰ ταῦτα διελόμενοι περὶ
ἑκατέρας ἐροῦμεν πῶς μεσότητές εἰσιν· ὁμοίως δὲ καὶ περὶ τῶν

λογικῶν ἀρετῶν· τριῶν δὲ διαθέσεων οὐσῶν, δύο μὲν κακιῶν, τῶν μὲν καθ' ὑπερβολήν, τῶν δὲ κατ' ἔλλειψιν, μιᾶς δὲ ἀρετῆς τῶν μεσότητος, πᾶσαι πάσαις ἀντίκειν ταίπως· αἱ μὲν γὰρ ἄκραι, τῇ μέσῃ, καὶ ἀλλήλαις ἐναντίαι εἰσίν· ἡ δὲ μέση ταῖς ἄκραις· ὥσπερ γὰρ τὸ ἴσον, πρὸς μὲν τὸ ἔλαττον, μεῖζον· πρὸς δὲ τὸ μεῖζον, ἔλαττον, οὕτως αἱ μέσαι ἕξεις πρὸς μὲν τὰς ἐλλείψεις, ὑπερβάλλουσι· πρὸς δὲ τὰς ὑπερβολὰς, ἐλλείπουσιν ἔν τε τοῖς πάθεσι καὶ τῶν πράξεσιν· ὁ δὲ ἀνδρεῖος, πρὸς μὲν τὸν δειλόν, θρασὺς φαίνεται· πρὸς δὲ τὸν θρασύν, δειλός· ὁμοίως δὲ καὶ ὁ σώφρων· πρὸς μὲν τὸν ἀναίσθητον, ἀκόλαστος· πρὸς δὲ τὸν ἀκόλαστον, ἀναίσθητος· ὁ δ' ἐλευθέριος, πρὸς μὲν τὸν ἀνελεύθερον, ἄσωτος· πρὸς δὲ τὸν ἄσωτον, ἀνελεύθερος· διὸ καὶ ἀπωθοῦνται τὸ μέσον οἱ ἄκροι ἑκάτερος πρὸς ἑκάτερον, καὶ καλοῦσι τὸν ἀνδρεῖον· ὁ μὲν δειλός, θρασύν· ὁ δὲ θρασύς, δειλόν· καὶ ἐπὶ τῶν ἄλλων, ἀνάλοσον· οὕτω δ' ἀντικειμένων ἀλλήλοις τούτων, πλείστη ἐναντιότης ἐστὶ τοῖς ἄκροις πρὸς ἄμηλα, ἢ πρὸς τὸ μέσον· τορρωτέρω γὰρ ταῦτα ἀφέστηκεν ἀλλήλων· ἢ τοῦ μέσου· ὥσπερ τὸ μέγα τοῦ μικροῦ· καὶ τὸ μικρὸν τοῦ μεγάλου, ἢ ἄμφω τοῦ ἴσου· ἔτι πρὸς μὲν τὸ μέσον ἐνίοις ἄκροις, ὁμοιότης τὶς φαίνεται, ὡς τῇ θρασύτητι πρὸς τὴν ἀνδρείαν καὶ τῇ ἀσωτίᾳ πρὸς τὴν ἐλευθεριότητα· τοῖς δὲ ἄκροις πρὸς ἄμηλα, πλείστη ἀνομοιότης· τὰ δὲ πλεῖστον ἀπέχοντα ἀλλήλων, ἐναντία ὁρίζονται· ὥστε τοῦ μᾶλλον ἐναντία, τὰ πλεῖον ἀπέχοντα· πρὸς δὲ τὸ μέσον ἀντίκειται ἐφῶν μὲν, μᾶλλον ἡ ἔλλειψις· ἐφ' ὧν δὲ ἡ ὑπερβολή· οἷον ἀνδρείᾳ μὲν, οὐχ ἡ θρασύτης ὑπερβολὴ οὖσα· ἀλλ' ἡ δειλία ἔλλειψις οὖσα· τῇ δὲ σωφροσύνῃ, οὐχ ἡ ἀναισθησία ἔνδεια οὖσα· ἀλλ' ἡ ἀκολασία ὑπερβολὴ οὖσα· διὰ δύο δ' αἰτίας τοῦτο συμβαίνει· μίαν μὲν τὴν ἐξ αὐτοῦ τοῦ πράγματος· τῷ γὰρ ἐγγύτερον εἶναι καὶ ὁμοιότερον τὸ ἕτερον ἄκρον τῷ μέσῳ, οὐ τοῦτο

ἀλλα

ἀλλὰ τοὐναντίον αὐτὴ τίθεμεν μᾶλλον· οἷον ἐπεὶ ὁμοιότερον
εἶναι δοκεῖ τὴν ἀνδρείαν θρασύτητι ἢ δειλίᾳ, ταύτην μᾶλλον αὐτὴν
ἀντιτίθεμεν· τὸ γὰρ ἐγγὺς μᾶλλον ἀντιτίθεμεν· καὶ δοκεῖ
μέσου, ὡς ἀντιῴ τὰ δοκεῖν εἶναι· μία μὲν δὴ αἰτία αὕτη ἐκ τοῦ
τοῦ πράγματος· ἑτέρα ἐξ ἡμῶν αὐτῶν· πρὸς ἃ γὰρ αὐτοὶ μᾶλ-
λον πεφύκαμεν, ταῦτα μᾶλλον ἐναντία ἡμῖν φαίνεται·
οἷον, αὐτοὶ μᾶλλον πεφύκαμεν πρὸς τὰς ἡδονὰς· διὸ δυκατά-
φοροι ἐσμὲν πρὸς ἀκολασίαν, ἢ πρὸς κοσμιότητα· ταῦτ' ἐν μᾶλ-
λον ἐναντία λέγομεν, πρὸς ἃ ἡ ἐπίδοσις μᾶλλον γίνεται· καὶ δὴ καὶ
τοῦτ' ἀκολασία αὐτὸ περβολὴ ἔοικε, ἐναντιωτέρα δὲ τὴ σωφροσύ-
νη· ὅτι μὲν οὖν ἔστιν ἡ ἀρετὴ ἠθικὴ μεσότης καὶ πῇ, εἴρηται ἱκανῶς, καὶ ὅτι μεσό-
της δύο κακιῶν, τῇ μὲν κατ' ὑπερβολήν, τῇ δὲ κατ' ἔλλειψιν,
καὶ ὅτι τοιαύτη ἐστὶ διὰ τὸ στοχαστικὴ τῶν μέσων εἶναι τὰς ἐν τοῖς
πάθεσι καὶ ταῖς πράξεσιν, ἱκανῶς εἴρηται· διὸ καὶ ἔργον ἐστὶ σπου-
δαίου εἶναι τὸ ἑκάστῳ· ἐν ἑκάστῳ δὲ τὸ μέσον λαβεῖν, ἔργον· οἷον κύκλου τὸ
μέσον οὐ πᾶς γνώμων, ἀλλὰ τοῦ εἰδότος· οὕτω δή, καὶ τὸ μὲν ὀργισθῆναι
παντός, καὶ ῥᾴδιον, καὶ δῶρον ἀργύριον καὶ δαπανῆσαι· τὸ δὲ ᾧ καὶ ὅσον
καὶ ὅτε καὶ οὗ ἕνεκα καὶ ὡς, οὐκ ἔστι παντός, οὐδὲ ῥᾴδιον· διὸ σπάνιον, καὶ ἔπαινετὸν καὶ καλὸν καὶ σπουδαῖον τὸ
μέσον τοῦ πρώτου μὲν ἀποχωρεῖν τὸ μᾶλλον ἐναντίου, καθάπερ
καὶ ἡ Καλυψὼ παρῄνει, ὡς τὸ μὲν κατὰ πνεῦμα καὶ κύματος ἐκτὸς
ἔστω· τῶν δὲ ἄκρων, τὸ μὲν οὐδὲν ἁμαρτωλότερον, τὸ δὲ ἧττον· ἐπεὶ οὖν τὸ μέσου τυχεῖν ἄκρως χαλεπόν, καὶ τὸν δεύτερον
φασὶ πλοῦν, τὸ ἐλάττω κακὸν αἱρετέον τῶν κακῶν· τοῦτο δ' ἔσται
μάλιστα τοῦτον τὸν τρόπον ὃν ἐλέγομεν· σκοπεῖν δὲ δεῖ πρὸς ἃ
καὶ αὐτοὶ ἁρμοδιοφόροι ἐσμέν· ἄλλοι γὰρ πρὸς ἄλλα πεφύ-
καμεν· τοῦτο δ' ἔσται γνώριμον, ἐκ τοῦ ἡδονῆς καὶ λύπης
ἡμῖν γενομένης περὶ ἡμᾶς· εἰς τοὐναντίον δ' ἕαυτοὺς ἀφελκύ-
στέον· πολὺ γὰρ ἀποπεσόντες τοῦ ἁμαρτάνειν, εἰς τὸ μέσον

ἥξομεν. ὅπερ οἱ τὰ διεστραμμένα τῶν ξύλων ὀρθοῦντες ποιοῦσιν
ἐν παντὶ δὲ μάλιστα φυλακτέον τὸ ἡδὺ καὶ τὴν ἡδονήν. οὐ γὰρ ἀ-
δέκαστοι κρίνομεν αὐτήν. ὅπερ οὖν οἱ δημοσιέρητες ἔπαθον πρὸς τῶν
ἑλένην, τοῦτο δεῖ πάθειν καὶ ἡμᾶς πρὸς τὴν ἡδονήν. καὶ ἐν πᾶσι
τὴν ἐκείνων ἐπιλέγειν φωνήν. οὕτω γὰρ αὐτὴν ἀπεπεμπόμενοι,
ἧττον ἁμαρτησόμεθα. ταῦτ' οὖν ποιοῦντες ὡς ἐν κεφαλαίῳ εἰπεῖν
μάλιστα δυνησόμεθα τοῦ μέσου τυγχάνειν. χαλεπὸν δὲ ἴσως τοῦ-
το καὶ μάλιστ' ἐν τοῖς καθ' ἕκαστον. οὐ δὲ ῥᾴδιον διορίσαι, πῶς καὶ
τίσι καὶ ἐπὶ πρίοις, καὶ πόσον χρόνον ὀργιστέον. καὶ γὰρ ἡμεῖς ὁτὲ
μὲν τοὺς ἐλλείποντας ἐπαινοῦμεν, καὶ πράους φαμέν. ὁτὲ δὲ, τοὺς
χαλεπαίνοντας, ἀνδρώδεις ἀποκαλοῦμεν. ἀλλ' ὁ μὲν μι-
κρὸν τοῦ εὖ πρεκβαίνων, οὐ ψέγεται. οὔτ' ἐπὶ τὸ μᾶλλον, οὔτ' ἐπὶ τὸ
ἧττον. ὁ δὲ πλέον, οὗτος γὰρ οὐ λανθάνει. ὁ δὲ μέχρι τίνος, καὶ ἐπὶ πόσον
ψεκτὸς, οὐ ῥᾴδιον τῷ λόγῳ ἀφορίσαι. οὐ δεῖ γὰρ ἄλλο οὐδὲν τῶν αἰ-
σθητῶν. τὰ δὲ τοιαῦτα, ἐν τοῖς καθ' ἕκαστα καὶ ἐν τῇ αἰσθήσει ἡ
κρίσις. τὸ μὲν ἄρα τοσοῦτον δηλοῖ, ὅτι ἡ μέση ἕξις ἐν πᾶσιν ἐ-
παινετή. ἀποκλίνειν δὲ δεῖ, τοτὲ μὲν, ἐπὶ τὴν ὑπερ-
βολὴν. τοτὲ δὲ, ἐπὶ τὴν ἔλλειψιν. οὕτω
δὲ ῥᾷστα τοῦ μέσου καὶ τοῦ
εὖ τευξόμε-
θα.

ΤΕΛΟΣ ΤΟΥ Β'

ΑΡΙΣΤΟΤΕΛΟΥΣ ΗΘΙΚΩΝ ΝΙΚΟΜΑΧΕΙΩΝ.

ΤΟΜΟΣ Γ'.



πος ἀρετῆς δὲ περὶ παθητὸν πρᾶξις ἑκούσιος. ἠκούσιον δὲ δοκεῖ εἶναι τὸ βίᾳ ἢ δι' ἄγνοιαν γινόμενον. βίαιον μὲν οὖν, οὗ ἡ ἀρχὴ ἔξωθεν τοιαύτη οὖσα, ἐν ᾗ μηδὲν συμβάλλεται ὁ πράττων, ἢ ὁ πάσχων· οἷον εἰ πνεῦμα κομίσαι ποι ἢ ἄνθρωποι κύριοι ὄντες. ὅσα δὲ διὰ φόβον μείζονων καὶ λυπηρὰ πράττεται, ἢ διὰ καλόν τι· οἷον εἰ τύραννος προστάττοι αἰσχρόν τι πρᾶξαι, κύριοι ὢν μὴ ποιεῖν τὰ κελευόμενα· ἢ πράξαντες μὲν σώζοιντο· μὴ πράξαντες δ' ἀπολοίθησκοι. ἀμφισβήτησιν ἔχει πότερα ἀκούσια εἰσὶν ἢ ἑκούσια. φιοῦγον δέ τι συμβαίνει περὶ τοὺς ἐν τοῖς χειμῶσιν ἐκβολάς· ἁπλῶς μὲν γὰρ οὐδεὶς ἀποβάλλεται εἰκῇ· ἐπὶ σωτηρίᾳ δ' αὐτοῦ καὶ τῶν λοιπῶν ἅπαντες οἱ νοῦν ἔχοντες. μικταὶ μὲν οὖν εἰσὶν αἱ τοιαῦται πράξεις· ἐοίκασι δὲ μᾶλλον ἑκουσίοις· αἱρεταὶ γὰρ εἰσὶ τότε πραττόμεναι· τὸ δὲ τέλος ἐστὶ πράξεως, κατὰ τὸν καιρὸν ὅτε· καὶ τὸ ἑκούσιον καὶ τὸ ἀκούσιον ὅτε πρακτέον· πραττόμενον ἑκούσιον. ἔστι δ' ἡ ἀρχὴ τοιαύτη· τὸ ὀργανικὰ μέρη ἐν τῷ τοιούτῳ πράξεσιν, ἀναίτια· ὧν δὲ ἀναίτια ἡ ἀρχή, ἑκούσια· ὧν δὲ ἡ ἀρχὴ μὴ, ἑκούσια δὲ τὰ τοιαῦτα·

ἀπωλῶν δὲ δικαιοσύνα. οὐδεὶς δ' αἱρεῖται καθ' αὑτὸ τῶν τοιούτων οὐδέν· ἐπαινεῖται δὲ τὰς πράξεις ἢ τοῖς τοιούτοις ἰσχύουσιν ἐπαινεῖται, ὅταν αἰσχρόν τι ἢ λυπηρὸν ὑπομένωσιν, οἷον τιμωρούμενοι καλῶς· ἂν δ' αὖ ἀνάπαλιν, ψέγονται· τὸ γὰρ αἰσχρὸν ὑπομεῖναι ἐπὶ μηδενὶ καλῷ ἢ μετρίῳ, φαῦλον· ἐπὶ ἰσχύοις δ' ἔπαινος μέν, ὃ σύνεσιν συγγνώμην· ὅταν δὲ μὴ τοιαῦτα πράξῃ τις ἃ μὴ δεῖ, οὐ τῶν ἀνθρωπίνην φύσιν ὑπερτείνῃ· οὐ μηδεὶς ἂν ὑπομείναι· ἴσως δ' οὐκ ἔστιν ἀνάσκαθμα, ἀλλὰ μᾶλλον ἀνθρωπικόν· παθόντα τε δεινότατα· ἡ δ' Ἰφιγένεια πάθος ἀλκμαίωνα γελοῖα φαίνεται τὸν ἀνάγκασαν τε μητροκτονῆσαι· ὅτι ἦν χαλεπὸν ἐνίοτε τὸ κρίναι ποῖον ἀντὶ ποίου αἱρετέον, καὶ τί ἀντὶ τίνος ὑπομενητέον· ἔτι δὲ χαλεπώτερον τὸ ἐμμεῖναι τοῖς γνωσθεῖσιν· ὡς γὰρ ἐπὶ τὸ πολὺ ἔστι τὰ μὲν προσδοκώμενα λυπηρά, τὰ δὲ ἐφ' οἷς ἀγάζονται αἰσχρά· ὅθεν ἔπαινοι ψόγοι γίνονται περὶ τοὺς ἀνάγκαις ἢ μή· τὰ δὲ πρῶτα φαυλότερα εἶναι ἢ ἁπλῶς μέν, ὁποτὲ αὖ καὶ τῶν πρώτων αἱρετῶν ἐστὶν ἐν τοῖς ἐκτός· ἢ μηδὲν πράττων συμβάλλεται· ἃ δὲ καθ' αὑτὰ μέν, ἀκούσια ἔστιν, νῦν δὲ ἀντὶ τῶνδε αἱρετά· ἢ ἀρχὴ ἢ πρᾶττον τι καθ' αὑτὰ μὲν ἀκούσια· ἔστι νῦν ἀντὶ τῶνδε ἑκούσια· μᾶλλον ἔοικεν ἑκουσίοις· αἱ γὰρ πράξεις ἐν τοῖς καθ' ἕκαστα· ταῦτα δ' ἑκούσια· τίς δ' αὐτῶν αἱρετέον, οὐ ῥᾴδιον ἀποδοῦναι· πολλαὶ γὰρ διαφοραὶ ἐν τοῖς καθ' ἕκαστα· εἰ δέ τισι δόξειε τὰ καλὰ φαίνεσθαι ἡδέα εἶναι, ἀναίσχυντα ἐξωθοῦντα, ἔστι τε αὐτοῖς ἡδέα τῷ αὐτῷ εἶναι· ῥύεται γὰρ ἡδονή, καὶ ποιοῦσι πράττουσι· οἱ δὲ μὴ βιαίως ἄκοντες, λυπηροί· οἱ δὲ διὰ τὸ ἡδύ, τὸ κακὸν μεθ' ἡδονῆς· γελοῖον δὴ τὸ αἰτιᾶσθαι τὰ ἐκτὸς· αὐτὸν μὲν αὑτοῦ, ῥᾳθύματον ὄντα ὑποτίθεσθαι τοιούτων, τὸ δὲ καλὸν ἑαυτῷ· ἔστω δὴ αἰσχρὸν τὸ ἡδὺ ἔοικε τὸ εἶναι, ἔξωθεν ἡ ἀρχὴ μηθὲν συμβαλλομένου τοῦ βιασθέντος· τὸ δὲ ἀπρόαιρετον· οὐχ ἑκούσιον μὲν ἅπαν ἔστιν· ἀκούσιον δὲ τὸ ἐπίλυπον· καὶ ἐν μεταμελείᾳ ἔστι· ὁ γὰρ διάπτοιαν πράξας ὁτιοῦν, μηδὲ δυσχεραίνων ἐπὶ τῇ πράξει, ἑκὼν μὲν οὐ πράττειν· ὅμως

μὴ

μὴ εἰδεν· οὐδ' αὖ ἄκων μὴ λυπούμενός γε· τοῦτο δὴ τὸ ἀγνοιαν· ὁ μὲν γὰρ μετα μελείας, ἄκων δοκεῖ· ὁ δὲ μὴ μεταμελούμενος, ἐπεὶ ἕτερος ἔστω· οὐχ ἑκών· ἐπεὶ γὰρ διαφέρει, βέλτιον ὄνομα ἔχειν ἴδιον· ἑτέρου δ' ἔοικε τὸ δι' ἄγνοιαν πρᾶξαι τοῦ ἀνοοῦντος· ὁ μὲν μεθύων ἢ ὀργιζόμενος, οὐ δοκεῖ δι' ἄγνοιαν πρᾶξαι, ἀλλὰ διὰ τι τῶν εἰρημένων· οὐκ εἰδὼς δ', ἀλλ' ἀνοῶν· ἀνοεῖ μὲν οὖν ὡς ὁ μοχθηρὸς ἃ δεῖ πρᾶξαι· καὶ ὧν διαφεκτέον· καὶ διὰ τὴν τοιαύτην ἁμαρτίαν, ἀδικοῖς ὅλως κακοὶ ἦσαν· τὸ δὲ ἑκάστοτε μὴ βούλεσθαι λέγεσθαι διὰ τὸ ἀνοεῖν τὸ συμφέρον· οὐ γὰρ ἡ ἐν τῇ προαιρέσει ἄγνοια αἰτία τοῦ ἀκουσίου, ἀλλὰ φθορὰ μοχθηρίας· οὐδ' ἡ καθόλου· ψέγονται γὰρ διὰ ταύτην, ἀλλ' ἡ καθ' ἕκαστα· ἐν οἷς καὶ περὶ ἃ ἡ πρᾶξις· ἐν τούτοις γὰρ ἔλεός ἐστι καὶ συγγνώμη· ὁ γὰρ τούτων τι ἀγνοῶν, ἀκουσίως πράττει· ἴσως δ' ἄχειρον ἂν ποιήσαι αὐτὸ, τὸν ἀδικοῦντα· τίς τε δίκη καὶ τί καὶ περὶ τίνα ἢ τίνι πράττει· ἔνιοτε δὲ τίνι· οἷον ὀργάνῳ ἢ ἕνεκά του· οἷον σωτηρίας· ἢ πῶς· οἷον ἠρέμα ἢ σφόδρα· ἅπαντα μὲν οὖν ταῦτα οὐδεὶς ἀγνοήσειε μὴ μαινόμενος· δῆλον δὲ ὡς οὐδὲ τὸν πράττοντα· πῶς γὰρ ἑαυτόν γε· ὃ δὲ πράττει ἀγνοήσειεν ἄν τις· οἷον λέγοντες φασὶν ἐκπεσεῖν αὐτοὺς, ἢ οὐκ εἰδέναι ὅτι ἀπόρρητα ἦν, ὥσπερ Αἰσχύλος τὰ μυστικά, ἢ δεῖξαι βουλόμενον, ἀφεῖναι ὡς ὀργὴν κατὰ πέλτην· οἰηθεὶς δ' οὐ τις ἡγεῖται ἢ οὐ πολέμιον εἶναι, ὥσπερ ἡμερόφωνον ἡγεῖσθαι τὸν λελογχευμένον δόρυ· ἢ τὸ λίθον κίονα εἶναι· λεπτὸν σεῖσαι ἢ παίσαι ἀπροαιρέτως ἂν· ἔστι δὲ δεῖξαι βουλόμενοι ὡς προαιρούμενοι ποιοῦσιν ἂν· περὶ πάντα δὴ ταῦτα ἡ ἀνοίας ἔσθ' ἧς ἐν οἷς ἡ πρᾶξις, ὁ φύσει τὰ ἀνοοῦντα, ἄκων δοκεῖ ᾧ τε πραχέναι καὶ μάλιστα τοῦτο κυριώτατον· κυριώτατα δ' εἶναι δοκεῖ, ἐν οἷς ἡ πρᾶξις καὶ οὗ ἕνεκα· τοιοῦτον δὲ τὸ τοιαύτην, ἀγνοιαν ἀκουσίως λεγομένην, ἑτέραν εἶναι τὴν μετα μελείᾳ· οὗτος δ' ἀκουσίως τοιαύτην, ἢ διὰ ἄγνοιαν, τὸ ἑκούσιον δόξειεν ἂν εἶναι· ἢ ἀρκτέον καὶ τῷ εἰδότα τὰ καθ' ἕκαστα, ἐν οἷς ἡ πρᾶξις· ἴσως δὲ καὶ λίαν λέγεται τὰ ἀκούσια εἶναι τὰ διὰ θυμὸν ἢ διὰ ἐπιθυμίαν· πρῶτον μὲν

γὰρ οὐδὲν ἔστι τῶν ἄλλων ζώων ἑκουσίως πράξαι· οὐδ' οἱ παῖδες. εἰ τοῦτο πότερον ἀεὶ ἢ ἑκουσίως πρακτὸν μὲν τὸ ἐπιθυμίαν ἢ θυμὸν· ἢ τὰ καλὰ μὲν ἑκουσίως· τὰ δ' αἰσχρὰ ἀκουσίως, ἢ τὰ λοιὸν ἐπὶ τοῦ αὐτοῦ· ἄτοπον δὲ ἴσως τὰ ἀκούσια φαύλων δεῖ ὁρίσασθαι. δεῖ δὲ ἴσως ὁρίζεσθαι ἐπὶ τισι, καὶ ἐπιθυμεῖν τινων· οἷον ὑγιείας καὶ μαθήσεως· δοκεῖ δὲ, τὸ μὴ ἀκούσια λυπηρὰ εἶναι· τὸ δὴ κατ' ἐπιθυμίαν, ἡδέα· ἔτι δὲ, τίσι διαφέρει τὸ ἀκούσια εἶναι τὰ κατὰ λογισμὸν ἢ θυμὸν ἁμαρτηθέντα· φύσει μὲν γὰρ ἄμφω· δοκεῖ δὴ οὐχ ἧττον αὐθρωπικὰ εἶναι τὰ λογισθέντα· αἱ δὴ πράξεις τοιαῦτ', ἀπὸ θυμοῦ καὶ ἐπιθυμίας· ἆρ' οὖν δὲ τὸ τιθέναι ἀκούσια ταῦτα· διωρισμένων δὴ τί ἐκούσιόν ἐστιν ἢ ἀκούσιον, πρῶτον προαιρέσεις δὲ ἐπιδιελθεῖν· οἰκεῖόν τε εἶναι δοκεῖ τῇ ἀρετῇ, καὶ μᾶλλον τὸν ἦθος κρίνειν τῶν πράξεων· ἡ προαίρεσις δὴ ἑκούσιον μὲν φαίνεται· οὐ ταυτὸν δὲ, ἀλλ' ἐπιδιελεῖν τὸ ἑκούσιον· τοῦ μὲν ἐκουσίου, ὃ παῖδες καὶ τἆλλα ζῶα κοινωνεῖ· προαιρέσεως δ' οὔ· οἱ δὲ λέγοντες αὐτὴν, ἐπιθυμίαν· ἢ θυμὸν· ἢ βούλησιν· ἢ τινὰ δόξαν, ὀρθῶς ἔοικασιν ὀρθῶς λέγειν· ἔστι γὰρ κοινὸν ἡ προαίρεσις καὶ τῶν ἀλόγων· ἐπιθυμίαι δὴ καὶ θυμός· καὶ ὁ ἀκρατὴς, ἐπιθυμῶν μὲν πράττει, προαιρούμενος δὲ, ὁ δὲ ἐγκρατὴς ἀνάπαλιν, προαιρούμενος μὲν, ἐπιθυμῶν δὲ· καὶ προαιρέσεως μὲν, ἐπιθυμίας δὲ ἐναντίον τόπος· ἐπιθυμία δὲ ἐπιθυμίᾳ οὔ· καὶ ἡ μὲν ἐπιθυμία, ἡδέος καὶ ἐπιλύπου· ἡ προαίρεσις δὲ οὔτε λυπηροῦ οὔθ' ἡδέος· θυμὸς δὲ ἔτι ἧττον· ἧκιστα γὰρ τὰ διὰ θυμὸν, κατὰ προαίρεσιν εἶναι δοκεῖ· ἀλλὰ μᾶλλον ἡ βούλησις· καὶ ὅσοι φασὶν ἀγνοοῦντες φαῦλον προαίρεσιν μὲν εἶναι ἐκ δόξης τῶν ἀδυνάτων· ἐκείνην φαῖεν προαιρεῖσθαι, δοκοίησαν ἂν ἁλίσκεσθαι· βούλησις δ' ἐστὶ, τῶν ἀδυνάτων· οἷον ἀθανασίας· ἢ ἧς μὲν βούλησις ἐστὶν ἢ περὶ τὰ μηδαμῶς δι' αὐτοῦ πραχθέντα ἂν· οἷον ὑποκριτοῦ τινα νικᾶν ἢ ἀθλητοῦ· προαιρεῖται δὲ τὰ τοιαῦτα δεῖς, ἀλλ' ὅσα οἴεται ἂν γένοιτο δι' αὑτοῦ· ἔτι δὲ ἡ μὲν βούλησις, τοῦ τέλους ἐστὶ μᾶλλον· ἡ δὲ προαίρεσις, τῶν πρὸς τὸ τέλος· οἷον ὑγιαίνειν βουλόμεθα· προαιρούμεθα δὲ, ἃ ὧν ὑγιανοῦμεν, καὶ εὐδαι-

μονεῖν βουλόμεθα μηδὲ φαῦλα· προαιρούμεθα δὲ λέγειν
οὐχ ἁρμόζει· ὅλως γὰρ ἔοικεν ἡ προαίρεσις περὶ τὰ ἐφ' ἡμῖν
εἶναι· ἃ δὴ δόξαι ἂν εἴη· ἡ μὲν γὰρ δόξα, δοκεῖ περὶ πάντα εἶναι
ἡ δὲ δεῖν ἵππον, περὶ τὰ ἀίδια καὶ τὰ ἀδύνατα, ἢ τὰ ἐφ' ἡμῖν, ἢ
τῷ ψευδεῖ καὶ ἀληθεῖ διαιρεῖται, οὐ τῷ κακῷ καὶ ἀγαθῷ· ἡ δὲ
προαίρεσις τούτοις μᾶλλον· ὅλως μὴ οὖν δόξα ταὐτὸν· ἴσως
δὲ λέγει δόξεις· ἀλλ' ὁ δὲ τινὶ· τῷ γὰρ προαιρεῖσθαι τὰ ἀγαθὰ ἢ τὰ
κακὰ, ποιοί τινες ἐσμὲν· τῷδε, δοξάζειν, ὅ· μὴ προαιρούμεθα μὲν
λαβεῖν ἢ φυγεῖν, ἤτοι τῶν τοιούτων· δοξάζομεν δὲ τί ἐστιν, ἢ τίνι
συμφέρει· ἢ πῶς· λαβεῖν δὲ ἢ φυγεῖν, οὐ πάνυ δοξάζομεν· καὶ ἡ
μὲν προαίρεσις ἐπαινεῖται τῷ εἶναι, ὅ δεῖ μᾶλλον, ἢ τῷ ὀρθῶς·
ἡ δὲ δόξα τῷ ἀληθῶς· ἃ προαιρούμεθα μὲν, οὐ μάλιστα σαίσμεν ἀγα-
θὰ εἶναι· δοξάζομεν δὲ, οὐ πάνυ ἴσμεν· δοκεῖ δέ τι οὐχὶ αὐτὰ περὶ
προαιρεῖσθαι τὰ ἐλεγχόμενα καὶ δοξάζειν· ἀλλ' ἐνίοις δοξάζειν μὲν, οὐ μέ-
νοι· δίκαιον δὲ αἱρεῖσθαι ὃ χρὴ δεῖ· εἰ δὴ προγίνεται δόξα ἡ
προαιρέσεως, ἢ παρακολουθεῖ· ὃ δεῖν διαφέρει· τοῦτο γὰρ σκο-
πῶμεν· ἀλλ' εἰ ταὐτὸν ἡδονή τινι δόξῃ τινί, τί ἂν ἢ πρίν τίνι, ἐπεὶ
δὴ τῶν εἰρημένων θάτερόν μὴ ἐκούσιον μὴ φαίνεται· τὸ δ' ἑκού
σιον, ὃ πᾶν προαιρετόν· ἀλλ' ἄρα γε τὸ προβεβουλευμένον· ἡ γὰρ
προαίρεσις, μετὰ λόγου καὶ διανοίας· ὑποσημαίνει δ' ἔοικε τὸ
νομα, ὡς οὐ πρὸ ἑτέρων αἱρετὸν βουλεύονται ἢ πότερα περὶ πάν
των ἢ πᾶν βουλευτὸν ὅτιν', ἢ εἰ μή τινων ἀκόσι βουλή· λεκτέον δ' ἴσως
βουλευτὸν, ὃ χὺ πᾶν οὐ δ' ἂν τις βουλεύσαι τὸν ἠλίθιος ἢ μαινόμε
νον· ἀλλ' ὑπὲρ ὧν ὁ μὴ ἔχων περὶ ἢ τῶν ἀϊδίων ὃ εἷς βουλεύ· οἷον
περὶ κόσμου· ἢ τὸ διαμέτρου, μὴ τῷ σωμέτρου, ὅτι ἀσύμμετροι· ἀλλ'
ἢ περὶ τῶν γινομένων ἃ ἐφ' ἡμῖν τούτων τῶν γινομένων· εἴτ' ἐξ ἀνάγκης, εἴτε
φύσει, ἢ διά τινα ἄλλην αἰτίαν, οἷον περὶ ἔαρος, ἀνάγκῃ, ἢ περὶ
τῶν αἰγυπτιακῶν· οἷον ἀνεχμῆ ἢ ὄμβρος· ἢ περὶ τῶν ἀπὸ τύχης· οἷον θησαυ
ρὸν εὑρέσθαι· καὶ ἢ περὶ τῶν ἀνθρωπίνων πάντων· οἷον πᾶσι συμβῆναι πλεῖ
στοις, ἃ δεῖ λαχεδαιμονίοις βουλεύεσθαι· ἢ ἐφ' οἷς αὐτοῖς τοῦτ' ἔστιν ἢ θέσθαι

βουλευόμεθα περὶ τῶν ἐφ' ἡμῖν πρακτῶν· ταῦτα δὲ καὶ ἔστι λοι
πά· αἴτια γὰρ δοκοῦσιν εἶναι, φύσις· καὶ ἀνάγκη· καὶ τύχη· ἔτι δὲ
νοῦς, καὶ πᾶν τὸ δι' ἀνοῦ· τῶν δ' ἀνῶν ἕκαστοι βουλεύονται περὶ τῶν
δι' αὐτῶν πρακτῶν· καὶ περὶ μὲν τὰς ἀκριβεῖς καὶ αὐτάρκεις
τῶν ἐπιστημῶν οὐκ ἔστι βουλή· οἷον περὶ γραμμάτων· οὐ γὰρ διστά
ζομεν πῶς γραπτέον· ἀλλ' ὅσα γίνεται δι' ἡμῶν, μὴ ὡσαύτως δὲ
ἀεί, περὶ τούτων βουλευόμεθα· οἷον περὶ τῶν κατὰ ἰατρικὴν καὶ
χρηματιστικὴν καὶ περὶ κυβερνητικὴν μᾶλλον ἢ γυμναστικήν,
ὅσω ἧττον διηκρίβωται· καὶ ἔτι περὶ τῶν λοιπῶν ὁμοίως· μᾶλλον δὲ
καὶ περὶ τὰς τέχνας ἢ τὰς ἐπιστήμας· μᾶλλον γὰρ περὶ αὐτὰς
διστάζομεν· τὸ βουλεύεσθαι δὲ, ἐν τοῖς ὡς ἐπιτοπολύ· ἀδήλοις
δὲ πῶς ἀποβήσεται καὶ ἐν οἷς ἀδιόριστον· συμβούλους δὲ παραλαμ
βάνομεν εἰς τὰ μεγάλα, ἀπιστοῦντες ἡμῖν αὐτοῖς ὡς οὐχ ἱκα
νοῖς διαγνῶναι· βουλόμεθα δὲ, οὐ περὶ τῶν τελῶν ἀλλὰ περὶ τῶν
πρὸς τὰ τέλη· οὔτε γὰρ ἰατρὸς βουλεύεται, εἰ ὑγιάσει, οὔτε ῥή-
τωρ εἰ πείσει, οὔτε πολιτικὸς, εἰ εὐνομίαν ποιήσει, οὐδὲ τῶν λοιπῶν οὐ
δεὶς περὶ τοιτέλους· ἀλλὰ θέμενοι τέλο τι, πῶς καὶ διὰ τίνων ἔσται
σκοποῦσι· καὶ διὰ πλειόνων μὲν φαινομένου γίνεσθαι, διὰ τίνο
ῥᾷστα καὶ κάλλιστα ἐπισκοποῦσι· δι' ἑνὸς δὲ ἐπιτελουμένου, πῶς
διὰ τούτου ἔσται· κἀκεῖνο διὰ τίνος, ἕως ἂν ἔλθωσιν, ἐπὶ τὸ πρῶ
τον αἴτιον· ὃ ἐν τῇ εὑρέσει ἔσχατόν ἐστιν· ὁ γὰρ βουλευόμενος ἔοι
κε ζητεῖν καὶ ἀναλύειν τὸν εἰρημένον τρόπον, ὥσπερ διάγραμμα·
φαίνεται δὲ ἡ μὲν ζήτησις, οὐ πᾶσα εἶναι βούλευσις· οἷον αἱ μαθη-
ματικαί· ἡ δὲ βούλευσις πᾶσα ζήτησις· καὶ τὸ ἔσχατον ἐν τῇ ἀνα-
λύσει, πρῶτον εἶναι ἐν τῇ γενέσει· κἂν μὲν ἀδυνάτῳ ἐν τύχω-
σιν ἀφίστανται· οἷον εἰ χρημάτων δεῖ· ταῦτα δὲ μὴ οἷόν τε πορι-
σθῆναι· ἐὰν δὲ δυνατὸν φαίνηται, ἐγχειροῦσι πράττειν· δυνατὰ δὲ,
ἃ δι' ἡμῶν, γένοιτο ἄν· τὰ δὲ διὰ τῶν φίλων, δι' ἡμῶν πως ἐστίν· ἡ γὰρ
ἀρχὴ ἐν ἡμῖν· ζητεῖται δὲ, ὁτὲ μὲν τὰ ὄργανα· ὁτὲ δὲ ἡ χρεία αὐτῶν·
ὁμοίως δὲ καὶ ἐν τοῖς λοιποῖς· ὁτὲ μὲν, δι' οὗ· ὁτὲ δὲ πῶς· ἢ διὰ τίνος· ἔοι

κε δὲ

κεῖ καθάπερ εἴρηται πρότερον εἶναι αἱρετὸν τὴν προαίρεσιν ἢ βουλητὸν περὶ
τὰ αὐτὰ πρακτὰ ἃ καὶ ἡ προαίρεσις. ἄλλως ἕνεκα. οὐκ ἄρα ἐνδέχεται
βουλεύεσθαι περὶ τοῦ τέλους, ἀλλὰ τὰ πρὸς τὰ τέλη· οὐδὲ δὴ καθ' ἕκαστα
οἷον, εἰ αὐτὸ τοῦτο, ἢ πότερον ἢ οὐ πιεῖν ὕδωρ δεῖ αἱρετόν ἐστι ταῦτα· εἰ
δὲ ἀεὶ μεταλύεται, εἰς ἄπειρον ἥξει· βουλευτὸν δὲ καὶ προαιρετὸν
τὸ αὐτό· τὸ δὲ ὅλως ἀφωρισμένον ἤδη τὸ προῃρημένον· τοῦτο γὰρ εἶναι
βούλεται προκεκριμένον, προαιρετὸν δέ· παύεται γὰρ ἕκαστος ζητῶν ᾧ
πράξει, ὅταν εἰς αὐτὸν ἀναγάγῃ τὴν ἀρχήν, καὶ τοῦτο εἰς τὸ ἡγεμονικὸν
μόριον· τοῦτο γὰρ τὸ προαιρετικὸν μόριον. δῆλον δὲ τοῦτο καὶ ἐκ τῶν ἀρ-
χαίων πολιτειῶν, ἃς Ὅμηρος ἐμιμεῖτο· οἱ γὰρ βασιλεῖς, ἀπροσ-
λόγιστον ἢ ἦλθεν ἐπὶ δήμῳ, ὅσον ἐστὶν τὸ προαιρετὸν βουλευτὸν
ὀρεκτὸν ἐφ' ἡμῖν, ἢ ἡ προαίρεσις ἂν εἴη βουλευτικὴ ὄρεξις τῶν
ἐφ' ἡμῖν· ἐκ τοῦ βουλεύσασθαι δὲ κρίναντες, ὀρέγονται κατὰ βούλη-
σιν· καὶ μὴν ἡ προαίρεσις τοῦτο εἴρηται, ὅτι μὲν τῶν
πρὸς τὰ τέλη· ἡ δὲ βούλησις, ὅτι μὲν τοῦ τέλους ἐστίν, εἴρηται· δοκεῖ
δὲ τισὶ μὲν τἀγαθὸν εἶναι· τοῖς δὲ τοῦ φαινομένου ἀγαθοῦ· συμβαί-
νει δὲ τοῖς μὲν βουλητὸν τἀγαθὸν λέγουσι, μὴ εἶναι βουλητὸν ὃ βού-
λεται ὁ μὴ ὀρθῶς αἱρούμενος· εἰ γὰρ ἔστιν βουλητόν, ἦ ἀγαθὸν ἦν
ἢ εἰ ὅτως ἔτυχε, κακόν· τοῖς δὲ τοῦ φαινομένου ἀγαθοῦ, τὸ βου-
λητὸν λέγουσι, μὴ εἶναι φύσει βουλητόν, ἀλλ' ἑκάστῳ τὸ δοκοῦν· ἄλ-
λῳ δ' ἄλλως φαίνεται· καὶ εἰ ὅτως ἔτυχε, τἀναντία. εἰ δὴ ταῦτα
μὴ ἀρέσκει, ἄρα φατέον ἁπλῶς μὲν καὶ κατ' ἀλήθειαν, βουλη-
τὸν εἶναι τἀγαθόν· ἑκάστῳ δὲ τὸ φαινόμενον· τῷ μὲν οὖν σπουδαίῳ
τὸ κατ' ἀλήθειαν εἶναι βουλητόν· ἑκάστῳ δὲ τὸ φαινόμενον· τῷ δὲ φαύλῳ, τὸ τυχόν· ὥσπερ καὶ ἐπὶ τῶν
σωμάτων· τοῖς μὲν οὖν ὑγιεινοῖς, ὑγιεινὰ ἐστὶ τὰ κατ' ἀλήθει-
αν τοιαῦτα· τοῖς δὲ ἐπινόσοις, ἕτερα· ὁμοίως δὲ καὶ πικρὰ,
γλυκέα καὶ θερμὰ καὶ βαρέα καὶ τἄλλα πάντα· ὁ σπουδαῖος γὰρ
ἕκαστα κρίνει ὀρθῶς, καὶ ἐν ἑκάστοις τἀληθὲς αὐτῷ φαίνεται· καθ' ἑ-
κάστην γὰρ ἕξιν, ἴδιά ἐστι καλὰ καὶ ἡδέα· καὶ διαφέρει πολὺ σοῦ ἴσως
ὁ σπουδαῖος, τῷ τἀληθὲς ἐν ἑκάστοις ὁρᾶν· ὥσπερ κανὼν καὶ μέ-

ζον αὐτῷ ὢν· τοῖς πολλοῖς δ' ἡδὺ τὰ τοιαῦτα μᾶλλον ἢ δίκαια εἶναι δοκεῖ· μεθ' ὧν· ὁ γὰρ ὅσα ἀγαθὸν φαίνεται αἱροῦνται· ὃ δὲ μὴ ἡδὺ, ὡς ἀγαθόν· πῶς δ' οὐ λυπηρὰ ὡς κακὸν φεύγουσιν· ὁμοίως δὲ βλαβερὸν τοῦ μὴ οὐ τέλος, βλαβερῶν δὲ καὶ προαιρετῶν τῶν πρὸς τὸ τέλος, αἱ περὶ ταῦτα πράξις καὶ τὸν προαίρεσιν εἶναι αὐ καὶ ἑκάστοις· αἱ δὲ τῶν ἀρετῶν ἐνέργειαι περὶ ταῦτα· ἐφ' ἡμῖν δὲ καὶ ἡ ἀρετή, ὁμοίως δὲ καὶ ἡ κακία· ἐν οἷς γὰρ ἐφ' ἡμῖν τὸ πράττειν, καὶ τὸ μὴ πράττειν· καὶ ἐν οἷς τὸ μὴ, καὶ τὸ ναί· ὥστε εἰ τὸ πράττειν καλὸν ὂν ἐφ' ἡμῖν ἐστι· καὶ τὸ μὴ πράττειν ἐφ' ἡμῖν ἔσται αἰσχρὸν ὄν· καὶ εἰ τὸ μὴ πράττειν καλὸν ὂν ἐφ' ἡμῖν, καὶ τὸ πράττειν αἰσχρὸν ὂν ἐφ' ἡμῖν· εἰ δ' ἐφ' ἡμῖν τὰ καλὰ πράττειν, καὶ τὰ αἰσχρὰ, ὁμοίως δὲ καὶ τὸ μὴ πράττειν· τοῦτο δὲ λῶ, τὸ ἀγαθοῖς ἢ κακοῖς εἶναι, ἐφ' ἡμῖν ἔσται τὸ ἐπιεικέσι εἶναι φαύλοις εἶναι· τὸ δὲ λέγειν ὡς οὐδεὶς ἑκὼν πονηρὸς, οὐδ' ἄκων μακάριος ἔοικε· τὸ μὲν γὰρ ψευδεῖ· τὸ δ' ἀληθεῖ· μακαρίῳ μὲν γὰρ οὐδεὶς ἄκων· ἡ δὲ μοχθηρία, ἑκούσιον· ἢ τοίνυν εἰρημένοις ἀμφοτέροις χρητέον· ἢ τὸν αὐτὸν τὸ φαυλίζειν ἀρχὴν εἶναι· τὸ δὲ γνωρίζειν τῶν πράξεων, ὥσπερ ἢ τίκνων· εἰ δὲ ταῦτα φαίνεται, καὶ μὴ ἔχομεν εἰς ἄλλας ἀρχὰς ἀναγαγεῖν ἃς αἱ τὰς ἐφ' ἡμῖν, ὧν καὶ αἱ ἀρχαὶ ἐφ' ἡμῖν, καὶ αὐταὶ ἐφ' ἡμῖν· καὶ ἑκάσιαι· φανερὸς δ' ἔοικε μαρτυρεῖν καὶ ἰδίᾳ ἑκάστων, καὶ ὑπ' αὐτῶν τῶν νομοθετῶν· κολάζουσι γὰρ καὶ τιμωροῦνται τοὺς δρῶντας τὰς μοχθηρὰς, ὅσοι μὴ βίᾳ, ἢ δι' ἃ ἀγνοεῖ ἢ μὴ αὐτοὶ αὑτοῖς· ἀγαθοὺς δὲ τοὺς τὰ καλὰ πράττοντας, τιμῶσιν· ὡς ἐπὶ τὸ προτρέψοντες· τοὺς δὲ κωλύοντας καὶ ἀγαθοὺς μὲν ὄντας· μὴ τὰ ἐφ' ἡμῖν δὲ ἑκάστοις, φαύλους προτρέπεται πράττειν· ὡς οὐδὲν προσήκει τοῦτο πειθῆναι αὐτοῖς μαίνεσθαι, ἢ ἀλγεῖν ἢ πεινῶν· ἢ ἄλλο τι οὖν τῶν τοιούτων· φαύλους γὰρ ποιοῦσι πεισόμενοι αὐτὰ· καὶ δὴ ἐπ' αὐτῷ γε τῷ ἀγνοεῖν κολάζουσιν, ἐὰν αἴτιος εἶναι δοκῇ τῆς ἀγνοίας· οἷον τοῖς μεθύουσι διπλᾶ τὰ ἐπιτίμια· ἡ γὰρ ἀρχὴ ἐν αὐτῷ· κύριος γὰρ τοῦ μὴ μεθυσθῆναι· τοῦτο δ' αἴτιον τῆς ἀγνοίας· καὶ γὰρ ἀγνοοῦντάς τι τῶν ἐν τοῖς νόμοις, ἃ δεῖ εἰδέναι καὶ μὴ χαλεπὰ ὄντα, κολάζουσι· ὁμοίως δὲ καὶ

ἢ καὶ

ἢ καὶ ἐν τοῖς ἄλλοις. ὅσα δὲ ἁμέλφαν ἀγνοεῖν δοκοῦσιν, ὡς ἐπ' αὐτοῖς ὂν τὸ μὴ ἀγνοεῖν· τοῦδε ὧν μεληθῶσι, κύριοι. ἀλλ' ἴσως τοιοῦτός τίς ἐστιν, ὥστε μὴ ἐπιμεληθῆναι· ἀλλὰ τοῦ τοιούτου γενέσθαι, αὐτοὶ αἴτιοι ζῶντες ἀνομίως· καὶ τοιοὶ δίκαιοι ἢ ἀκόλαστοι εἶναι. οἱ μὲν οὖν κακουργοῦντες· οἱ δ', ἐν πόσοις καὶ τοῖς τοιούτοις διάγοντες· αἱ δὲ πολλαὶ ἕκασαι ἐργάζονται, τοιούτους ποιοῦσι· τοῦτο δὲ δῆλον ἐκ τῶν μελετώντων πρὸς ἕν τι καὶ οὐκ ἀγωνίαν ἢ πρᾶξιν· διατελοῦσι γὰρ ἐν τούτῳ ὄντες· τὸ μὲν οὖν ἀγνοεῖν ὅτι ἕκαστος τοιοῦτος γίνεται τῶν ἕξεων ποιητικός, οὐκ ἔστιν ἀγνοεῖν· ἀλλὰ δὴ ἀναισθήτου γε ὄντος, κομιδῇ ἀναισθήτου· ἔτι δ' ἄλογον τὸν ἀδικοῦντα μὴ βούλεσθαι ἄδικον εἶναι, ἢ τὸν ἀκολαστεύοντα ἀκόλαστον· εἰ δὲ μὴ ἀγνοῶν τις πράττοι, ἑκὼν ἂν εἴη ἄδικος, ἑκὼν ἂν εἴη· ἀμέλει ἐὰν τις βούληται ἄδικος ὢν παύσεσθαι ἔσται δίκαιος· ἀλλ' ἥ γε δι' ὅλου τοῦ βίου ὑγίεια· καὶ εἰ ὅτῳ ἔστι τέχνη, ἑκὼν νοσεῖ ἄκρα τῶν βιοτικῶν· καὶ ἀπειθῶν τοῖς ἰατροῖς· τὸ μὲν οὖν ἐξὸν σῴζεσθαι αὐτῷ μὴ νοσεῖν· προεμένῳ δὲ κεῖται· ὡς πρὸς δὲ ἀφεῖναι λίθον, ἔτι οὐ τὸ μὴ δύνασθαι ἀναλαβεῖν· αὐτόματος ἐπ' αὐτῷ, τὸ βαλεῖν· καὶ ἐξ ἀρχῆς ἐπεὶ τῷ· ἔστω· ἡ τῷ ἀδίκῳ ἢ τῷ ἀκολάστῳ ἐξ ἀρχῆς μὲν ἐξὴν τοιούτοις μὴ γενέσθαι δικαίοις καὶ σώφροσιν· ἑκόντες εἰσί· γενομένοις δὲ οὐκέτ' ἐξέστι μὴ εἶναι· ἀλλὰ μὴν οὐδὲ φυτῶν καὶ ἀνεκτόσιοι εἰσὶν, ἀλλ' ἑκουσίως· ἃ γὰρ τοσούτου, οἷς ἐπιτιμῶμεν· τοῖς μὲν γὰρ διὰ φύσιν ἁμαρτάνουσιν, οὐδεὶς ἐπιτιμᾷ· τοῖς δὲ διὰ μαλακίαν ἢ ἀμέλειαν· ὁμοίως δὲ οὐδὲ περὶ ἀδύνατα ἐπιτιμῶσιν· ὥστε εἰ τοῦ ὀργίλου τὸ ἁμαρτάνειν καὶ τὸ ἀμαρτάνειν ἐν τῷ ὀργίζεσθαι ἐστὶν, οὐχ ἑκούσιον ἀλλ' ἀνάγκη· ἀδύνατον γὰρ ἀποβαλεῖν· ἀλλ' οὐδὲ τῶν ἀνθρώπων τοὺς ἐν νόσοις ἢ πηρώσεσιν· οὐδεὶς γὰρ ἂν ὀνειδίσειεν τυφλῷ φύσει, ἢ ἐκ νόσου, ἢ ἐκ πληγῆς· ἀλλὰ μᾶλλον ἐλεήσαι· τῷ δ' ἐξ οἴνου φλυκτίδα ἢ μαίωσιν ἀκολάστῳ, πᾶς ἂν ἐπιτιμήσαι· τῶν δὴ περὶ τὸ σῶμα κακιῶν, αἱ ἐφ' ἡμῖν, ἐπιτιμῶνται· αἱ δὲ μὴ ἐφ' ἡμῖν, οὐκ εἰσὶν οὕτω, ὥστε ἐπὶ τῶν ἄλλων αἱ ἐπιτιμήσεις τῶν κακιῶν, ἐφ' ἡμῖν ἂν εἶεν. εἰ δέ τις λέγοι πάντες ἐφίενται τοῦ φαινομένου ἀγαθοῦ, τῆς δὲ φαντασίας οὐκύριοι, ἀλλ' ὁποία τις ἡ ἑκάστου φύσις τοιοῦτον καὶ τὸ τέλος φαίνεται αὐτῷ· εἰ μὲν οὖν ἕκαστος ἑαυτῷ τῆς ἕξεως ἦν πως αἴτιος, καὶ τῆς φαντασίας ἔσται πως αὐτὸς αἴτιος· εἰ δὲ μηδεὶς αὐτῷ ἦν αἴτιος τοῦ κακὸς εἶναι, ἀλλ' ἐξ ἀγνοίας τὸ

τέλη ταῦτα πράττῃ, δι' ἀρετὴν τοιόμενος αὐτῷ τὸ ἀεὶ εὖ ἕξειν. ἡ δὲ τῶν τέλους ἕξεσις, ἀκαὶ αἱρεῖται ἀλλὰ φύναι δεῖ ὥσπερ ὀφθαλμοὺς ἔχειν καλῶς. ἆρα κατ' ἀλήθειαν ἀσκεθὸν αἱρήσει. καὶ ἔστιν ὡ φυῆναι, ᾧ τυχὸν καλῶς πέφυκε. τὸ γὰρ μέσον καὶ κάλλιστον, καὶ ὃ παρ' ἑτέρᾳ μὴ οἷόν τε λαβεῖν μὴ ἢ μαθεῖν ἀλλ' οἷον ἔφυ, τοιοῦτον ἕξῃ. ἀρετὴ καὶ τὸ καλῶς τοῦτο πεφυκέναι, ἡ τελεία δ' ἀληθινὴ ἂν εἴη φυία. εἰ δὲ ταῦτ' ὄντ' ἀληθῆ, τί μᾶλλον ἀρετὴ ἡ κακία σ' ἑκούσιον. ἀμφοῖν γὰρ ὁμοίως τῷ ἀσκεθῆναι καὶ τῷ κακῷ τὸ τέλος φύσει, ἢ ὅπως δή ποτε φαίνεται καὶ κεῖται. τὰ γὰρ ἄλλοι πάντ' πρὸς τοῦτο ἀναφέρομεν πράττομεν ὅπως δή ποτε, εἰ τοῦτο τὸ τέλος μὴ φύσει ἐκάστῳ φαίνεται οἷον δή ποτε, ἀλλ' ἀπ' ἀρχῆς τοῦτο ὑπάρχει, ἢ δὲ τὰ λοιπὰ πράττειν ἑκάστοτε τὸ ναυσθεῖον, ἡ ἀρετὴ ἑκάστου ἐστὶν, ἢ θεμιτὸν ἢ πονηρὸν ἢ κακία ἑκάστου ἂν εἴη. ὁμοίως γὰρ καὶ τῷ κακῷ ὑπάρχει τὸ διαπράττεσθαι τὰ πρακτέα, καὶ ᾧ τῷ τέλει. εἰ οὖν ὡς περ λέγεται, ἑκούσιοι εἰσὶν αἱ ἀρεταὶ. ἡ γὰρ τῶν ἕξεων συμβαίνει τοιοῦτόν πως καὶ τὰς μὴ τῷ ποιοί τινες εἶναι, τὸ τέλος τοιοῦτον δὲ τιθέμενα, ἑκάστους ἑκούσιοι ἂν εἶεν, ὁμοίως γὰρ κοινὴ μὲν ἡ περὶ τὰς ἀρετὰς, εἴρηται ἡμῖν. τὸ τε γὰρ ὅσος τυχὼν, ὅτι μεσότητές εἰσιν. καὶ ὅτι ἕξεις ὑφ' ὧν τι γίνονται, καὶ ὅτι τούτων πρακτικαὶ, καὶ καθ' αὑτὰς, καὶ ὅτι ἐφ' ἡμῖν καὶ ὅτι ἑκουσίοις ὅπως ὡς ἂν ὀρθὸς λόγος προστάξῃ. οὐχ ὁμοίως δ' αἱ πράξεις ἑκάστοις εἰσὶν αἱ ἕξεις. τὸ μὲν γὰρ πράξεων ἀπάρχεσθαι μέχρι τοῦ λέγειν οἷς μὲν εἰδόσι τὰ καθ' ἕκαστα τῶν πράξεων ἢ φθάρχῃσθαι. τῶν καθ' ἕκαστα δ' ἡ πρόθεσις ὁ γνώριμος, ὡς περὶ τῶν ἀρρωστιῶν, ἀλλ' ὅτι ἐφ' ἡμῖν ὡδὶ ἔχειν, ἢ μὴ ὧδε χρήσασθαι, διὰ τοῦτο ἑκάστοις ἀναλαβόντες δὴ περὶ ἑκάστης εἴπωμεν τί μέσον εἰσὶ, καὶ ποῖαι καὶ πῶς. ἅμα δ' ἔσται δῆλον ἡμῖν πόσαι εἰσί. καὶ πρῶτον περὶ ἀνδρείας. ὅτι μὲν οὖν μεσότης ἐστὶ περὶ φόβους καὶ θάρρη, ἤδη πρότερον εἴρηται. φανερὸν δὲ τοῦτο. φοβούμεθα δὲ δῆλον ὅτι τὰ φοβερά. ταῦτα δ' ἐστὶν ὡς ἁπλῶς εἰπεῖν κακά. διὸ καὶ τὸν φόβον

ὁρίζονται

δεῖ ζῆν πρὸς δοκίαν κακοῦ. φοβέμεθα δὴ πάντα τὰ κακὰ οἷον
ἀδοξίαν. πενίαν. νόσον. ἀφιλίαν. θάνατον. αἰσχρὸν δὲ τὸ φο-
βεῖσθαι δι' ἐνίας δὲ φοβεῖται ζ. καὶ καλῶς. τὸν μὴ αἰσχρὸν οἷ-
ον ἀδοξίαν. ὁ μὲν φοβούμενος τὴν αἰδήμονα. ὁ δὲ μὴ φοβούμενος
ἀναίσχυντος. λέγεται δὲ πως καὶ ἀνδρεῖος. κατὰ μεταφορὰν. ἔχει γὰρ
ὅμοιόν τι τῷ ἀνδρείῳ. ἄφοβος γάρ τις καὶ ὁ ἀνδρεῖος. πενίαν δ' ἴ-
σως οὐ δεῖ φοβεῖσθαι. οὐδὲ νόσον. οὐδ' ὅλως ὅσα μὴ ἀπὸ κακίας μηδὲ
δι' αὐτὸν. αὐτὸς δ' ὁ περὶ ταῦτα ἄφοβος ἀνδρεῖος. λέγεται δὲ τοῦτο
καθ' ὁμοιότητα. ἐμοὶ γὰρ ἐν τοῖς πολεμικοῖς κινδύνοις δῆλοι
ὄντες ἐλεύθεροί εἰσι τῶν χρημάτων ἀπροβλώβητοι ὄντες ἐν τοῖς
δὲ δὴ ἑτέροις ὑβρεως μὴ γυναῖκα φοβεῖται. ἢ φθόνον ἢ
τι τοιοῦτον δῆλος ὅστις. οὐδὲ ῥᾳθυμεῖ μέντοι ἀνδρεῖος
ὢν. περὶ πρᾶξιν δὲ φοβερῶν ἀνδρεῖος. ἢ περὶ τὰ μέγιστα. θαρ-
μενετικώτερος δὲ τῶν δεινῶν φοβερώτατον δ' ὁ θάνατος. πέρας γὰρ
οὐδὲν ἔτι τῷ τεθνεῶτι δοκεῖ. ἀξιοῦται δ' αὐτὸς μὲν
περὶ τοιούτους κινδύνους ἀνδρεῖος εἶναι. οἷον ἐν θαλάττῃ ἢ ἐν
νόσοις. ἧττον μέντοι. ἢ ἧττον καλλίστοις. τοιοῦτοι δὲ οἱ ἐν πολέμῳ.
ἐν μείζοσι γὰρ καὶ ἴσοις κινδύνοις. ὁμόλογοι δὲ τούτοις εἰσὶ καὶ
αἱ τιμαὶ αἱ ἐν ταῖς πόλεσι. καὶ ἃς ἀρίστοις μονάρχοις. καὶ ἃς δὴ λέγομεν
τὰ μὲν ἀνδρεῖος. ὁ περὶ καλὸν θάνατον ἀδεὴς. καὶ ὅσα θάνατον ἐπιφέ-
ρει ὑπάγεται οὖν τοιαῦτα. τοιαῦται δὲ μάλιστα τὰκ πολέμου. ἐν μὲν γὰρ
ἐν θαλάττῃ καὶ ἐν νόσοις ἀδεὴς ἀνδρεῖος. ἧττον δὲ ὡς οἱ θαλάτ
τιοι. οἱ μὲν γὰρ ἀπειρίαν καὶ τὴν σωτηρίαν. καὶ τὸν θάνατον τρίτον ὀλυσχε
ραίνουσιν. οἱ δὲ ἐλπίδας εἰσὶ δι' ἃς ἐπὶ τὸ ἐμπειρίαν. ἀμαχεὶ ἀνδρί
ζονται ἐν οἷς ὄντες ἀλκὴ. καὶ καλῶς τὸ ἀπθανεῖν. ἐν τοιούτοις δὲ φθορὰ
ἐθέτισε δι' ἃς ἔχει. τὸ δὲ φοβερὸν ἁπλῶς μὴ τοιοῦτο. λέγεται δέ τι ὑπὲρ
ἀνθρώπου. ῥᾴστη μὲν οὖν παντὶ φοβερὰ ἐν τῷ νῦν ἔχοντι. τὰ δὲ κατ' αὐτὸν δυσ
φέρει μείζω δι' ἃς μάλιστα καὶ τῷ ἥκιστα. ὁμοίως δὲ καὶ θαρραλέα ὁ
ἀνδρεῖος. ἀνέκπληκτος ὡς αὐτὸς φοβήσει μὲν δυνατὸς τοιαῦτα.
ὡς δεῖ δὲ καὶ ὡς ὁ λόγος ὑπομενεῖ τοῦ καλοῦ ἕνεκα. τοῦτο δὲ τέλ

φλάρετ. ὅτι ἐμαλ᾽ ἠμπουτοῦτοφοβεῖσθαι, ἀλ᾽ ἐπὶ μὴμ̓ φοβερὰ, ὡς ριοῦτοφοβεῖσθαι. εἰμὲ ἐπὶ τῶν ἁμαρτιῶν· ἢ μ̓, ὁποιδεῖ· ἢ ἐ, ὅπωχὼς δεῖ· ἢ ἐ, ὅπωχ ὅτι· ἢ πὶ τ̓ριστων· ὁμοίως ἐ ἠ ωτεὶ τοὺ θαρραλέα· ὁ μ̓ ὄν ἀ δεῖ ἀν δ᾽ ἕνεκα ὑπομψ́ων ἠ φοβούμψος. καὶ ὡς δεῖ, ὁμοίως ἐ ἠ θρ᾽ ἀνδρεῖος, κατ᾽ ἀξίαν ἠ ὅτι ἐ ὡς αὐ ὁ λόγος πάχει ἡ πρᾶξις ὁ ἀνδρεῖος· τὶ λ᾽ ἐ πᾶσης ἐ ἐργείας ὅδε τὸ κῆ τ᾽ ἕξιν· ἡ τῷ ἀνδρείῳ ἐ ἀνδρεία καλ᾽· τοιοῦτον δὴ ἠ τὸ τέλος· ὁ εἴζε ταιδ᾽ ἕκασον τῷ τέλ φ· καλ᾽ δ᾽ ἕνεκα ὁ ἀνδρεῖος ὑπομψ́φ ἐ πρᾶξ τειτὰς ἐ τῶν ἀνδρείῳ· τ᾽ ἐ ὑ ωπερβαίνοντ᾽ ὁμ̓ τῇ ἀ φοβίᾳ αὐ ὰ μ̓ ὁ· εἴρη δ᾽ ἡμῖν ἐν ρῖς πρότερ᾽ ὅτι πρὸς λύπὸδ᾽ ἐστιν αὐ ὁ νυμα· εἰ δ᾽ αὖ τις μανόμψος ἢ αὖ ἀλγητος, εἰ μηθὲν φοβοῖτο, μήτε σεισμ̓· μήτε κύ- ματα καθάπερ φασὶ τοὺς κελτούς· ὁ ἐ τῷ θαρρ᾽ ὑπερβάλλων ωτεὶ τὰ φοβερὰ θρασύς· δοκεῖ ἐ καὶ ἀλαζὼν εἶν᾽ ὁ θρασὺς καὶ πρὸς ποιητικὸς ἀνδρείας· ὡς δ᾽ ἔν ἐκεῖνος πεὶ τὰ φοβρὰ ἔχει, οὕ τ᾽ δ᾽ τ᾽ βέλ ἐ φαίνεσθαι· ἐν οἷς δ᾽ ὦσι δ᾽ μιμεῖ· διὸ ἐ εἰσὶν οἱ πολλοὶ αὐ τ̓. θρασὺ δ᾽ φλοι ἐν ρύτοις γὰρ θρασυποιοῦμψοι, τὰ φοβρὰ, οὐχ ὑπομψ́ουσι· ὁ ἐ τῷ φοβεῖσθαι ὑπερβάλλων, δ᾽ φλός· ἢ γὰρ ἀ μὴ δεῖ καὶ ὡς δ᾽ δεῖ ἢ πάντα τὰ τοιαῦτα ἀκολουθεῖ αὐ τῷ· ἐ λείπει δ᾽ ἐ τῷ θαρρεῖν· ἀλ᾽ ὑπὸ ταῖς λύπαις ὑπερβάλλ̃ μᾶλλ̓ κατα φανὴς δύσελπις δ᾽ τὸ δ᾽ φλός· πάντα γὰρ φοβεῖται· ὁ δ᾽ ἀνδρεῖ- ος ἐναντίος· τὸ γὰρ θαρρ᾽ εὐέλπιδός· πεὶ ταῦτα μ̓ οὖν ὅδε ἐστιν, ὅτι δ᾽ φλὸς καὶ ὁ θρασὺς, ἐ ὁ ἀνδρεῖος· διαφόρως δ᾽ ἔχουσι πρὸς αὐ τά, οἱ μ̓ γὰρ ὑπερβάλλουσι ἐ ἐλλείπουσιν· ὁ ἐ μέσως ἔχε ὡς δεῖ· ἐ οἱ μ̓ θρασεῖς, προπετεῖς· ἐ βολόμψοι πρὸ τ̓ κινδύνων κινδυνεύφ ἐναντῖς δ᾽ ἀφίσαι· οἱ δ᾽ ἀνδρεῖοι, ρῖς ἐργοις, ὀξεῖς· πρότερ δ᾽ ἡ σύχοι· καθάπερ δ᾽ εἴρηται, ἡ ἀνδρεία μεσότης ὅδε ωτεὶ θαρ- ραλέα ἐ φοβρὰ, ἐν οἷς εἴρη· ἐ ὅτι καλ᾽ αἱρεῖται ὑπομψ́φ· ἢ ὅτι αἰσχ᾽ τὸ μὴ· τὸ δ᾽ ἀποθνήσκφ φεύγοντα πονίαν, ἢ ἔρωτα, ἢ τὶ λυπηρ᾽, ὁ ἀνδρείου, ἀ μὰ μᾶλ̓ δ᾽ φλοῦ. μαλακία γὰρ τὸ φεύγ᾽ τὰ ὠπονα· ἢ ὀχ ὅτι καλ᾽ ὑπομψ́φ, ἀλλὰ φεύγ̃ κακόν· ὅδε μὲν

οὖν

ἔνι ἡ ἀνδρεία τοιοῦτόν τι. λέγουσι δὲ καὶ ἕτερα πέντε εἴδη ἀνδρείας· πρῶτον μὲν ἡ πολιτικὴ μάλιστα δ' ἔοικε δοκοῦσι δὲ ὑπομένειν τὸν κίνδυνον οἱ πολῖται, διὰ τὰς ἐκ τῶν νόμων ὠνείδισε καὶ τιμὰς καὶ ἀτιμίας καὶ τὰς τοιαύτας τιμὰς· διὸ καὶ κρατίστη δοκεῖ εἶναι, ἐν οἷς οἱ δειλοὶ ἄτιμοι καὶ οἱ ἀνδρεῖοι, ἔντιμοι· τοιοῦτοι καὶ ὁ Ὅμηρος ποιεῖ, οἷον τὸν Διομήδη καὶ τὸν Ἕκτορα. Πρῶτος μάσμοι πρῶτος ἐλεγχείω ἀνὰ θήσει. καὶ Διομήδης. Ἕκτορ δ' οὔ ποτε φήσει ἐνὶ πρώτεσσι μάχεσθαι. τυδείδης ὑπ' ἐμεῖο· ὁμοίως δ' αὐτὴ μάλιστα τὴν πρότερον εἰρημένην· ὅτι διὰ ρετὴν μὲν διαιδῶ, διὰ καλὸν ὀρεξιν· τιμᾶ δ' ἡ φύσις ὁμοίως καὶ χεῖρον τὸν τὰ ξιαδ' αὐτὸν ἡ γὰρ ὑπὸ τὰ ἄρχοντα ἀναγκαζομένους εἶναι τὸ χείρω δ' ὅσω, διὰ τοῦτο φόβον αἰσχρὸν καὶ τοῦ φεύγειν τοιοῦτοι· ἀναγκάζουσι γὰρ οἱ κύριοι ὥσπερ ἔκτως. Ὁμοίως δὲ καὶ ἐν τῶν ἀπροσμάχητον ἀπρόσ σοντα νοήσω. Οὐ δὲ ἄριστον ἐστὶν ἐπὶ τοῦ φυτεύειν καὶ ὡς. οἱ προσέπλοντες, καὶ ἀναχωροῦσι, τύπλοντες· τὸ αὐτὸ δρῶσι καὶ οἱ πρὸς τὰ φῆ τοιοῦτ' ἔχα τὰ πλοντες· πάντες δὲ ἀναγκάζουσι· δεῖ δ' ἁπλῶς ἀνάγκην ἀνδρεῖον εἶναι· αὐτὸ τὸ καλὸν· δοκεῖ δὲ καὶ ἐμπειρία πολεμικὴ εἶναι· ὅθεν καὶ ὁ σωκράτης ᾠήθη ἐπίστασθαι τὴν ἀνδρείαν· τοιοῦτοι δ' ἄλλοι μὲν ἐν πολλοὶ ἐντὶ πολεμικὴ δ' οἱ στρατιῶται· δοκεῖ δὲ ἐμπειρία πολλὰ καινὰ τὸ πολέμου, ἃ μάλιστα συμβαίνει καστον ἔστι· φαίνοιτο δὴ καὶ ἀνδρεῖοι, ὅτι τὰ κ ἴσασιν οἱ ἄλλοι οἷα ἔστιν· εἶτα ποιῆσαι ἃ μὴ πάθη μάλιστα δύνανται, ἐκ τῆς ἐμπειρίας· καὶ φυλάξασθαι ἃ πατάξαι δύνανται μάλιστοι χεῖσθαι τὸ ὅπλα καὶ τοιαῦτα ἔχοντ', οἷ τοῖς ἀν εἰκὸς πρὸς τὸ ποιῆσαι ἃ πρὸς τὸ μὴ παθεῖν κράτιστα· ὡς πῦρ ἂν ἀνόπλοις ὡπλισμένοι μάχοιντο καὶ ἀθληταὶ δὴ τοιοῦτοι, ἡδὲ ἐντὶ τοιοῦτοι ἀγῶσιν, ἔχοι ἀνδρεῖοι τὰ τοιμαχιμώτατοι εἶεν, ἀλλοῖ μάλιστα ἔχοντες, ἡ τὰ σώματ' ἄριστα ἔχοντες· οἱ στρατιῶται δὲ δειλοὶ εἰσιν, ὅταν ὑπερτείνῃ κίνδυνοι, ἐλείπουσι τὴν τάξιν καὶ τὴν φυλακὴν· πρῶτοι δὲ φόβῳ εἰσὶ τοῦ πολιτικὰ μόριον ἀνδρείας καὶ ὡς ἐρμαίως τῷ στρατηγῷ ἐοικεν εἶναι.

γῆς μ δ αἰχῆ τὸ φιλύτμν. ἡ ὁ θάνατος φλ. ριαὐτης σεῖας αἱρετώ-
τερ. οἱ ὴ ε ὀξ ἀρχῆς ἐκινδύνω ὡς κρείττους ὄντες. γνόντες ὴ φεύ-
γουσι τὸν θάνατον μᾶλλον τὸ αἰχῆ τὸ φοβερόν μᾶλλον οἱ ὁδ' ἀνδρεῖος ἀγρι
ὧτος, ε τ' θυμ' ἐπὶ τ' ἀνδρείαν ἐπὶ φέρουσιν, ἀνδρεῖοι δ' εἶναι δοκοῦ
σιν ε οἱ διὰ θυμόν, ὡσπερ τὰ θηρία ἐπὶ τοὺς πρώσαντ' φερόμενοι.
ὅτι καὶ ἀνδρεῖοι θυμοειδεῖς. τὸ ὀρμητικώτατ' ἰτητικώτατ' δὲ θυμὸς
πρὸς τοὺς κινδύνους. ὅθεν ε ὁ μηρ. Σθένος ἐμβαλε θυμῷ. ἢ μῆνις
θυμ' ἔγειρε. Καὶ δεινὰ ἀναξῖνας μῆνις ἡ ἔχειν αἷμα. πάν
τα γὰρ τὰ τοιαῦτα ἔοικε πεποιηκέναι τὸ τοῦ θυμοῦ ἔγερσιν καὶ ὁρ-
μήν. οἱ μ' οὖν ἀνδρεῖοι, διὰ τὸ καλὸν πράττουσιν. ὁ ὴ θυμὸς συνερ-
γεῖ αὐτοῖς. τὰ θηρία ὴ διὰ λύπην. διὰ τὸ πληγὰς ἢ φοβεῖσθαι.
ἐπεὶ ἂν μείζους ὦσι περὶ ἑλῇ ἢ οὐ προσέρχονται. ἐπὶ ὅσον οὖν ἀνδρεῖα διὰ τὸ
ἀλγηδόνα καὶ θυμὸν ἐξελαύνομενα πρὸς τὸν κίνδυνον ἰόντα. ὥθει τοὺς
ἀνδρεῖους προορᾶν τε. ἐπεὶ ὅτωσι, καὶ οἱ ὀνοι ἀνδρεῖοι ἂν εἶεν πεινῶν-
τισι. τυπτόμενοι δὲ κἀφίσαρ φλομ. οἱ μοιχοὶ ὑβρίζουσι διὰ τὴν ἐπι-
θυμίαν, τολμηρὰ πολλὰ δρῶσιν. ὅ δὴ ὅ ὅτιν ἀνδρεῖα τὰ διὰ λύ
πην δὲ θυμὸν ἐξελαυνόμενα πρὸς τὸν κίνδυνον. φυσικώτατον ὑποι-
κὴ διὰ θυμ' εἶν ἢ πρὸς λαβόσα προαίρεσιν ε τὸ δ' ἕνεκα ἀνδρεία
εἶναι. οἱ ἀνοιδεῖς ὀργιζόμενοι μ' ἀλγοῦσι. τιμωρ. μενοι δ' ἡδον.
οἱ ὑπὲρ ταῦτα, μάχιμοι μ' ὄκ ἀνδρεῖοι ὑ. ὅ γὰρ διὰ τὸ καλ', ὅ δ' ὡσό
λος, ἀλλὰ διὰ τὸ πάθ'. ὥς ἀ πολύσιον δ' ἔχουσί τι οἱ κατ' ὀλιγωρί-
αν. ὅ ὴ δὴ οἱ ὑ ἐλπίδες ὄντες ἀνδρεῖοι. διὰ γὰρ τὸ πολλάκις ἀπολ-
λὸς νενικηκέναι, θαρροῦσιν ὑπὸ τοῖς ἰατροῖς. ὡς ὁμοίοις ὑ. ὅτι μ' οὖν
φοβερὰ λέοι. ἀλλ' οἱ μὲν ἀνδρεῖοι, διὰ τὰ προφρημένα θαρραλέοι. οἱ δὲ, διὰ τὸ οἴεσθαι κρατεῖν εἶναι. οὐδὲν δὲ ἀνθρ'. τοιοῦτον ὑ ποιοῦσιν καὶ οἱ μεθυσκόμενοι. ἐλπίδες γὰρ γίνον. ὅταν ὑ αὐ τοῖς μὴ συμβῇ τὰ ὧν τὰ φοβερὰ ἀνω
όμενα. φαινόμενα ὑπερμεγέθη. ὅτι καλ' ε αἰχῆ τὸ μὴ διὸ καὶ ἀν
δρεῖοι τίθενται δοκεῖ εἶναι, τὸ ἐν τοῖς αἰφνιδίοις φόβοις, ἀφοβοι καὶ
ἀταράχους εἶναι, ἢ ἐν τοῖς προδήλοις. ἀπὸ τῆς ἕξεως γὰρ μᾶλλον ἡ καὶ

ὁμοίως

ὅτιὴπροαιρ̃ε῀σθαιμᾶλλονὴτὰπράγματα·τὸπροφανὲς̃μὲνγὰρ̃ἐκλογὴτοῦ
λόγουτὶςπροέλοιτο,τὰδ'ἐξαίφνης,κ῍ὶτὸδέξιον·ἀνδρεῖοιδ'ὑφαίνουται῍οἱἀνοσιουργοῦντες,῍εἰσὶνδ'ὑπὲρῥωτοῦἐλπίδωνχείρους·οἱδ'ὅσωἀ-
ξίωμάὐδὲνἔχουσιν·ἐκεῖνοιδ'ὑπὸπαιμμύωσίτινα·χρόν῍οἱδ'ὑπὲρ
τὴμμύοιἐαυτῶσιν·ὅτι῍ὑπὲρ῍ἢὑποπτώσωσι,φυγοῦσιν·ὅπερ̃οἱ
ἀργεῖοιἔπαθον·πολλοὺςγὰρ̃ἔκτειναν·ὡσαύτωςδὲκαὶἐπὶτὰςγυναῖκαςκαὶτὰτέκνα·οἱδὲκαὶἀνδρεῖοιεἰσὶν·ὅτιοὐκἔστιν·῍οἱδὲκινδυνεύοντεςἀνδρεῖοι·πολλὰθάρ
ρηδ῍ὑφόβουςἢἀνδρεία῎ὄντα,ἀλλ'οὐχὁμοίωςγε·πολλὰμᾶλ
λον῎ὑπὲρτὰφοβερά·οὐδὲνδὲτούτοιςἀτάραχος·῍ὑπὲρ῍ἃταῦθ'ὡςδεῖ
ἔχων,ἀνδρεῖος·μᾶλλον,ἢὁπερὶτὰθαρραλέα·τῷδὴτὰλυπη-
ρὰὑπομμύμνωςεἴρηται,ἀνδρεῖοιλέγομεν·διὸκαὶἡλύπηἀνδρείας
ἐστὶνἢδιάἐπαινεῖται·χαλεπώτερον῍γὰρ̃τὰλυπηρὰὑπομμύμνον,ἢ
ἡδέωνἀπέχεσθαι·τὸμὲν,ἀμαὰδόξῃκαὶεἶναιτὸκ῍ὶτ᾽ἀνδρείουτέ-
λοςἢδύ·ὑπὸτῶνκύκλωἀφανίζεσθαι,οἷοντοῖςγυμνικοῖσἀγῶ
σιτίνες·τοῖςγὰρπύκταις,τὸμ᾽τέλ᾽ἡδύ·οὗἕνεκαὁτὲφαὶνηκαὶ
αἵτυπτόμενος·τὸδ᾽τύπτεσθαιἀλγεινὸνεἰπερἀρκεινοικαὶλυπηρ᾽·ἡ
πᾶςὁπόν·διὰδὲτὸπολλὰτοῦτ᾽εἶναιμικρ᾽ὂντὸδ᾽ἕνεκαοὐ
δὲνἡδὺφαίνες῍ἔχειν·εἰδὴτοιοῦτόνἐστιτὸπερὶτὴνἀνδρείαν·
ὁμὲνθάνατος῍καὶτὰξαύματα,λυπηρὰτῷἀνδρείῳ,καὶἀκοντι
έσεως·ὑπομμύῃδ'αὐτὰὅτικαλ᾽,ἢὅτιαἰσχ᾽·τὸμὲν῍ὅσῳἂν
μᾶλλοντὴνἀρετὴν῍ἔχῃπᾶσαν,καὶὐδὰιμονέστερος῍ἦμᾶλλ᾽ὧν
ἐπὶθανάτῳ,λυπήσεται·τῷγοιὄντωγὰρμάλισταχρὴὄξιον,καὶ
ὅτου,μείζωνἀγαθῶνἀποστερεῖται·εἰδὲ῍ὡς·λυπηρ᾽ἢτοῦτο·ἀλ
λ᾽ὅμωςἢπουἀνδρεῖος·ἴσωςἢμᾶλλ᾽ὅτι῍ἐντῷπολέμωκαλὸν
αὐτὰἐκείνωναἱρεῖ῍·ὃἢδὴ῍ἐνἁπάσαιςτοῖςἀρετοῖςτὸἡδέως
ἐνεργ῍εῖνὑπάρχει,πλὴνἐφ᾽ὅσονπαντελῶςἐφάπτε῍σθαπιῶτας·δ᾽ὅμως
ἴσωςκωλύῃμὴ῍εἶναιχρυσὸνκρατίστοις῍εἶναι·ἀλλὰτοὺς῍ἥπτουμὲν
ἀνδρείους,ἀλλοδαπὸνμηδὲν῍ἔχοντας·ἔτοιμοιγὰρ̃οὗτοιπρὸς
τοὺςκινδύνουςἐσονται·καὶτὸνβίονπρὸςμικρὰκέρδηκαταλλάττονται·
περὶμὲνοὖνἀνδρείας,ἐπὶτοσοῦτοιρηθήτω·πέρ῍ἐστιν,οὐχαλεπ῍ῶ

τύπῳ περιλαβεῖν ἐκ τῶν εἰρημένων. μετοὐτὰ τῶν περὶ σωφροσύνης λέγωμεν. δοκοῦσι γὰρ τὰ λόγων μερῶν αὐτῶν εἶναι ἀρεταί. ὅτι μὲν οὖν μεσότης ἐστὶ περὶ ἡδονὰς ἡ σωφροσύνη, εἴρηται ἡμῖν. ἔτι γὰρ ἡ ἀκολασία φαίνεται περὶ τὰς αὐτὰς ἡδονάς, ἀλλ' οὐχ ὁμοίως ἐστὶ περὶ τὰς αὐτάς. ἐν τούτοις οὖν καὶ ἡ ἀκολασία φαίνεται περὶ ἃς καὶ ἡ σωφροσύνη, ἃ μὴ φοβερὰ ὄντα μηδὲ ὀνειδιστὰ ἦν καὶ ψυχῆς καὶ σώματος πάθη καὶ οἷον φιλοτιμία φιλομάθεια· ἑκάτερος γὰρ τούτων χαίρει, οὗ φιλητικός ἐστιν, ἀλλὰ παρέχοντος τοῦ σώματος ἀλλὰ μᾶλλον φρονήσεως· οἱ δὲ περὶ τὰς τοιαύτας ἡδονάς, ἐστὶ σώφρονες, οὐδὲ ἀκόλαστοι λέγονται· ὁμοίως δὲ καὶ οἱ περὶ τὰς ἄλλας ὅσαι μὴ σωματικαί εἰσιν. οἱ γὰρ φιλομαθεῖς, ἀλλὰ μαθηματικὰς ἀλλὰ περὶ τὸν λόγων καταγίγνονται τὴν ἡμέραν, ἀλλ' οὐ παίζοντες· ἀκόλαστοι δ' ἐλέγοντο, ὃ δὲ τοῦτο λυπούμενοι ἐπὶ χρήμασιν ἢ φίλοις· περὶ δὲ τὰς σωματικάς, εἶναι δὲ ἡ σωφροσύνη· ἀλλὰ ταύτας δὲ δὲ ταύτας· οἱ γὰρ χαίροντες τοῖς διὰ ῥόφεως, οἷον χρώματι ἢ χρήματι γραφῇ, ἀλλὰ τοιοῦτοι λέγονται· καίτοι δόξειεν ἂν εἶναι καὶ ὡσαύτως χαίρειν καὶ τούτοις, ἀλλὰ καθ' ὑπερβολὴν ἐλλείψιν· ὁμοίως δὲ καὶ περὶ τὰ ἀκόλαστα· τοὺς γὰρ ὑπερβεβλημένως χαίροντας μέλεσιν ἢ ὑπηκείσει, ἀλλὰ εἰς ἀκολάστους λέγομεν, ἀλλὰ τοὺς ὡσαύτως, σώφρονας· οὐ δὲ γοῦν περὶ τὰ ὁμοίως· ἀλλ' ἔστι συμβεβηκός· τοῖς γὰρ χαίρουσι μήλων ἢ ῥόδων ἢ θυμιαμάτων ὁμοίως, ἀλλὰ λέγομεν ἀκολάστους· ἀλλὰ μᾶλλον τοὺς μύρων ὀψῶν· χαίρουσι γὰρ τούτοις οἱ ἀκόλαστοι· ὅτι διὰ τούτων ἀναμνήσεις περὶ αὐτοῖς τῶν ἐπιθυμιῶν· ἴδοι δ' ἄν τις καὶ τοὺς ἄλλους ὅταν περιόσι χαίροντας ταῖς τῶν βρωμάτων ὁμοίως· ἀλλὰ δὲ τοῖς χαίρειν ἀκολάστου· τούτων γὰρ ἐπιθυμήματα ταῦτα· ἀκόλαστοι δὲ τοῖς ἄλλοις ζῴοις καὶ τοῖς ἁφαῖς τοιαῦτα αἰσθήσεις ἡδονή, ὥλην συμβεβηκός· ἀλλὰ τῶν λαγῴων, αἱ κύνες χαίρουσιν, ἀλλὰ τῇ βρώσει· τὴν δὲ αἴσθησιν ἡ ὁμιλία ἐποίησεν· ἀλλὰ τοῖς λέουσι τῇ φωνῇ τοῦ βοός, ἀλλὰ τῇ ἐδωδῇ· ὅτι ἐγγύς ἐστι, διὰ φωνῆς ἤθετο.

ἡ χαίρειν

ἐπὶ χαίρειν δὴ τὰ τοιαῦτα φαίνεται. ὁμοίως δ' ἂν εἴδωλον ἢ βύρσαν ἔλαφον ἢ ἄγριον αἶγα· ἀλλ' ὅτι βορὰν ἕξει· περὶ τὰς τοιαύτας δὴ ἡδονὰς ἡ σωφροσύνη ἡ ἀκολασία ἐστίν· ὧν καὶ τὰ λοιπὰ ζῷα κοινωνεῖ· ὅθεν ἀνδραποδώδεις καὶ θηριώδεις φαίνονται· αὗται δ' εἰσὶν ἁφὴ καὶ γεῦσις· φαίνονται δὲ καὶ τῆς γεύσεως ἐπὶ μικρὸν ἢ οὐδὲν χρῆσθαι· φθείρεται γὰρ γεύσεως ὅστις ἡ κρίσις τῶν χυλῶν· ὅπερ ποιοῦσιν οἱ τοὺς οἴνους δοκιμάζοντες ἢ τὰ ὀψαρτύοντες· οὐ πάνυ δὲ χαίρουσι τούτοις ἢ οὐχ ὅτι γε ἀπολαύουσι, ἀλλὰ τῆς ἁπτικῆς ἀπολαύσεως, ἣ πάντα ταῦτα διαφθείρεται ἐν τοῖς καπνίζουσι τοῖς ἀφροδισίοις λεγομένοις· διὸ καὶ ὁ νύξ ἀρτίως φιλόξενος ἐρύξιος, ὁ τοὺς φάρυγγας αὐτῷ μακρότερα γεράνου ποιήσας· ὡς ἡδόμενος τῇ ἁφῇ· ἡ δὲ ἁφὴ κοινοτάτη δὴ τῶν αἰσθήσεων, καθ' ἣν ἡ ἀκολασία· καὶ δόξειεν ἂν δικαίως ἐπονείδιστος εἶναι· ὅτι δ' οὐχ ἡμῖν ἔστιν, ἀλλ' ἡμῶν τοῖς ζῴοις· τὸ δὴ τοιοῦτος χαίρειν μάλιστα ἅπασι θηριώδες· καὶ γὰρ αἱ ἐλευθεριώταται τῶν ἁφῶν ἡδονῶν ἀφῄρηνται· οἷον αἱ ἐν τοῖς γυμνασίοις διὰ τρίψεως καὶ τῆς θερμασίας γινόμεναι· ἐν ταύταις γὰρ εἰπεῖν τὸ σῶμα καὶ τὸ ἀκολάστου ἁφή, ἀλλὰ περὶ τινα μέρη· τῶν δ' ἐπιθυμιῶν, αἱ μὲν κοιναὶ δοκοῦσιν εἶναι· αἱ δ' ἴδιοι εἰσὶν ἑπάστοις· οἷον, ἡ μὲν φιλοσοφοῦ φυσική· τῶν γὰρ ἐπιθυμεῖν, ὅτου ἐν δεήσει ἕξειν ἢ ὑγρᾶς ἢ ὑγρᾶς τροφῆς· ὅτι δ' ἀμφοῖν, εἰ λώνης φησὶν ὅμηρος ὁ νέος ἐξακμάζων· τὸ δὲ τοιᾶσδε ἢ τοιᾶσδε, οὐκ ἔστι τῶν φύσει· ἐν δὲ τῶν αὐτῶν· διὸ φαίνεται καὶ μέτριον εἶναι· ἐν μὲν ἀλλ' ἔχει τι καὶ φυσικόν· ἕτερα γὰρ ἑτέροις ἡδέα· ἢ εἰ ἅπασιν ἡδέα τὰ τυχόντα· ἀλλ' οὐ πάντων· ἐν μὲν οὖν τοῖς φυσικοῖς ἐπιθυμίαις ὀλίγοι ἁμαρτάνουσι· καὶ ἐφ' ἑνὶ ἐπὶ τὸ πλεῖον· τὸ γὰρ ἐσθίειν τὰ τυχόντα καὶ πίνειν, ἕως ἂν ὑπερπλησθῇ, ὑπερβάλλει τὸν κατὰ φύσιν τῷ πλήθει· αὕτη γὰρ πλήρωσις τῆς φυσικῆς οὐσίας, ἡ φυσικὴ ἐπιθυμία· διὸ λέγονται ἕτοιμα ῥίπτοντες, ὡς τοῦτο δεῖ πληροῦντες· αὐτὴ δὲ τοιοῦτοι δὲ γίνονται οἱ λίαν ἀνδραποδώδεις· περὶ ἣν ἐστὶν ἡ τῶν ἀλόγων ἡδονή· ἅπερ οἱ καὶ πρὸς

ἁμαρτάνουσι. τῷ φιλογρίστῃ λεχθήσῃ. ἢ ᾧ χαίρειν οἷς μηδεὶς ἢ ᾧ μᾶλλον. ἢ ὡς οἱ πολλοί. ἢ μὴ ὡς δεῖ. ἢ μὴ ᾧ δεῖ. κτλ. πολὺν δ' οἰκολασίαν ὑπερβάλλουσι. καὶ γὰρ χαίρουσιν οἷς οὐδεὶς μισητὰ δ' καὶ ὧν τισὶ δεῖ χαίρειν τριστὰ μᾶλλον ἢ δεῖ. ἢ ὡς οἱ πολλοὶ χαίρουσιν ἢ μὴ ὅπερ δεῖ τὰς ἡδονὰς ὑπερβολῇ. ὅτι ἀκολασίαν ψέκουσιν. δῆλον. περὶ δὲ τὰς λύπας. ὡς περὶ ταῦτα ἀνδρεία ὑπάρχει φύλεγε δὲ σώφρων. οὐδ' ἀκόλαστος ᾧ μὴ ἀλόμενα ἀκόλαστος. ᾧ λυπεῖσθαι μᾶλλον. ἢ δεῖ. ὅπερ ἡδέων ὄντων τυγχάνει τὴν λύπην ὁ τοιοῦτος ᾧ ἢ ἡδονή. οὐ σώφρων. ᾧ μὴ λυπεῖσθαι ἢ ἀπουσίᾳ τῷ ἀπέχεσθαι ἡδέων. ὁ μὲν οὖν ἀκόλαστος ἐπιθυμητικὸς ἡδέων πάντων. ἢ τὰ μάλιστα. καὶ ἀγαθοῦ πρὸς ἐπιθυμίαν. ὡς τι καὶ τὰ ἀναγκαῖα τῶν ἀγαθῶν αἱρετὰ ἀνθρώποις ἐστί. καὶ μέτρια. ἐπιθυμητὴς ἢ περὶ τὰ σφόδρα. καὶ μὴ ἃ δεῖ. καὶ ὅτε μὴ δεῖ. καὶ ὅσα τοιαῦτα προστίθεται. ἀκολουθεῖ δὲ ταῦτα ἑαυτοῖς. ἢ κατὰ προαίρεσιν. ἢ μᾶλλον κατὰ προαίρεσιν. αὐτὰ μὲν γὰρ δι' αὐτά. ἐπιθυμητικὸς ἐστιν. ἐὰν μηθὲν ἄλλο γίνηται. ἀλλ' ἐξ ἐκείνων ἐπιθυμεῖ. ἐὰν δὲ μὴ παρῇ. οὐκ ἐπιθυμεῖ. ἢ οὕτως ἔχειν πέφυκεν. ἢ οὐχ οὕτως. ἀλλὰ μὴν καὶ ὅσα ἡδέα ποιητικὰ ἡδέων. ἢ σωτήρια τούτων. διώκει. ἢ ἐὰν παρὰ ταῦτα ἡδέα ᾖ. ἢ ἐὰν μὴ λυπηρὰ ᾖ. ἢ ἐὰν μὴ ἐκλείποντα. ἢ ἐὰν μὴ μετὰ τοῦ μὴ δύνασθαι ἔχειν ἄλλα ἡδέα. ἢ ἐὰν μὴ μετὰ πολλῆς δαπάνης. ἢ ἐὰν μὴ μετὰ πόνου. ἔτι ἐὰν ἐθισθῇ ἐκ παιδὸς. ἢ ἐὰν μὴ ἐθισθῇ. ἔστι γὰρ καὶ ταῦτα ἐν τοῖς ἀκολάστοις. ἀκόλαστος δὲ ἐστὶ καὶ ὁ ἐπὶ τοῖς ἐπιθυμητοῖς ἡδέσι λυπούμενος. ἢ ἐπιθυμῶν. ἢ ἁπλῶς ἐπιθυμητικὸς ὢν. ἢ ἐπὶ τοῖς μὴ δεῖ. ἢ ὡς οὐ δεῖ. ἢ ὅσα ἄλλα προστίθεται τοιαῦτα. ἀκολουθεῖ δὲ καὶ ταῦτα ἑαυτοῖς. ἢ κατὰ προαίρεσιν. ἢ μᾶλλον κατὰ προαίρεσιν. ἐπὶ γὰρ τοῖς ἡδέσι λυπούμενος. ἢ ἐπιθυμῶν. ἐπὶ τούτοις ἐστὶν ἐπιθυμητικὸς ἢ ἐπὶ τοῖς ἡδέσι

ὅτου ποιεῖ. μᾶλλον ἢ ἑκάστου. δι' ὃ καὶ ἐπονείδιστόν ἐστιν. καὶ γὰρ ἐθι-
σθῆναι ῥᾷον πρὸς αὐτά. πολλὰ γὰρ ἐν τῷ βίῳ τοιαῦτα. καὶ
οἱ ἐθισμοὶ ἀκίνδυνοι. ἐπὶ τῶν φοβερῶν δ' ἀνάπαλιν. δόξειε δ' ἂν
ὀχ ὁμοίως ἑκάστου ἡ δικαιοσύνη εἶναι τοῖς καθ' ἕκαστον. οὐ τὴν λυ-
σιτελοῦσαν. ταῦτα γὰρ δικαιοῦσιν ἐξίστασιν. ὥστε καὶ τοῦ ὅλου ἐστὶ πᾶν
καὶ τὰ ἄλλα ἀχρεῖον. δι' ὃ καὶ δοκεῖ βίαια εἶναι. ᾧ δ' ἀκολάστῳ
ἀνάπαλιν. τοῦ μὴ καθ' ἕκαστα εἰκότα. ὧν θυμῶν τι γὰρ καὶ ὀρεχ-
τῷ. τὸ δ' ὅλον ἧττον. οὐδεὶς γὰρ ἐνθυμεῖ ἀκόλαστος εἶναι. τὸ
δ' ὄνομα ἐπὶ ἀκολασίας. ὧν τὰς ποινὰς ἁμαρτίας φέρο-
μεν. ἔχουσι γάρ τινα ὁμοιότητα. πότερον ἢ ἀπὸ τοῦ ἑτέρου καλεῖ
ται. δὲν πρὸς τὰνῦν ἀφέρει. δῆλον δ' ὅτι τὸ ὕστερον ἀπὸ τοῦ
προτέρου. δικαίως ἔοικε μεταλαμβάνειν. κεκολάσθω γὰρ δεῖ τὸ τῶν
ἐπιθυμητικοῦ ὀρεκτικόν. καὶ πολλὴν αὔξησιν ἔχον. τοιοῦτον ἢ μάλιστα ἡ
ἐνθυμία καὶ ὁ ποῦς. κατ' ἐνθυμίαν γὰρ ζῶσιν τὰ παιδία. καὶ
μάλιστα τούτοις ἡ τοῦ ἡδέος ὄρεξις. εἰ οὖν μὴ ἔσται εὐπειθὲς καὶ
ὑπὸ τὸν ἄρχον. ἐπὶ πολὺ ἥξει. ἀπλήστου γὰρ ἡ τοῦ ἡδέος ὄρεξις. καὶ
παντὶ ἐνθέν τῷ αὐτῷ. ἡ μὲν ἐνθυμίας ἐνέργεια. αὔξει τὸ
συγγενές. καὶ μεγάλαι καὶ σφοδραὶ ὦσι. καὶ τὸν λογισμὸν ἐκκρού
σει. διὸ δεῖ μετρίας αὐτὰς εἶναι καὶ ὀλίγας. καὶ τῷ λόγῳ μηδὲν ἐνα
τιοῦσθαι. τὸ δὲ τοιοῦτον. εὐπειθὲς λέγομεν. καὶ κεκολασμένον. ὥσ-
περ δὴ τὸν παῖδα δεῖ κατὰ τὸ πρόσταγμα τοῦ παιδαγωγοῦ ζῆν.
οὕτω καὶ ἐπιθυμητικὸν κατὰ τὸν λόγον. διὸ δεῖ τὸ σώφρονος τὸ ἐπι
θυμητικὸν. συμφωνεῖν τῷ λόγῳ. σκοπὸς γὰρ ἀμφοῖν τὸ καλόν.
ὁ ἐπιθυμεῖ ὁ σώφρων ὧν δεῖ. καὶ ὡς δεῖ. καὶ ὅτε. οὕτω δὲ καὶ ὁ λόγος.
ταῦτ' οὖν ἡμῖν εἰρήσθω περὶ σωφροσύνης.

Τέλος

τοῦ

Γ'.

ἈΡΙΤΟΤΈΛΟΥΣ ἨΘΙΚΩ̂Ν ΝΙΚΟΜΑΧΕΊΩΝ

ΤῸ ·Δ΄·

Λέγομεν δ' ἑξῆς περὶ ἐλευθεριότητος· δοκεῖ δὲ εἶναι περὶ χρήματα μεσότης· ἐπαινεῖται γὰρ ὁ ἐλευθέριος, οὐκ ἐν τοῖς πολεμικοῖς· οὐδ' ἐν οἷς ὁ σώφρων· οὐδ' αὖ ἐν ταῖς κρίσεσιν, ἀλλὰ περὶ δόσιν χρημάτων καὶ λῆψιν· μᾶλλον δ' ἐν τῇ δόσει· χρήματα δὲ λέγομεν πάντα ὅσων ἡ ἀξίανομίσματι μετρεῖται· ἔστι δὲ καὶ ἡ ἀσωτία καὶ ἡ ἐνελευθερία, περὶ χρήματα ὑπερβολαὶ καὶ ἐλλείψεις· ἀντὶ μὲν ἀνελευθερίαν προσάπτομεν αἰεὶ τοῖς μᾶλλ' ἢ δεῖ περὶ χρήματα σπουδάζουσι· τὴν δ' ἀσωτίαν ἐπὶ φέρομεν ἐνίοτε συμπλέκοντες· τοὺς γὰρ ἀκρατεῖς καὶ εἰς ἀκολασίαν δαπανηροὺς, ἀσώτους καλοῦμεν· διὸ καὶ φαυλότατοι δοκοῦσιν εἶναι· πολλὰς γὰρ ἁμακακίας ἔχουσιν· οὐδὲ οἰκείως προσαγορεύονται· βούλεται γὰρ ἄσωτος εἶναι ὁ ἐντικακὸν ἔχων, τὸ φθείρειν τὴν οὐσίαν· ἄσωτος γὰρ ὁ δι' αὐτὸν ἀπολλύμενος· δοκεῖ δὲ ἀπώλειά τις αὐτοῦ εἶναι καὶ ἡ τῆς οὐσίας φθορὰ, ὡς τοῦ ζῆν διὰ τούτων ὄντος· οὕτω δὲ τὴν ἀσωτίαν ἐκδεχόμεθα· ὧν δέ ἐστι χρεία τὶς, ἔστι τούτου χρῆσθαι καὶ εὖ καὶ κακῶς· ὁ πλοῦτος δὲ τοῦ χρησίμου· ἑκάστῳ δ' ἄριστα χρῆται, ὁ ἔχων τὴν περὶ ἕκαστον ἀρετήν, καὶ πλούτῳ δὲ χρήσεται ἄριστα· ὁ ἔχων τὴν περὶ τὰ χρήματα, ἀρετήν· οὗτος δέ ἐστιν ὁ ἐλευθέριος· χρῆσις δ' εἶναι δοκεῖ χρημάτων.

μάτων δὲ πόρη καὶ δόσις· ἡδὲ λῆψις καὶ ἡ φυλακὴ κτῆσις
μᾶλλον· διὸ μᾶλλον τοῦ ἐλευθερίου τὸ διδόναι οἷς δεῖ ἢ λαμβάνειν
ὅθεν δεῖ· καὶ μὴ λαμβάνειν ὅθεν δεῖ· φιλαρετήσει μᾶλλον τὸ ὧν πρὸς
ἢ τὸ οὗ πάσχειν· ἢ τὸ καλὰ πράττειν μᾶλλον, ἢ τὸ αἰσχρὰ μὴ πράτ-
τειν· δῆλον δὲ καὶ ἐν ἑκάστοις τούτοις· τῆς γὰρ δόσεως ἐστὶν ἐλευθέριον
τὸ καλὰ πράττειν· τῆς δὲ λήψεως τὸ οὗ πάσχειν· ἢ μὴ αἰσχρὸν εἶναι· ἢ
τῆς ἀφειδοῦς τὸ τοῦ μὴ λαμβάνοντι· ἢ ὁ ἔπαινος ἢ μᾶλλον· ῥᾴδιον
ἢ τὸ μὴ λαμβάνειν τοῦ διδόναι· τὸ γὰρ οἰκεῖον ἧττον προίεται μᾶλ-
λον, ἢ λαμβάνουσι τὸ ἀλλότριον· καὶ ἐλευθέριοι λέγονται οἱ δι-
δόντες, οἱ δὲ μὴ λαμβάνοντες, οὐκ εἰς ἐλευθεριότητα ἀνήκουσι, ἀλλ'
ἐν ἧττον εἰς δικαιοσύνην· οἱ δὲ λαμβάνοντες οὐδὲ ἐπαινοῦνται πάνυ·
φιλοῦνται δὲ ἧττον τῶν ἀνελευθέρων· ὠφέλιμοι
γὰρ· τοῦτο δὲ ἐν τῇ δόσει· αἱ δὲ κατ' ἀρετὴν πράξεις, καλαὶ καὶ
καλοῦ ἕνεκα· καὶ ὁ ἐλευθέριος δώσει τε καλοῦ ἕνεκα καὶ ὀρθῶς· οἷς
γὰρ δεῖ ἐν ὅσα καὶ ὅτε καὶ τῶν ἄλλων ὅσα ἕπεται τῇ ὀρθῇ δόσει· καὶ ταῦτα
ἡδέως ἢ ἀλύπως· τὸ γὰρ κατ' ἀρετὴν ἡδὺ ἢ ἄλυπον, ἢ οὐκ ἄλυπον
ἧκιστα· ὁ δὲ διδοὺς οἷς μὴ δεῖ, ἢ μὴ διὰ καλοῦ ἕνεκα, ἀλλὰ διά τιν' ἄλλην
καὶ ἀδικεῖσθαι. τὸ μὲν γὰρ πλέον ἔχειν, τὸ δ' ἔλαττόν ἐστιν. ἡ δὲ δι-
καιοσύνη, μεσότης ἐστὶν, οὐ τὸν αὐτὸν τρόπον ταῖς πρότερον ἀ-
ρεταῖς, ἀλλ' ὅτι μέσον ἐστὶ. τοῦτέστιν ἴσον, ἡ δὲ ἀδικία τῶν ἄκρων. ἡ μὲν
δικαιοσύνη ἐστὶ καθ' ἣν ὁ δίκαιος λέγεται πρακτικὸς κατὰ προαί-
ρεσιν τοῦ δικαίου, καὶ διανεμητικὸς καὶ αὐτῷ πρὸς ἄλλον, καὶ
ἑτέρῳ πρὸς ἕτερον, οὐχ οὕτως. ὥστε τοῦ μὲν αἱρετοῦ πλέον αὐ-
τῷ, ἔλαττον δὲ τῷ πλησίον. τοῦ βλαβεροῦ δ' ἀνάπαλιν, ἀλλὰ τοῦ ἴ-
σου τοῦ κατ' ἀναλογίαν. ὁμοίως δὲ καὶ ἄλλῳ πρὸς ἄλλον. ἡ δ' ἀ-
δικία τοὐναντίον, τοῦ ἀδίκου. τοῦτο δ' ἐστὶν ὑπερβολὴ καὶ ἔλλειψις
τοῦ ὠφελίμου ἢ βλαβεροῦ παρὰ τὸ ἀνάλογον. διὸ ὑπερβολὴ καὶ ἔλλειψις
ἡ ἀδικία ὅτι ὑπερβολῆς καὶ ἐλλείψεως ἐστίν. ἐφ' αὑτοῦ μὲν, ὑ-
περβολῆς τοῦ ἁπλῶς ὠφελίμου. ἐλλείψεως δὲ τοῦ βλαβεροῦ. ἐπὶ
δὲ τῶν ἄλλων, τὸ μὲν ὅλον ὁμοίως. τὸ δὲ παρὰ τὸ ἀνάλογον, ὁ πο-
τέρως ἔτυχε. τοῦ δὲ ἀδικήματος, τὸ μὲν, ἔλαττον, τὸ ἀδικεῖσθαι
ἤ. τὸ δὲ μεῖζον, τὸ ἀδικεῖν. περὶ μὲν οὖν δικαιοσύνης καὶ ἀδικίας,
τίς ἑκατέρας ἐστὶν ἡ φύσις, εἰρήσθω τοῦτον τὸν τρόπον. ὁμοίως δὲ
καὶ περὶ δικαίου καὶ ἀδίκου καθόλου. ἐπεὶ δέ ἐστιν ἀδικοῦντα μήπω ἄδι-
κον εἶναι, ὁ τοῖα ἀδικήμα ἃ ἀδικεῖν ἡ δὴ ἀδικός ἐστιν ἑκάστην ἀδικίαν.
οἷον κλέπτης ἢ μοιχὸς ἢ λῃστὴς ἢ οὕτω μὲν οὐδὲν διοίσει. καὶ γὰρ ἂν
συγγένοιτο γυναικὶ εἰδὼς τὸ ᾖ. ἀλλ' οὐδὲ ἀπροαιρέσεως ἀρχήν, ἀλ-
λὰ διὰ πάθος. ἀδικεῖ μὲν οὖν. ἄδικος δ' οὐκ ἐστὶν, οἷον οὐδὲ κλέπτης,
ἔκλεψε δὲ. οὐ δὲ μοιχὸς, ἐμοίχευσε δὲ. ὁμοίως δὲ καὶ τῶν ἄλλων. πῶς μὲν
οὖν ἔχει τὸ ἀντιπεπονθὸς πρὸς τὸ δίκαιον, εἴρηται πρότερον. δεῖ
δὲ μὴ λανθάνειν ὅτι τὸ ζητούμενόν ἐστι καὶ τὸ ἁπλῶς δίκαιον, καὶ τὸ πο-
λιτικὸν δίκαιον. οὗτο δέ ἐστι καὶ κοινωνοῦν βίου πρὸς τὸ εἶναι αὐτάρ-
κειαν ἐλευθέρων καὶ ἴσων, ἢ κατὰ ἀναλογίαν, ἢ κατ' ἀριθμόν. ὥστε
ὅσοις μὴ ἔστι τοῦτο, οὐκ ἔστι τούτοις πρὸς ἀλλήλους τὸ πολιτικὸν δίκαιον

δίκαιον ἀλλὰ τί δίκαιον καθ' ὁμοιότητα· ἔστι δὲ δίκαιον, οἷς καὶ νόμος πρὸς αὐτούς· νόμος δ' ἐν οἷς ἀδικία· ἡ δὲ δίκη, κρίσις τοῦ δικαίου τοῦ ἀδίκου· ἐν οἷς δ' ἀδικία, καὶ τὸ ἀδικεῖν ἐν τούτοις· ἐν οἷς δὲ τὸ ἀδικεῖν, οὐ πᾶσιν ἀδικία· τοῦτο δ' ἐστὶ τὸ πλέον αὐτῷ νέμειν, τῶν ἁπλῶς ἀγαθῶν· ἔλαττον δὲ, τῶν ἁπλῶς κακόν· διὸ οὐκ ἐῶμεν ἄρχειν ἄνδρα, ἀλλὰ τὸν λόγον· ὅτι ἑαυτῷ τοῦτο ποιεῖ, καὶ γίνεται τύραννος· ἔστι δὲ ὁ ἄρχων φύλαξ τοῦ δικαίου, εἰ δὲ τοῦ δικαίου, καὶ τοῦ ἴσου· ἐπεὶ δ' οὐθὲν αὐτῷ, πλέον εἶναι δοκεῖ εἴπερ δίκαιος, οὐ γὰρ νέμει πλέον τοῦ ἁπλῶς ἀγαθοῦ αὐτῷ, εἰ μὴ πρὸς αὐτὸν ἀνάλογόν ἐστι· διὸ ἑτέρῳ πονεῖ· καὶ διὰ τοῦτο ἀλλότριον εἶναί φασιν ἀγαθὴν τὴν δικαιοσύνην, καθάπερ ἐλέχθη (πρότερον)· μισθός τις ἄρα δοτέος· τοῦτο δὲ τιμὴ καὶ γέρας, ὅτῳ δὲ μὴ ἱκανὰ ταῦτα, οὗτοι γίνονται τύραννοι· τὸ δὲ δεσποτικὸν δίκαιον καὶ τὸ πρῖκον, οὐ ταυτὸ τούτοις, ἀλλ' ὅμοιον· οὐ γὰρ ἔστιν ἀδικία πρὸς τὰ αὑτοῦ ἁπλῶς· τὸ δὲ κτῆμα καὶ τὸ τέκνον ἕως ἂν ᾖ πηλίκον καὶ μὴ χωρισθῇ, ὥσπερ μέρος αὐτοῦ· αὐτὸν δ' οὐθεὶς προαιρεῖται βλάπτειν· διὸ οὐκ ἔστιν ἀδικία πρὸς αὐτόν· οὐδ' ἄρα ἄδικον οὐδὲ δίκαιον τὸ πολιτικόν· κατὰ νόμον γὰρ ἦν, καὶ ἐν οἷς ἐπεφύκει εἶναι νόμος· οὗτοι δ' ἦσαν, οἷς ὑπάρχει ἰσότης τοῦ ἄρχειν καὶ ἄρχεσθαι· διὸ μᾶλλον πρὸς γυναῖκα ἐστὶ δίκαιον, ἢ πρὸς τέκνα καὶ κτήματα· τοῦτο γὰρ ἔστι τὸ οἰκονομικὸν δίκαιον· ἕτερον δὲ τοῦτο τοῦ πολιτικοῦ· τοῦ δὲ πολιτικοῦ δικαίου· τὸ μὲν φυσικόν ἐστι· τὸ δὲ, νομικόν· φυσικὸν μὲν, τὸ πανταχοῦ τὴν αὐτὴν ἔχον δύναμιν, καὶ οὐ τῷ δοκεῖν ἢ μή· νομικὸν δὲ, ὃ ἐξ ἀρχῆς μὲν οὐθὲν διαφέρει οὕτως ἢ ἄλλως· ὅταν δὲ θῶνται, διαφέρει, οἷον τὸ, μνᾶς λυτροῦσθαι, ἢ τὸ αἶγα θύειν, ἀλλὰ μὴ δύο πρόβατα· ἔτι ὅσα ἀνὴ τῶν καθ' ἕκαστα νομοθετοῦσιν· οἷον· τὸ θύειν βρασίδᾳ καὶ τὰ ψηφισματώδη· δοκεῖ δὲ ἐνίοις πάντα εἶναι τοιαῦτα, ὅτι τὸ μὲν φύσει, ἀκίνητον, καὶ πανταχοῦ τὴν αὐτὴν ἔχει δύναμιν· ὥσπερ τὸ πῦρ καὶ ἐνθάδε καὶ ἐν πέρσαις καίει· τὰ δὲ δίκαια κινούμενα ὁρῶσι, τοῦτο δ' οὐκ ἔστιν οὕτως ἔχον, ἀλλ' ἔστιν ὥς· καίτοι

παράγε

ἀλλ' ἀεὶ τοῖς θεοῖς ἴσως ὅλως μὲν οὐκ ἔχον οὐδὲν μῖμα δῆλον μέν τι καὶ φυσικὸν κινητόν· οὐ μέντοι τοι πᾶν· ἀλλ' ὅμως ἔστι, τὸ μὲν φύσει· τὸ δὲ οὐ φύσει· τοιοῦν δὲ φύσει τῶν ἐνδεχομένων καὶ ἄλλως ἔχειν καὶ πρᾶγμα ἕν, ἀλλὰ νομικὸν ἢ συνθήκη, εἰ περ ἅμφω κινητὰ ὁμοίως, δῆλον καὶ ὧν τῶν ἀλλ' οὐδὲν ἧττον ἔστι τὸ φύσει δίκαιον τοῦτο. φύσει γὰρ ἡ δεξιὰ κρείττων καίτοι ἐνδέχεται πάντας ἀμφιδεξίους γενέσθαι· τὰ δὲ κατὰ συνθήκην καὶ τὸ συμφέρον τῶν δικαίων, ὅμοια ἐστὶ τοῖς μέτροις· οὐ γὰρ πανταχοῦ ἴσα τὰ οἴνου μέτρα καὶ σίτου μέτρα, ἀλλ' οὖν μέντοι ὡμοῦ τοι μείζω· οὐδὲ πωλοῦσιν ἐλάττω· ὁμοίως δὲ καὶ τὰ μὴ φύσει ἀλλὰ βουλήσει πανταδήλαια, οὐ ταυτὰ πανταχοῦ· ἐπεὶ οὐδὲ πολιτεῖαι· ἀλλὰ μία μόνη πανταχοῦ κατὰ φύσιν ἡ ἀρίστη· τῶν δὲ δικαίων καὶ νομίμων ἕκαστον, ὡς τὰ καθόλου πρὸς τὰ καθ' ἕκαστα ἔχει· τὰ μὲν γὰρ πράγματα πολλά· ἑκάστων δὲ ἕκαστον ἓν καθόλου λεγόμενον· διαφέρει δὲ τὸ ἀδικημα τοῦ ἀδικεῖν, καὶ τὸ ἀδίκημα τοῦ ἄδικον· οὐδὲν γὰρ τοιοῦτον ἡ φύσει ἐστὶ τοιοῦτον· ἄδικον μὲν γὰρ ἤδη τὴν φύσει ἐστὶ τοιοῦτον· τὸ αὐτὸ ὅταν πραχθῇ, ἀδίκημά ἐστιν· πρὶν δὲ πραχθῆναι πω, ἀλλ' ἄδικον· ὅταν πραχθῇ, ἀδίκημά ἐστιν· ὁμοίως δὲ καὶ δικαίωμα· καλεῖται δὲ μᾶλλον δικαιοπράγημα· δικαίωμα δὲ ἢ ἐπανόρθωμα τοῦ ἀδικήματος· καθ' ἕκαστον δὲ αὐτῶν· ποιά τις εἰδη καὶ πόσα καὶ περὶ τίνα τυγχάνοντα, ὕστερον ἐπισκεπτέον· ὄντων δὲ τῶν δικαίων καὶ ἀδίκων τῶν εἰρημένων· ἀδικεῖ μὲν καὶ δικαιοπραγεῖ, ὅταν ἑκόντες αὐτὰ πράττῃ· ὁ τὰν δὲ ἄκων, οὔτ' ἀδικεῖ, οὔτε δίκαιο πραγεῖ, ἀλλ' ἢ κατὰ συμβεβηκός· οἷς δὲ συμβέβηκε δικαίοις εἶναι ἢ ἀδίκοις πράττουσιν· ἀδίκημα μὲν δὴ καὶ δικαιοπράγημα, ὥρισται τῷ ἑκουσίῳ· ἢ ἀκουσίῳ· ὅταν γὰρ ἑκούσιον ᾖ ψέγεται· καὶ ἅμα δὴ τότε ἀδίκημα γέγονε τι· ὥστε ἀδίκου τι ἔσται μὲν, ἀδίκημα δὲ οὐδέπω· ἐὰν μὴ τὸ ἑκούσιον προσῇ· λέγω δὲ ἑκούσιον μὲν, ὡς περ προέιρηται· ὃ αὐτὸς τῶν ἐφ' αὑτῷ ὄντων εἰδὼς καὶ μὴ ἀγνοῶν πράττῃ· μήτε τὸν· μήτε ᾧ· μήτε ὅ· οἷον τίνα τύπτει, ἢ τίνι· ἢ τίνι· ἢ ἕνεκα· καὶ εἰ ἕκαστον, μὴ κατὰ συμβεβηκός· μὴ δὲ βίᾳ· ὡς περ εἴ τις λαβὼν τὴν χεῖρα αὐτοῦ τύπτοι ἕτε

ῤ. ὃ γὰρ ἑκὼν ἢ ὃ γε ἐπ' αὐτῷ· ἐνδέχεται ἢ τὸν τυπτόμενον πρᾶ-
ξαι· τοῦτο δ' ὅτι μὲν αὔθις· ἢ τῶν παρόντων τις οἶδεν· ἔτι δὲ
πῇ ἀγνοεῖν· ὁμοίως δὲ φαίνοιτο ἂν καὶ ὧν ἕνεκα, ἢ
περὶ τὴν πρᾶξιν ὅλων· τὸ δ' ἀγνοοῦν μόνον ἢ μὴ ἀγνοοῦν μόνον μὴ,
μηδ' ἐπ' αὐτῷ ἡδονὴ βία, ἀκόσιον· πολλὰ γὰρ καὶ τῶν φύσει ὑπάρ-
χόντων εἰδότες καὶ πράττομεν καὶ τοὐναντίον· ὧν οὐθὲν οὔτε ἑκού-
σιον οὔτε ἀκούσιόν ἐστιν· οἷον τὸ γηράσκειν· ἢ ἀπροαίρετον· ὅτι δ' ὁμοί-
ως καὶ ἐπὶ τῶν ἀδίκων καὶ τῶν δικαίων, καὶ τὸ κατὰ συμβε-
βηκός· καὶ γὰρ αὐτὸν παρακαταθήκην ἀπροαίρετος ἀποδίδωσι διὰ
φόβον, ὅτι δίκαια πράττει, ὅτι δίκαιον πράγειν φατέον· ἀλλ' ἢ
καὶ τὸ συμβεβηκός· ὁμοίως δὲ καὶ τὸν ἀναγκαζόμενον ἀκού-
σιον τῷ παρακαταθήκην, μὴ ἀποδόντα, κατὰ συμβεβηκὸς φα-
τέον ἀδικεῖν· καὶ τὰ ἄδικα πράττειν· τῶν δὲ ἑκουσίων, τὰ μὲν προε-
λόμενοι πράττομεν· τὰ δ' οὐ προελόμενοι· προελόμενοι μὲν, ὅσα
προβουλευσάμενοι· ἀπροαίρετα δὲ, ὅσα ἀπροβούλευτα· τρισὶ δ' οὖ
σῶν βλαβῶν τῶν ἐν τοῖς κοινωνίαις, τὰ μὲν μετ' ἀγνοίας ἁμαρ-
τήματα ἐστίν, ὅταν μήτ' ὃν, μήτε ὃ μήτε ᾧ, μήτε ἕνεκα οὗ πέλα
βε· τοῦτο πράξῃ· ἢ γὰρ ὀφθαλμὸν ἢ ὃ τοῦτο· ἢ ὃ τοὔργου ἕνεκα
ὠήθη· ἀλλὰ σωιέδη, ὃ χ' ἕνεκα ὠήθη· οἷον ὃ χίμαιραν ὠήθη, ἀλλ' ἄνακτα
τήσῃ ἢ ὃν χόν, ἢ ὃ χῶς· ὅταν μὲν οὖν ᾗ ὃ τῷ λόγῳ ἢ βλάβη γένηται, ἀτύχημα·
ὅταν δὲ μὴ ᾗ λόγος, ἀνευ μὲν κακίας, ἁμαρτήματα· ἁμαρτάνει μὲν γὰρ, ὅταν ἐν αὐ-
τῷ, ἡ ἀρχὴ ἡ τῆς αἰτίας· ἀτυχεῖ δὲ, ὅταν ἔξω
θεν· ὅταν δὲ εἰδὼς μὲν, μὴ προβουλεύσας δὲ, ἀδίκημα· οἷον ὅσα τε
διὰ θυμὸν καὶ ἄλλα πάθη ὅσα ἀναγκαῖα ἢ φυσικὰ συμβαίνει
τοῖς ἀνθρώποις ταῦτα γὰρ πλανωμένους καὶ ἁμαρτάνοντας, ἀδικεῖν μὲν
καὶ ἀδικήματα ἐστίν· οὐ μέντοι πω ἄδικοι διὰ ταῦτα οὐδὲ πονη
ροί· οὐδὲ γὰρ διὰ μοχθηρίαν πλάνη· ὅταν δ' ἐκ προαιρέσεως, ἀδικεῖ
τε μοχθηρός· διὸ καλῶς τὰ ἐκ θυμοῦ οὐκ ἐκ προνοίας κεῖνται· οὐ
γὰρ ἄρχει ὁ θυμῶ πρᾶγμα, ἀλλ' ὀργίσας· ἔτι δὲ οὐ δὲ περὶ τοῦ γενέ-
σθαι ἡμῖν, ἀμφισβητεῖται, ἀλλὰ περὶ τοῦ δικαίου· ἐπιφαινομένη

γὰρ ἀδικία

γὰρ ἀδικία ἡδέως ἐστὶν· ὁ γὰρ ὥσπερ ἐν τοῖς συναλλάγμασι περὶ τοῦ ἀγαθοῦ ἀμφισβητοῦσιν, ὧν ἀνάγκη τὸν ἔτι ἐφιέμενον μοχθηρὸν εἶναι, οὐ μὴν ἀλλὰ λήθην ἀλλ' ὁμολογοῦντες περὶ τοῦ πράγματος περὶ τοῦ τέρπος δικαίου ἀμφισβητοῦσιν· οὐδὲ βουλόμενοι οὐκ ἀποδιδόασιν· ὥστε τὸ μὲν οἰεται ἀδικεῖσθαι· οὐδὲν ἀνδρεῖον ἐκ προαιρέσεως βλάψη, ἀδικεῖ· ἡ δὲ τοιαύτη ἕξις τοῦ ἀδικεῖν μία τοῦ ἀδικεῖν, ἀδικία· ὅταν δὲ καὶ ἀναλογίαν ἢ δὲ καὶ τὸ ἴσον· ὁμοίως δὲ καὶ δικαίου, ὅταν τε προαιρετὸν μὴ δίκαιον πρᾶξαι· δίκαιον πρᾶξαι εἴη, ἂν μόνον ἑκὼν πράξῃ· τὸ δὲ ἀκούσιον, τὰ μὲν συγγνωμονικά· τὰ δ' οὐσυγγνωμονικά· ὅσα μὲν γὰρ μὴ μόνον ἀγνοοῦντες, ἀλλὰ καὶ διὰ πάθος ἃ μὴ ἀνθρώπινα, συγγνωμονικά· ὅσα δὲ μὴ διὰ πάθος ἢ μὴ τὰ ἀνθρώπινα, οὐσυγγνωμονικά· Ἀπορήσειε δ' ἄν τις εἰ καλῶς διώρισται περὶ τοῦ ἀδικεῖσθαι καὶ τοῦ ἀδικεῖν· πρῶτον μὲν εἰ ὄντως ὥσπερ φέρει τὸ λόγος ἐστὶν ἐλεγχόμενον τὸ πῶς· πῶς μᾶλλον τὰ κατὰ μικρὸν βραχὺ ὁλόγοις ἑκὼν ἐκόντας ἢ θέλουσαν οὐχ ἑκών· πότερον γὰρ ὡς ἀληθῶς ἐστιν, ἑκόντα ἀδικεῖσθαι ἢ οὐ· ἀλλὰ κούσιά πάντα, ὥσπερ καὶ τὸ ἀδικεῖν· πᾶν ἑκούσιον· καὶ ἆρα πάντα ὅτε ἢ ἐκείνως ὥσπερ καὶ τὸ ἀδικεῖν· πᾶν ἑκούσιον· ἢ τὸ μὲν ἑκόντα, τὸ δὲ ἀκόντα· ὁμοίως ἢ καὶ ὧδε τοῦ δικαιοῦσθαι· τὸ γὰρ δικαιοπραγεῖν πᾶν ἑκόντα, ὥστε δῆλον αὐτὸ εἶναι ὁμοίως καθ' ἕκαστον τὸ ἀδικεῖσθαι καὶ τὸ δικαιοῦσθαι, ἢ ἑκόντα ἢ ἀκούσιον εἶναι· Ἀπορήσειε δ' ἂν δόξειεν ἴσως τοῦ δικαιοῦσθαι εἶναι πᾶν ἑκούσιον· ἢ οἷς δικαιοῦται οὐχ ἑκόντες· ἐπεὶ καὶ τὸ μηδὲν ἀπορήσειεν ἄν τις, πότερον τὸ ἀδικεῖσθαι ἁπλῶς ἀδικεῖται πᾶς· ἢ ὥσπερ ἐπὶ τοῦ πράττειν καὶ τοῦ ποιεῖν ὅτι κατὰ συμβεβηκὸς γὰρ ἐνδέχεται ἐπὶ ἀμφοτέρων μεταλαμβάνειν τῶν δικαίων· ὁμοίως δὲ καὶ ἐπὶ τοῦ ἀδικεῖν· οὐ γὰρ ταὐτὸν τὸ τὰ ἀδικαπράττειν τῷ ἀδικεῖν· ὃ δὲ τὸ ἀδικαπράττειν τῷ ἀδικεῖσθαι· ὁμοίως δὲ καὶ περὶ τοῦ δικαιοπραγεῖν καὶ δικαιοῦσθαι· ἀδύνατον γὰρ ἀδικεῖσθαι μὴ ἀδικοῦντος· ἢ δικαιοῦσθαι μὴ δικαιοπραγοῦντος· εἰ δ' ὅτι ἁπλῶς τὸ ἀδικεῖν, τὸ βλάπτειν ἑκόντα τινά· τὸ δὲ ἑκόντα, εἰδότα καὶ οὐκ

ὥ μὴ ὡσ. οὐδ' ἀκρατὴς εἰκὸς βλάπτ' αὐτὸ σαυτὸ τ'. εἰκὸ μὲν τ' ἂν ἀδικοῖ τοῦτο δὲ ἐν δέχοιτο αὐτ' ἀδικ'. ὅτι δὲ ἐν τοῦ τὸ ἑκόντι τῷ ἀπορουμένων εἰ ἐνδέχεται αὐτ' αὐτ' ἀδικ'. ἐπεὶ εἰκὸς αὖ τις δι' ἀκρασίαν ὑποπέσοι βλάπτοι τε ἑκόντ' ὥστ' εἶναι ἑκόντ' ἀδικεῖσθαι, ἢ οὐκ ὀρθῶς ὁ ὁρισμός, ἀλλὰ προσθετέον τῷ βλάπτ' εἰδότα καὶ οὐ καὶ ᾧ καὶ ὡς, τὸ μὲν δὴ ἀκολουθεῖ ἑκείνῳ βάλλοντι. βλάπτει μὲν οὖν τις ἑκὼν καὶ ταῦτα ἃ δίκαια πάσχει· ἀδικεῖται δ' οὐθεὶς ἑκών. οὐθεὶς γὰρ βούλεται ἀλλὰ οὐδ' ὁ ἀκρατής· αὐτὰ μὲν δὴ ἀκολουθεῖ βούλησιν πράττει· οὔτε βούλεται οὐθεὶς ὃ μὴ οἴεται εἶναι συμφέρον· ὁ δὲ ἀκρατὴς οὐκ οἴεται δεῖν πράττειν, πράττει· ὁ δὲ τὰ αὐτοῦ διδοὺς ὥσπερ ὅμηρος φησὶ δοῦναι τὸν χαλκοῦν τῷ διομήδει χρύσεα χαλκείων ἑκατόμβοια ἐννεαβοίων, οὐκ ἀδικεῖται· ἐφ' αὑτῷ γὰρ ἦν τὸ δοῦναι. τὸ δ' ἀδικεῖσθαι, οὐκ ἐπ' αὐτῷ, ἀλλὰ τῶν ἀδικοῦντα δεῖ τυγχάνειν. περὶ μὲν οὖν τοῦ ἀδικεῖσθαι ὅτι οὐχ ἑκούσιον, δῆλον· ἔτι δ' ὧν προσλόμενοι δίδυμον, ὅ ἐστιν εἰπεῖν· πότερόν τι ἀδικεῖ, ὁ μείζω παρὰ τὴν ἀξίαν τὸ πλεῖον, ἢ ὃ ἔχων· καὶ εἰ ὅτιμ αὐτ' αὐτὸν ἀδικεῖν· εἰ δὲ ἑκὼν τὸ πρότερ λεχθ', οὐδὲν ἀνόμοιον ἀδικεῖ, ἀλλ' οὐχὶ ἔχων τὸ πλεῖον· εἴτις πλέον δίδοτί τῳ ἢ αὐτῷ ἑαυτῷ ἑκὼν, εἰδὼς καὶ ἑκών, οὗτος αὐτὸς αὑτὸν ἀδικεῖ· ὅπερ δοκοῦσιν οἱ μέτριοι πράττειν· ὁ δ' ἐπιεικὴς ἐλαττωτικός ἐστιν· ἢ οὐδὲ τοῦτο ἀπλῶς ἐστὶ πράγμα ἀγαθὸν εἰ ἐτυχεν, ἐπλεονέκτει· οἷον δόξης ἢ τοῦ ἀπλῶς καλοῦ· ἔστι λύειν δ' ὁ ὁρισμὸν τοῦ ἀδικεῖν· ἅθιεν γὰρ τῷ ἀκολουθοῦντος τοῦ βάλλοντι· ὡς τὸ ἀδικεῖσθαι τοιοῦτόν τι οὐ μόνον βλάπτει μοῦ· φανερὸν δὲ ὅτι οὐδὲ ἀνόμοιον ἀδικεῖ, ἀλλ' ἔχων τὸ πλέον ἔχων αἰεί· ὃ γὰρ ᾧ τὸ ἀδικοῦν τῷ ἔχει, ἀδικεῖ, αὐτῷ τὸ ἑκόν· ἔστι δὲ τοῦτο ἡ ἀρχὴ τῆς πράξεως· ἔστιν ἐν τῷ διανέμοντι, ἀλλ' οὐκ ἐν τῷ λαμβάνοντι· ἔτι εἰ πολλαχῶς τὸ πρότερ λέγεται καὶ ὅτι νῦν τὸ ἀδύνατον εἶναι, ἀλλ' ἐνδέχεται καὶ οἰκέτης ὢν ταῦτα ἔξαιτος, οὐκ ἀδικεῖται μὲν· πρότερ δὲ τὸ ἀδικεῖ· ἔτι εἰ μὲν ἃ γνοῶν ἐκείνων, οὐκ ἀδικεῖ νομικὰ δίκαια, οὐδ' ἄδικος ἢ κακὸς ἢ πονηρὸς ὅτι· εἰ δ' ὡσαύτως ἄδικος ἐστὶ τῷ νομικὰ δίκαια τὸ πρῶτον εἰ

δὲ πρώσκων

δημοσίων ἑκόντων ἀδίκως, πλεονεκτεῖν αὐτὸς, ἢ χάριτος ἢ τιμωρίας· ὥσπερ ὃν καὶ εἴτις μερίσαι τὸ τοιοῦτον τοῦ δικαίου· καὶ ὁ δι' αὐτὸν τε καὶ ἐν αὐτῷ, ἀδίκως πλέον ἔχει· οὐ γὰρ ἐπ' ἐκείνων ὁ τοιοῦτος ἀγαθὸς κείνας, οὐκ ἀγαθὸς ἀλλὰ χρήσιμον ἔλαβεν· οἱ δ' ἄνθρωποι ἐφ' ἑαυτοῖς οἷόν τε εἶναι τὸ ἀδικεῖν· διὸ καὶ τὸ δίκαιον εἶναι ἐφ' ἑαυτοῖς· τὸ δ' οὐκ ὄντι συγγνώμην μὲν γὰρ τῷ τὸ ἁμάρτημα ἐλαττώσαι τὸ πλησίον, ἢ δοῦναι τῇ χειρὶ τὸ ἀργύριον, ἐφ' ἑαυτοῖς καὶ ἐπ' αὐτοῖς· ἀλλὰ τὸ ὡδὶ ἔχοντας ταῦτα ποιεῖν, οὔτι ἐφ' ἑαυτοῖς, ὅτ' ἐπ' αὐτοῖς· ὁμοίως δὲ καὶ τὸ γνῶναι τὰ δίκαια, ἢ τὰ ἄδικα· ὃ δὲν οἴονται σοφὸν εἶναι· ὅτι ποτὲ ὧν οἱ νόμοι λέγουσιν, ὃ χαλεπὸν ξυνιέναι· ἀλλ' ὃ ταῦτ' ὅτι τὰ δίκαια, ἀλλ' ἧκα τὰ συμβεβηκότα· ἀλλὰ πῶς πράττῃ πόλυκλεὶς ὡς με πόλυκλεὶς δίκαια· φύσει δὲ πλέον ἔργον· ἢ ταὐτὰ μὲν ἀεὶ δύναται. ἐπεὶ καὶ κεῖμὲν μέλι ἐστὶ οἶνος καὶ ἐλεύθερον, ἐστὶ καῦσις ἐστὶ μιλωτὸν· δέμας δὲ μόνον ἀλλ' ὡς δεῖ νεῖμαι πρὸς ὑπόφασιν τίνι καὶ πότε, τὸ σὺν μέρος, ὅσον μέτριον εἶναι· διὰ τὸ δὲ τοῦτο, ἐστὶ τὸ δικαίου οἷον τὸ εἶναι οὐθὲν ἧττον τὸ ἀδικεῖν· ὅτι οὐθὲν ἧττον ὁ δίκαιος, ἀλλὰ ἢ μᾶλλον δώσαιτ' ἂν ἕκαστον πράξαι τῶν· καὶ γὰρ συγγνώμην ναικὶ ἐστὶ πατάξαι, μὴ ὁ ἀνδρεῖος τὼ ἀποδρᾶναι φεῖναι ἐστὶ γραφεὶς ἐφ' ὅπλα τρέχειν, ἀλλὰ τὸ δι' αἰνυφύνην τὸ ἀδικεῖν, ὃ τὸ ταῦτα τοιεῖν ὅτι, τὼ λιὼ καὶ τὰ συμβεβηκότα, ἀλλὰ τὸ ὡδὶ ἔχοντα ταῦτα ποιεῖν ὅτιν, ὥσπερ τὸ ἰαχρύφην τὸ ὑγιάζειν, οὐ γὰρ τὸ μυφὴν ἢ μὴ τὸ μυφὴν, ἢ φαρμακύφην ἢ μὴ φαρμακύφην ὅτιν, ἀλλὰ τὸ ὡδί· ἔστιν τὰ δίκαια ἐν τούτοις οἷς μέτεστι τῶν ἀπλῶς ἀγαθῶν· ἔχουσι δὲ καὶ ὑπερβολὴν τούτοις καὶ ἔλλειψιν· τοῖς μὲν γὰρ οὐκ ἔστιν ὑπερβολὴ αὐτῶν, οἷον ἴσως θεοῖς· τοῖς δ' ὀθὲν μόριον ὠφέλιμον τοῖς ἀνιάτοις καὶ κακοῖς, ἀλλὰ πάντα βλάπτει· τοῖς δὲ, μέχρι τοῦ δικαίου τὰ ἀνιηρὰ ὀνίνησι· ὥσπερ ἢ ὠφελείας τὸ ἐπιφθόνους ὡς ἔχει. ἢ μὲν ἐπιείκεια πρὸς δικαιοσύνην· τὸ δ' ἐπιεικὲς πρὸς τὸ δίκαιον, ἐστὶ μὲν ὅτι ὄν ὅτιν εἰπεῖν· οὔτι γὰρ πρὸς ταὐτὸν ἁπλῶς, οὐθ' ὡς ἕτερον τῷ γένει φαίνεται σκοπουμένοις· τὸ ὅτι μὲν τὸ ἐπιεικὲς

κὲσ ἐστιν οὖν μὴ καὶ ἀνδραποδῶδες τοιοῦτον· ὥστε καὶ ὧν τὰ ἄλλα
ἐστὶν ἄνθρωπος μεταφέρομεν αὐτὸ τοῦ ἀγαθοῦ· ὧν δὲ κύριος ὄντος
βέλτιον οὐδὲν λοῦνται· ὅτι δὲ τῷ λόγῳ ἀκολουθοῦσι φαίνεται ἄρτιον,
εἰ γὰρ ἐστὶ καὶ παρὰ τὸ δίκαιον, ψόγου ἐστὶν· ἡ γὰρ δικαιοσύνη
οὐδαμοῦ δοκεῖ, ἡ δὲ ἀκρασία καὶ οὐδίκαιον εἶναι πολλαχοῦ· ἢ ἀμφοτέρως
δοκεῖ ταὐτόν ὄντι· ἡ μὲν οὖν ἀποδεικτέα χωρὶς συμβαίνει δὲ καὶ ταῦτα
πρὸς τὸν ὧν ἕνεκα· ἔχει δ' ἅπαντα πρόπτωσιν ὀρθῶς, καὶ οἰκείως πρὸς
ἀλλήλους· τὸ γὰρ ὧν ἕνεκα δικαίου τινὸς ὄν, βέλτιόν ἐστιν δίκαιον· καὶ οὐχ ὡς ἄλλο τι γένος βέλτιόν ἐστι τοῦ δικαίου· τὸ
αὐτὸ ἄρα δίκαιον καὶ οὗ ἕνεκα· ἡ δὲ ἀμφοῖν ἀποδεικτέον ἐστὶν ἀνάγκη, χρῆται
γὰρ τῷ ὧν ἕνεκα· ποιεῖ δὲ τὴν ἀποδεικτέαν, ὅτι τὸ ὧν ἕνεκα δίκαιόν ἐστιν ὁ γὰρ κατὰ τὸν νόμον δὲ, ἀλλ' ἐπανόρθωμα νομίμου δίκαιόν·
αἴτιον δ' ὅτι ὁμοίως νόμος καθόλου πᾶς· περὶ ἐνίων δὲ οὐκ οἷόν τε ὀρθῶς εἰπεῖν καθόλου· ἐν οἷς οὖν ἀνάγκη μὲν εἰπεῖν καθόλου, μὴ οἷόν
τε δ' ὀρθῶς, τὸ ὡσὶ τὸ πλέον λαμβάνει ὁ νόμος, οὐκ ἀγνοῶν τὸ
ἁμάρτανόμενον· καὶ ὀρθῶς ἔχει οὕτω· τὸ γὰρ ἁμάρτημα
οὐκ ἐν τῷ νόμῳ· οὐδ' ἐν τῷ νομοθέτῃ· ἀλλ' ἐν τῇ φύσει τοῦ πράγματος τοιοῦτον· οὕτως γὰρ ἡ τῶν πρακτῶν ὕλη οἱαύτη ἐστίν· ὅταν οὖν
λέγῃ μὲν ὁ νόμος καθόλου, συμβῇ δ' ἐπὶ τούτοις παρὰ τὸν καθόλου,
τότε ὀρθῶς ἔχει, ἃ παραλείπει ὁ νομοθέτης καὶ ἥμαρτεν ἁπλῶς
εἰ ὧν, ἐπανορθοῦν τὸ ἐλλιφθέν, ὃ καὶ ὁ νομοθέτης οὕτως ἂν εἴ-
πειεν ἐκεῖ παρὼν, καὶ εἰ ἤδη ἐνομοθέτησεν ἂν· διὸ δίκαιόν μὲν ἐστι, καὶ
βέλτιον τι τοῦ δικαίου· ὃ τοιοῦτόν ἐστιν ἁπλῶς δὲ, ἀλλὰ τοῦ δικαίου τὸ ἁπλῶς
ἁμαρτήματος· καὶ ἔστιν αὕτη ἡ φύσις ἡ τοῦ ἐπανορ-
θώματος νόμου ἣν ἐλλείπει διὰ τὸ καθόλου· τοῦτο γὰρ αἴτιον καὶ τοῦ
μὴ πάντα κατὰ νόμον εἶναι· ὅτι περὶ ἐνίων, ἀδύνατον θεῖναι
νόμον· ὥστε ψηφίσματος δεῖ· τοῦ γὰρ ἀορίστου, ἀόριστος καὶ ὁ κα-
νών ἐστιν· ὥσπερ καὶ ἡ λεσβία οἰκοδομική, ὁ μολύβδινος κα-
νών· πρὸς γὰρ τὸ σχῆμα τοῦ λίθου μετακινεῖται· καὶ ὁ μὲν ψήφισμα πρὸς τὰ πράγματα· τίνων δ' ἐστὶ τὸ ἐπιεικὲς, καὶ τί

τὸ

κοῦ, καὶ τί τὸ δίκαιον· καὶ τίνος ἐστὶ τὸ δίκαιον, δῆλον· φανερὸν δ' ἐκ τούτου καὶ οὗ ἐφικνεῖσθαί τινος ὄντος· ὁ γὰρ τῶν τοιούτων προαιρετικὸς καὶ πρακτικὸς καὶ ὁ μὴ ἁπλῶς δίκαιος, ἀλλὰ τὸ χεῖρον· ἀλλ' ἐλαττωτικός· καὶ ὥσπερ ἔχων τὸν μᾶλλον κακὸν, ἀφικνεῖσθαι· καὶ ἡ ἕξις αὕτη, οὐκ εἰκῇ δικαιοσύνη τίς οὖσα καὶ οὐχ ἑτέρα τις ἕξις· πότερον δ' ἐστὶν ἑκὼν ἢ οὐχ ἑκὼν τὸν ἀδικεῖν ἢ οὔ, φανερὸν ἐκ τῶν εἰρημένων· τὸν μὲν γὰρ κατὰ τὸν νόμον τὰ κατὰ πᾶσαν ἀρετὴν ὑπὸ τὸν νόμον τεταγμένα, οἷον οὐκ ἐλεύσῃ ἑκὼν ἀποδυτέον ὁ νόμος· ἀ δὲ μὴ κελεύσῃ, ἀπαγορεύσῃ· ἐπὶ ὅταν παρὰ τὸν νόμον βλάπτῃ μὴ αὐτὸν βλάπτων, ἑκὼν ἀδικεῖ· ἑκὼν δ' ὁ εἰδὼς ᾧ ὁ, καὶ οὗ, καὶ ὡς· ὁ δὲ διὰ ὀργὴν ἑαυτὸν σφάττων, ἑκὼν τοῦτο δρᾷ παρὰ τὸν ὀρθὸν νόμον· οὐκ ἀδικεῖ ὁ νόμος· ἀδικεῖ ἄρα· ἀλλὰ τίνα; ἢ τὸν πόλιν, αὐτὸς δ' οὔ· ἑκὼν γὰρ πάσχει· ἀδικεῖται δ' οὐθείς ἑκών· διὸ καὶ ἡ πόλις ζημιοῖ· καὶ τις ἀτιμίᾳ προσέστιν ἑαυτὸν διαφθείρας· καὶ τῇ πόλιν ἀδικοῦντι· ἐπὶ καθ' αὑτὸν ἄδικος ὁμοίως ἀδικῶν καὶ μὴ λίαν σφαῦλος, οὐκ ἔστιν ἀδικῆσαι αὐτόν· τοῦτο γὰρ ἄλλο εἰρήσθω· ἔστι γάρ πως ὁ ἄδικος ἔτι πονηρὸς, ὡς ὁ ἀφρὸς· οὐχ ὡς ὅλως ἔχων τὸν πονηρίαν· ὡς τοῦ ἑκατὸν ταύτην ἀδικεῖ· ἅμα γὰρ τῷ αὐτῷ αὐτὸν εἶναι· ἀφῃρῆσθαι καὶ προσκεῖσθαι τὸ αὐτό· τοῦτο δὲ ἀδύνατον· ἀλλ' αἰεὶ ἐλλιπέστερον ἀνάγκη εἶναι τὸ δίκαιον ἢ τὸ ἄδικον· ἔτι δὲ ἐκούσιον τὴν ἐκ προαιρέσεως καὶ πρότερον· ὁ γὰρ διότι ἔπαθεν τὸ αὐτὸ ἀντιποιῶν, οὐ δοκεῖ ἀδικεῖν· αὐτὸς δ' αὑτόν, τὰ αὐτὰ ἅμα καὶ πάσχει· ἔτι εἰκὸς αὐτὸν ἑαυτοῦ ἑκόντα τοῦτο πεπονθέναι· πρὸς ὃν ἡ ὑβρις ἀνθρωπίνη· μέρος ἀδικημάτων, οὐθεὶς ἀδικεῖ· μοιχεύει γὰρ δεῖ τὴν ἑαυτοῦ· οὐδὲ τοιχωρυχεῖ τὰ ἑαυτοῦ γοῦν· ἢ κλέπτει τὰ ἑαυτοῦ· ὅλως δὲ λύεται τὸ ἑαυτὸν ἀδικεῖν, ἐπὶ τὸ λοιπὸν τὸν αὐτὸν ἐκόντα οὐκ ἀδικεῖσθαι· φανερὸν δὲ καὶ ὅτι ἀμφω μὲν φαῦλα καὶ τὸ ἀδικεῖσθαι καὶ τὸ ἀδικεῖν· τὸ μὲν γὰρ ἔλαττον, τὸ δὲ πλεῖον ἔχειν ὅτι τὸ μέσον· ὥσπερ ὑγιεινοῦ μὲν ἐν ἰατρικῇ· δικαστικὸ δὲ ἐν γυμναστικῇ· ἀλλ' ὅμως χείρω τὸ ἀδικεῖν· τὸ μὲν γὰρ ἀδικεῖν, μετὰ κακίας καὶ ψεκτὸν ὅλως· καὶ κακίας ἢ ἕξις τις

λείας καὶ ἁπλῶς, ἢ ἐπὶ ὑς· οὐ γὰρ ἅπαν τὸ ἑκούσιον μετὰ ἀδικίας·
τὸ δ' ἀδικεῖσθαι, ἄνευ κακίας καὶ ἀδικίας· καθαὐτὸ μὲν οὖν τὸ ἀδι-
κεῖσθαι, ἧττον φαῦλον· κατὰ συμβεβηκὸς δ' οὐθὲν κωλύει εἶναι μεῖζον
κακὸν· ἀλλ' οὐδὲν μέλει τῇ τέχνῃ· ἀλλὰ πλευρίτιν λέγει μείζω νόσον
προσπταίσματος· καίτοι γένοιτ' ἂν ποτὲ θάτερον κατὰ συμβε-
βηκός, εἰ προσπταίσαντα διὰ τὸ πεσεῖν συμβαίη ὑπὸ τῶν πολε-
μίων λυφθῆναι καὶ ἀπθανεῖν· κατὰ μεταφορὰν δὲ καὶ ὁμοιό-
τητά ἐστιν οὐκ αὐτὸ πρὸς αὐτὸν δίκαιον, ἀλλὰ τῶν αὐτοῦ τισιν·
οὐ πᾶν δίκαιον, ἀλλὰ τὸ δεσποτικὸν, ἢ τὸ οἰκονομικόν· ἐν τούτοις γὰρ
τοῖς λόγοις διέστηκε τὸ λόγον ἔχον μέρος τῆς ψυχῆς πρὸς τὸ ἄλο-
γον· εἰς ἃ δὴ βλέπουσι· δοκεῖ εἶναι ἀδικία πρὸς αὐτὸν, ὅτι ἐστὶν ἐν
τούτοις πάσχ' τὶ παρὰ τὰς ἑαυτῶν ὀρέξεις· ὥσπερ οὖν ἄρχοντι
καὶ ἀρχομένῳ εἶναι πρὸς ἄλληλα δίκαιόν τι καὶ τού-
τοις· Περὶ μὲν οὖν δικαιοσύνης καὶ τῶν ἄλ-
λων τῶν ἠθικῶν ἀρετῶν, διωρίσθω
τὸν τρόπον τοῦ-
τον.

Τέλος τοῦ Ε'.

ΑΡΙΣΤΟΤΕΛΟΥΣ ΗΘΙΚΩΝ ΝΙΚΟΜΑΧΕΙΩΝ ΤΟ Ζ'.



Περὶ δὲ τυγχάνομεν πρότερον εἰρηκότες, ὅτι δεῖ τὸ μέσον αἱρεῖσθαι μήτε τὴν ὑπερβολὴν μήτε τὴν ἔλλειψιν, τὸ δὲ μέσον ἐστὶν ὡς ὁ λόγος ὁ ὀρθὸς λέγει, τοῦτο δὲ λέγομεν· ἐν πάσαις γὰρ ταῖς εἰρημέναις ἕξεσι, καθάπερ καὶ ἐν τοῖς ἄλλοις ὅρισται τις σκοπὸς πρὸς ὃν ἀποβλέπων ὁ τὸν λόγον ἔχων, ἐπιτείνει καὶ ἀνίησι, καὶ τίς ἐστιν ὅρος τῶν μεσοτήτων· ἃς μεταξὺ φαμὲν εἶναι τῆς ὑπερβολῆς καὶ τῆς ἐλλείψεως οὔσας κατὰ τὸν ὀρθὸν λόγον. ἔστι δὲ τὸ μὲν εἰπεῖν ὅτως ἀληθὲς μόνον· ὅθεν δὲ σαφές. καὶ γὰρ ἐν ταῖς ἄλλαις ἐπιμελείαις περὶ ὅσας ἐστὶν ἐπιστήμη, τοῦτο ἀληθὲς μόνον εἰπεῖν, ὅτι δεῖ τι ὅλως εἰρῆσθαι, οὐ τελέως δὲ εἰπεῖν· ὃ δὲ ἐξαθυμεῖν, ἀλλὰ τὰ μέσα ἡμᾶς ὁ ὀρθὸς λόγος. τοῦτο μὲν οὖν ἔχων ἄν τις, ὅθεν ἀνείδειη τὸ λεγόμενον, οἷον πρὸς δεῖ προσφέρεσθαι πρὸς τὸ σῶμα, εἴ τις εἴποιεν, ὅτι ὅσα ἀγωνιστικὰ ἐλυφᾶ, καὶ ὡς ὁ Ταύτην ἔχων· δι' ὧν δεῖ καὶ πρὸς τὰς ψυχὰς ἕξεις, μὴ μόνον ἀληθῶς εἶναι τοῦτ' εἰρημένον, ἀλλὰ διωρισμένον, τίς τίς ἐστιν ὁ ὀρθὸς λόγος, καὶ τούτου τίς ὁ ὅρος· τὰς γὰρ ψυχῆς ἀρετὰς διείλομεν καὶ τὰς μὲν εἶναι τὰς ἤθους ἐφαμεν, τὰς δὲ διανοίας· περὶ μὲν οὖν τῶν

ἠθικῶν διεληλύθαμεν· περὶ δὲ τῶν λοιπῶν, περὶ ψυχῆς πρῶτον εἰ-
πόντες, λέγωμεν οὕτως· πρότερον μὲν οὖν ἐλέχθη δύο εἶναι μέρη
τῆς ψυχῆς· τό, τε λόγον ἔχον καὶ τὸ ἄλογον· νῦν δὲ περὶ τοῦ λόγον
ἔχοντος, τὸν αὐτὸν τρόπον διαιρετέον καὶ ὑποκείσθω δύο τὰ λό-
γον ἔχοντα· ἓν μὲν ᾧ θεωροῦμεν τὰ τοιαῦτα τῶν ὄντων, ὧν αἱ ἀρ-
χαὶ μὴ ἐνδέχονται ἄλλως ἔχειν· ἓν δέ γε ᾧ τὰ ἐνδεχόμενα· πρὸς
γὰρ τὰ τοῦ γένει ἕτερα, καὶ τῶν τῆς ψυχῆς μορίων, ἕτερον τῷ γένει,
τὸ πρὸς ἑκάτερον πεφυκὸς, εἴπερ καθ' ὁμοιότητά τινα καὶ οἰ-
κειότητα ἡ γνῶσις ὑπάρχει αὐτοῖς· λεγέσθω δὲ τούτων, τὸ μὲν
ἐπιστημονικόν· τὸ δὲ λογιστικόν· τὸ γὰρ βουλεύεσθαι καὶ λογίζε-
σθαι ταυτόν· οὐθεὶς δὲ βουλεύεται, περὶ τῶν μὴ ἐνδεχομένων ἄλ-
λως ἔχειν· ὥστε τὸ λογιστικόν ἐστιν ἕν τι μέρος τοῦ λόγου ἔχον-
τος· λεπτέον ἄρα ἑκατέρου τούτων, τίς ἡ βελτίστη ἕξις· αὕτη
γὰρ ἀρετὴ ἑκατέρου· ἡ δ' ἀρετὴ πρὸς τὸ ἔργον τὸ οἰκεῖον· τρία δ'
ἐστὶν ἐν τῇ ψυχῇ τὰ κύρια πράξεως καὶ ἀληθείας· αἴσθησις· νοῦς
ὄρεξις· τούτων δ' ἡ αἴσθησις, οὐδεμιᾶς ἀρχὴ πράξεως· δῆλον δὲ
τῷ τὰ θηρία αἴσθησιν μὲν ἔχειν, πράξεως δὲ μὴ κοινωνεῖν· ἔστι
δ' ὥσπερ ἐν διανοίᾳ κατάφασις καὶ ἀπόφασις, τοῦτ' ἐν ὀρέ-
ξει, δίωξις καὶ φυγή· ὥστ' ἐπειδὴ ἡ ἠθικὴ ἀρετὴ, ἕξις προαιρε-
τική, ἡ δὲ προαίρεσις, ὄρεξις βουλευτική, δεῖ διὰ ταῦτα τόν-
τε λόγον ἀληθῆ εἶναι, καὶ τὴν ὄρεξιν ὀρθήν· εἴπερ ἡ προαίρεσις
σπουδαία, καὶ τὰ αὐτὰ τὰ μὲν φάναι, τὴν δ' διώκειν· αὕτη μὲν οὖν
ἡ διανοία καὶ ἡ ἀλήθεια πρακτική· τῆς δὲ θεωρητικῆς διανοίας καὶ
μὴ πρακτικῆς μὴ δὲ ποιητικῆς, τὸ εὖ καὶ κακῶς· τἀληθεῖ ἐστι
καὶ ψεῦδος· τοῦτο γὰρ ἔστι παντὸς διανοητικοῦ ἔργον· τοῦ δὲ
πρακτικοῦ καὶ διανοητικοῦ ἡ ἀλήθεια ὁμολόγως ἔχουσα
τῇ ὀρέξει τῇ ὀρθῇ· πράξεως μὲν οὖν ἀρχὴ, προαίρεσις· ὅθεν
ἡ κίνησις· ἀλλ' οὐχ οὗ ἕνεκα· προαιρέσεως δὲ, ὄρεξις καὶ λό-
γος ὁ ἕνεκά τινος· διὸ οὔτ' ἄνευ νοῦ καὶ διανοίας, οὔτ' ἄνευ ἠθικῆς
ἐστὶν ὀρέξεως ἡ προαίρεσις· εὐπραξία γὰρ τὸ ἐναντίον ἐν πράξει ἄ-

νευ διανοίας

νευ διανοίας καὶ ἤθους οὐκ ἔστι· διανοία δ' αὕτη οὐθὲν κινεῖ, ἀλλ' ἡ ἕ-
νεκά τοῦ καὶ πρακτική· αὕτη γὰρ καὶ τῆς ποιητικῆς ἄρχει· ἕνεκα
γὰρ τοῦ τοῦ ποιεῖ πᾶς ὁ ποιῶν καὶ οὐ τέλος ἁπλῶς, ἀλλὰ πρός τι,
καὶ τινὸς τὸ ποιητὸν, ἀλλ' οὐ τὸ πρακτὸν· ἡ γὰρ εὐπραξία τέλος· ἡ δ' ὄ-
ρεξις τούτου· διό, ἢ ὀρεκτικὸς νοῦς ἢ προαίρεσις, ἢ ὄρεξις διανοη-
τική· καὶ ἡ τοιαύτη ἀρχὴ, ἄνθρ̄ος· οὐκ ἔστι δὲ προαιρετὸν οὐθὲν γεγο-
νός· οἷον οὐθεὶς προαιρεῖται ἰλίου πεπορθηκέναι· οὐ γὰρ βουλεύε-
ται περὶ τοῦ γεγονότος, ἀλλὰ περὶ τοῦ ἐσομένου καὶ ἐνδεχομένου·
τὸ δὲ γεγονός, οὐκ ἐνδέχεται μὴ γενέσθαι· διὸ ὀρθῶς Ἀγάθων· Μόνου
αὐτοῦ θεὸς στερίσκεται Ἀγένητα ποιεῖν ἅσσαν ἢ πεπραγμέ-
ναι· ἀμφοτέρων δὴ τῶν νοητικῶν μορίων, ἀλήθεια τὸ ἔργον· καθ'
ἃς οὖν ἕξις μάλιστα ἀληθεύει· ἑκάτερον, αὗται αἱ ἀρεταὶ ἀμ-
φοῖν· ἀρξάμενοι οὖν ἄνωθεν περὶ αὐτῶν, πάλιν λέγωμεν· ἔστω δὴ
οἷς ἀληθεύει ἡ ψυχὴ τῷ καταφᾶναι ἢ ἀποφᾶναι· πέντε τὸν ἀρι-
θμὸν· ταῦτα δ' ἔστι τέχνη· ἐπιστήμη· φρόνησις· σοφία· νοῦς· ὑπο-
λήψει γὰρ καὶ δόξῃ ἐνδέχεται διαψεύδεσθαι· ἐπιστήμη μὲν οὖν
τί ἐστιν, ἐντεῦθεν φανερόν· εἰδεῖ ἀκριβολογεῖσθαι καὶ μὴ ἀκολου-
θεῖν ταῖς ὁμοιότησι· πάντες γὰρ ὑπολαμβάνομεν ὃ ἐπιστάμε-
θα μὴ ἐνδέχεσθαι ἄλλως ἔχειν· τὰ δὲ ἐνδεχόμενα, ἄλλως ὅταν
ἔξω τοῦ θεωρεῖν γένηται, λανθάνει εἰ ἔστιν ἢ μή· ἐξ ἀνάγκης ἄρα
καὶ τὸ ἐπιστητὸν· ἀΐδιον ἄρα· τὰ γὰρ ἐξ ἀνάγκης ὄντα, ἁπλῶς ἀΐ-
δια πάντα· τὰ δ' ἀΐδια, ἀγένητα· καὶ ἄφθαρτα· ἔτι διδακτὴ πᾶ-
σα ἐπιστήμη δοκεῖ εἶναι· καὶ τὸ ἐπιστητὸν, μαθητὸν· ἐκ προγινώσκο-
μένων δὲ πᾶσα διδασκαλία· ὥσπερ καὶ ἐν τοῖς ἀναλυτικοῖς ἐλέγο-
μεν· ἡ μὲν γὰρ δι' ἐπαγωγῆς· ἡ δὲ συλλογισμῷ· ἡ μὲν δὴ ἐπαγωγὴ
ἀρχῆς ἐστι καὶ τοῦ καθόλου· ὁ δὲ συλλογισμὸς, ἐκ τῶν καθόλου· εἰσὶν ἄ-
ρα ἀρχαὶ, ἐξ ὧν ὁ συλλογισμὸς· ὧν οὐκ ἔστι συλλογισμὸς· ἐπαγω-
γὴ ἄρα· ἡ μὲν ἄρα ἐπιστήμη ἐστὶν ἕξις ἀποδεικτική, καὶ ὅσα
ἄλλα προσδιοριζόμεθα ἐν τοῖς ἀναλυτικοῖς· ὅταν γὰρ πως

πιστεύη καὶ γνώριμοι αὐτῷ ὦσιν αἱ ἀρχαὶ, ἐπίσταται· εἰ γὰρ
μὴ μᾶλλον τοσοῦμπερ ἀσμένως καὶ ἀκούσιος ἕξις τὶς ἐπι-
στήμη· περὶ μὲν οὖν ἐπιστήμης, διωρίσθω τὸν τρόπον τοῦτον· τοῦ
δ' ἐνδεχομένου ἄλλως ἔχειν, ὅτι τὰ ποιητὸν καὶ πρακτὸν· ἕτερον
δ' ὅτι ποίησις πρᾶξις· πιστεύομεν δὲ περὶ αὐτῶν καὶ τοῖς ἐξωτε-
ρικοῖς λόγοις· ὥστε καὶ ἡ μετὰ λόγου ἕξις πρακτική, ἕτερον δὲ
φρόνησις μετὰ λόγου ποιητικῆς ἕξεως· οὐδὲ πράξις ἐνδέχεται ὑπ' ἀλλή-
λων· οὔτε γὰρ ἡ πρᾶξις ποίησις, οὔτε ἡ ποίησις πρᾶξίς ἐστιν· ἐ-
πεὶ δὲ ἡ οἰκοδομικὴ τέχνη τίς ἐστι, καὶ ὡσεὶ ἕξις τὶς μετὰ λόγου
ποιητικὴ· οὐδεμία οὔτε τέχνη ἐστὶν, ὅτις οὐ μετὰ λόγου ποιη-
τικὴ ἕξις ἐστίν· ὅτι τοιαύτη ἡ οὐ τέχνη, καὶ τὸν αὖ εἶναι τέχνην ἕ-
ξις μετὰ λόγου ἀληθὴς ποιητική· ἔστι δὲ τέχνη πᾶσα περὶ γένεσιν
καὶ τὸ τεχνάζειν καὶ θεωρεῖν, ὅπως ἂν γένηται τῶν ἐνδεχομένων
εἶναι καὶ μὴ εἶναι καὶ ὧν ἡ ἀρχὴν ἐν τῷ ποιοῦντι, ἀλλὰ μὴ ἐν τῷ πρα-
γμένῳ· ἔστι γὰρ τῶν ἀεὶ ἀνάγκης ὄντων ἢ γινομένων ἢ τέχνη ἐστὶν, οὔ
τε τῶν κατὰ φύσιν ἐν αὐτοῖς γὰρ ἔχουσι ταῦτα τὴν ἀρχήν· ἐπεὶ
δὲ ποίησις καὶ πρᾶξις ἕτερον, ἀνάγκη τὴν τέχνην τῶν ποιήσεως,
ἀλλ' οὐ πράξεως εἶναι· καὶ πρόπον τινὰ περὶ τὰ αὐτὰ ὅσπερ ἡ τύχη καὶ
τέχνη καθάπερ καὶ Ἀγάθων φησὶ τέχνην τύχη ἐστέρξε, καὶ τύχην
τέχνην· ἡ μὲν οὖν τέχνη ὡς περὶ ῥηθέν ἐστιν ἕξις τὶς μετὰ λόγου ἀληθὴς ποι-
ητικὴ ἐστίν· ἡ δ' ἀτεχνία, τοὐναντίον μετὰ λόγου ψευδοῦς ποιη-
τικὴ ἕξις, περὶ τὸ ἐνδεχόμενον ἄλλως ἔχειν· περὶ δὲ φρονήσεως, ὅ
τως ἂν λάβοι μᾶλλον θεωρήσαντες, τίνας δή λέγομεν τοὺς φρονί-
μους· δοκεῖ δὴ φρονίμου εἶναι, τὸ δύνασθαι καλῶς βουλεύσασθαι περὶ τὰ
αὐτῷ πρακτὰ καὶ συμφέροντα αὐτῷ κατὰ μέρος· οἷον ὑγιεῖα πρὸς τὰ
συμφαίνοντα ἰσχύν· ἀλλὰ τοῦτο πρὸς τὸ εὖ ζῆν ὅλως· σημεῖον δ' ὅτι τοὺς περὶ
τι φρονίμους λέγομεν, ὅταν πρός τι λογισθῶσιν ἀγαθὸν τῶν μὴ ἐν μέ-
ρει τέχνης· ὥστε καὶ ὅλως ἂν εἴη φρόνιμος ὁ βουλευτικός· βουλεύε-
σθαι δ' οὐθεὶς περὶ τῶν ἀδυνάτων ἄλλως ἔχειν· οὐδὲ τῶν μὴ ἐνδεχομένων

αὐτῷ

αὐτῷ πράξαι· ὥστ' εἴπερ ἐπιστήμη μὲν μετὰ ἀποδείξεως, οὗν δ' αἱ ἀρχαὶ ἐνδέχονται ἄλλως ἔχειν, τούτων μὴ ἔστιν ἀπόδειξις, πάντα γὰρ ἐνδέχεται καὶ ἄλλως ἔχειν, καὶ οὐκ ἔστι βουλεύσασθαι περὶ τῶν ἐξ ἀνάγκης ὄντων, οὐκ ἂν εἴη φρόνησις ἐπιστήμη, οὐ δὲ τέχνη· ἐπιστήμη μὲν, ὅτι ἐνδέχεται τὸ πρακτὸν ἄλλως ἔχειν· τέχνη δ', ὅτι ἄλλο τὸ τέλος πράξεως καὶ ποιήσεως· λείπεται ἄρα αὐτὴν εἶναι ἕξιν ἀληθῆ μετὰ λόγου πρακτικὴν περὶ τὰ ἀνῷ ἀγαθὰ ἕκακά· τῶν μὲν δὲ ποιήσεως ἕτερον τὸ τέλος· τῶν δὲ πράξεως οὐκ ἂν εἴη· ἔστι γὰρ αὐτὴ ἡ εὐπραξία τέλος· διὰ τοῦτο περικλέα καὶ τοὺς τοιούτους, φρονίμους οἰόμεθα εἶναι, ὅτι τὰ αὑτοῖς ἀγαθὰ καὶ τὰ τοῖς ἀνθρώποις δύνανται θεωρεῖν· εἶναι δὲ τοιούτους ἡγούμεθα τοὺς οἰκονομικοὺς καὶ πολιτικοὺς· ἔνθεν καὶ τὴν σωφροσύνην τοῦτο προσαγορεύομεν τῷ ὀνόματι, ὡς σώζουσαν τὴν φρόνησιν· σώζει δὲ τὴν τοιαύτην ὑπόληψιν, οὐ δὲ πᾶσαν ὑπόληψιν διαφθείρει, οὐ δὲ διαστρέφει τὸ ἡδὺ καὶ τὸ λυπηρόν. οἷον ὅτι τὸ τρίγωνον δυσὶν ὀρθαῖς ἴσας ἔχει ἢ οὐκ ἔχει· ἀλλὰ τὰς περὶ τὸ πρακτὸν, αἱ μὲν γὰρ ἀρχαὶ τῶν πρακτῶν, τὸ οὗ ἕνεκα τὰ πρακτὰ· τῷ δὲ διεφθαρμένῳ δι' ἡδονὴν ἢ λύπην, εὐθὺς οὐφανεῖται ἡ ἀρχὴ, οὐ δὲ δεῖν τούτου ἕνεκα· οὐδὲ διὰ τοῦθ' αἱρεῖσθαι πάντα καὶ πράττειν· ἔστι γὰρ ἡ κακία φθαρτικὴ ἀρχῆς· ὥστ' ἀνάγκη τὴν φρόνησιν ἕξιν εἶναι μετὰ λόγου ἀληθῆ περὶ τὰ ἀνθρώπινα ἀγαθὰ πρακτικήν· ἀλλὰ μὴν τέχνης μὲν ἐστὶν ἀρετή· φρονήσεως δ' οὐκ ἔστι, καὶ ἐν μὲν τέχνῃ ὁ ἑκὼν ἁμαρτάνων, αἱρετώτερος· περὶ δὲ φρόνησιν ἧττον· ὡς δὲ περὶ τὰς ἀρετάς· δῆλον οὖν ὅτι ἀρετή τις ἐστί, καὶ οὐ τέχνη· δυοῖν δ' ὄντοιν μεροῖν τῶν ψυχῆς τῶν λόγον ἐχόντων, θάτερον ἂν εἴη ἀρετὴ τοῦ δοξαστικοῦ· ἥτε γὰρ δόξα περὶ τὸ ἐνδεχόμενον ἄλλως ἔχειν ἐστὶ, καὶ ἡ φρόνησις· ἀλλὰ μὴν οὐ δ' ἕξις μετὰ λόγου μόνον· σημεῖον δ' ὅτι λήθη· τῶν μὲν τοιαύτης ἕξεώς ἐστι· φρονήσεως δ' οὐκ ἔστιν· ἐπεὶ δ' ἡ ἐπιστή-

μη περὶ τῶν καθόλου ἐστὶν ὑπόληψις καὶ τῶν ἐξ ἀνάγκης
ὄντων· εἰσὶ δ' ἀρχαὶ τῶν ἀποδεικτῶν (πάσης γὰρ ἐπιστήμης· με τα
λόγου γὰρ ἡ ἐπιστήμη· φύσει ἀρχῆς τοῦ ἐπιστητοῦ, οὐτ' ἂν ἐπιστήμη
εἴη, ἄττα τέχνη, ἄττε φρόνησις· τὸ μὲν γὰρ ἐπιστητὸν, ἀποδεικτόν·
αἱ δὲ τυγχάνουσιν οὖσαι περὶ τὰ ἐνδεχόμενα ἄλλως ἔχειν·
ἄ δὲ δὴ σοφία τούτων ἐστὶ, τὰ γὰρ σοφὸν περὶ ἐνίων ἔχειν ἀπὸ
δεξίν ἐστιν· εἰ δὴ οἷς ἀληθεύομεν (μηδὲ πράττομεν δόμεθα περὶ
τὰ μὴ ἐνδεχόμενα ἢ ἐνδεχόμενα ἄλλ) ἔχ', ἐπιστήμη (φρόνησις
ἔστι (σοφία ἢ μῆς· τούτων ἓν τ' ξιῶν μηθὲν ἐνδέχεται εἶναι· λέγω δ'
ξία· φρόνησιν· σοφίαν, ἐπιστήμιν· λέγεται μὲν εἶναι τῶν ἀρχῶν·
τὴν δὲ σοφίαν ἐν ταῖς τέχναις τοῖς ἀκριβεστάτοις τὰς τέ-
χνας ἀποδίδομεν· οἷον Φειδίαν λιθουργὸν σοφὸν, (Πολύκλειτον
ἀνδριαντοποιόν· ἐν ταύτῃ μὲν οὖν οὐθὲν ἄλλο σημαίνομεν τὴν σο
φίαν, ἢ ὅτι ἀρετὴ τέχνης ἐστὶν· εἶναι δέ τινας σοφοὺς οἰόμεθα,
ὅλως οὐ κατὰ μέρος, ὅ δὲ ἀλλοτρίους σοφοὺς, ὡς περ ὁ μηρόσφησιν
„ ἐν Ψῷ μαργείτῃ· τὸν δ' οὐ πάσης καπηράθειοὶ θέσαν, ὅτ' ἀροτῆ-
„ ρα, ὅτ' ἄλλως τι σοφόν· ὥστε δῆλον ὅτι ἡ ἀκριβεστάτη αὕτη τῶν ἐ-
πιστημῶν εἴη ἂν σοφία· δεῖ ἄρα τὸν σοφὸν μὴ μόνον τὰ ἐκ τῶν ἀρ-
χῶν εἰδέναι, ἀλλὰ καὶ περὶ τὰς ἀρχὰς ἀληθεύειν· ὥστε δὴ καὶ
ἡ σοφία νοῦς καὶ ἐπιστήμη, καὶ ὡς περ κεφαλὴ ἔχουσα
ἐπιστήμην τῶν τιμιωτάτων· ἄρτον γὰρ εἴη τις τὴν πολιτικὴν ἢ τὴν φρόνησιν ἀπονδαιοτάτην οἴεται εἶναι, εἰ μὴ τὸ ἄ-
νθρωπον ἐν τῷ κόσμῳ ἀπόλαστον ἐστιν· εἰδὴ τὴν γνώμην μὴ ἡδέαθὸν ἕτερον
αὐτοῖς καὶ ἰχθύσι, τὸ δὲ λευκὸν καὶ δύθυ ταυτὸ ἀεί, καὶ τὸ σοφὸν
ταυτὸ, πάντες ἂν εἴποιεν· φρόνιμον δὲ ἕτερον· τὸ γὰρ περὶ αὐτὸ τὸ ἑ-
κάστῳ τοῦτο θεωρῶν, φαύλου εἶναι φρόνιμου, καὶ τούτῳ πιστεύειν
αὐτά· διὸ καὶ τῶν θηρίων ἔνια φρόνιμα φασιν εἶναι ὅσα περὶ τὸ
αὐτῶν βίον ἱκανῶς φαίνεται δύναμιν προνοητικὴν· φανερὸν
δ' ὅτι οὐκ ἂν εἴη ἡ πολιτικὴ καὶ ἡ σοφία αὐτή· εἰ γὰρ τὸν πε-

εἰ τὰ

εἰ τὰ ὠφέλιμα τοῖς αὐτοῖς ἐροῦσι σοφίαν, πολλὰ ἔσονται σοφίαι· οὐ γὰρ μία περὶ τὰ ἀρίστα τῶν ἀγαθῶν τῶν ζώων, ἀλλ' ἕτερα περὶ ἕκαστον· εἰ μὴ καὶ ἰατρικὴ μία περὶ πάντα τὰ ὄντα τῶν ὄντων· εἰ δ' ὅτι βέλτιστον αὐτὸς τῶν ἄλλων ζώων οὐδὲν διαφέρει· ἤδη γὰρ καὶ ἄλλα πολὺ θειότερα τὴν φύσιν οἷον φανερώτατα τάγε ἐξ ὧν ὁ κόσμος συνέστηκεν. ἐκ δὴ τῶν εἰρημένων δῆλον ὅτι ἡ σοφία ἐστὶ καὶ ἐπιστήμη καὶ τῶν τιμιωτάτων τῇ φύσει. διὸ καὶ ἀναξαγόραν καὶ θαλῆν καὶ τοιούτους σοφοὺς μέν, φρονίμους δ' οὐ φασιν εἶναι ὁρῶσιν ἀγνοοῦντας τὰ συμφέροντα αὐτοῖς, καὶ θαυμαστὰ καὶ χαλεπὰ καὶ δαιμόνια εἰδέναι αὐτοὺς φασιν· ἄχρηστα δ' ὅτι οὐ τὰ ἀνθρώπινα ἀγαθὰ ζητοῦσιν· ἡ δὲ φρόνησις περὶ τὰ ἀνθρώπινα, καὶ περὶ ὧν ἔστι βουλεύσασθαι· τοῦτο γὰρ μάλιστα ἔργον αὐτῆς εἶναι φαμέν, τὸν δὲ βουλεύεσθαι· βουλεύεται δ' οὐθεὶς περὶ τὰ ἀδύνατα ἄλλως ἔχειν, οὐδ' ὅσον μὴ τέλος τι ὂν τῶν πρακτῶν ἀγαθόν· ὃ δ' ἁπλῶς βούλεται ὁ τοιοῦτος ἀνθρώπων τῶν πρακτῶν τὸ χαστικὸς κ[αὶ] λογισμ[ός]· οὐδ' ὅσην ἡ φρόνησις τῶν καθόλου μόνον, ἀλλὰ δεῖ καὶ τὰ καθ' ἕκαστα γνωρίζειν· πρακτικὴ γάρ· ἡ δὲ πρᾶξις περὶ τὰ καθ' ἕκαστα· διὸ καὶ ἐνίοις οὐκ εἰδόσιν ἐνίων εἰδότων πρακτικώτεροι, καὶ ἐν ταῖς ἄλλοις οἷς ἐμπειροι εἰσὶ καὶ εἰδείη ὅτι τὰ κοῦφα οὐσίαν πρὸς κρέα καὶ ὑγιεινὰ πρὸς ὄφα ἀγνοεῖ· ὁ πρὸς ἰσεῖ ὑσίφαν, ἀλλ' οἶδως ὅτι τὰ ὀρνίθεια κοῦφα καὶ ὑγιεινά, πρὸς ἰσεῖ μᾶλλ[ον]· ἡ δὲ φρόνησις πρακτική· ὥστε δεῖ ἄμφω ἔχειν, ἢ τούτων μᾶλλον· εἴη δ' ἂν τις καὶ τούτων ἀρχιτεκτονική· ὅστε δὲ καὶ ἡ πολιτικὴ καὶ ἡ φρόνησις· ἡ αὐτὴ μὲν ἕξις· τὸ μέντοι εἶναι οὐ τὸ αὐτό· τῆς δὲ περὶ πόλιν, ἡ μὲν ὡς ἀρχιτεκτονικὴ φρόνησις, νομοθετική· ἡ δὲ· ὡς τὰ καθ' ἕκαστα τὸ κοινὸν ἐχέτω ὄνομα πολιτική· αὕτη δὲ, πρακτικὴ βουλευτική· τὸ γὰρ ψήφισμα πρακτόν, ὡς τὸ ἔσχατον· διὸ πολιτεύεσθαι τούτους μόνον λέγουσι· μόνοι γὰρ πράττουσιν ὥσπερ οἱ χειροτέχναι· δοκεῖ δὲ καὶ φρόνησις μάλιστ' εἶναι ἡ περὶ αὑτόν· καὶ τοῦτο καὶ τῇ κοινὸν ὄνομα, φρόνησις, ἐκείνων

δὲ, ἡ μὲν οἰκονομία, ἡ δὲ νομοθεσία· ἡ δὲ πολιτικὴ· καὶ ταύτης
ἡ μὲν βουλευτικὴ· ἡ δὲ δικαστική· εἴδος μὲν οὖν τί αὖ εἴη γνώσεως
ὡς τὸ αὐτὸν εἰδέναι· ἀλλ' ἔχει διαφορὰν πολλήν· δοκεῖ ὁ τὰ περὶ
ἑαυτὸν εἰδὼς μάλιστα φρόνιμος εἶναι· οἱ δὲ πολιτικοὶ,
πολυπράγμονες· διὸ καὶ Εὐριπίδης· πῶς δ' αὖ φρονοίην ᾧ παρῆν
ἀπραγμόνως, τοῖσι πολλοῖς ἠρεθμὸν ἦν ὡς ἄτοπος
μεταστῆναι· τοὺς δὲ περὶ σφᾶς καὶ τὰ πράττοντας πλέον ζητοῦσι
τὸ αὑτοῖς ἀγαθόν· καὶ οἴονται τοῦτο δεῖν πράττειν· ἐκ ταύτης οὖν
τῆς δόξης ἐλήλυθε τὸ περὶ τοὺς φρονίμους, καὶ φαίη τις ἂν εἶναι τὸ
αὑτῷ οἰκονομίας, ἢ δ' αὐτῶν πολιτείας· ἔτι δὲ τὸ αὐτοῦ πῶς
δεῖ διοικεῖν, ἄδηλον· καὶ σκεπτέον· σημεῖον δ' ὅτι τὰ εἰρημένα νῦν
διὰ τηλικοῦτον μὲν νέοι μαθηματικοὶ γίνονται· καὶ σοφοὶ
τὰ τοιαῦτα· φρόνιμος δ' οὐδεὶς νέος· αἴτιον δ' ὅτι καὶ τῶν
καθ' ἕκαστά ἐστιν ἡ φρόνησις, ἃ γίνεται γνώριμα ἐξ ἐμπειρίας·
νέος δ' ἔμπειρος οὐκ ἔστι· πολλῶν γὰρ χρόνων ποιήσει τὴν ἐμπειρίαν· ἐπὶ καὶ τοῦτ' ἄν τις σκέψαιτο, διὰ τί μαθηματικὸς μὲν παῖς
γοῦν γίνεται· καὶ σοφὸς δὲ, ἢ φυσικὸς ὄν· ἢ ὅτι τὰ μὲν διὰ ἀφαιρέσεώς ἐστι· τὰ
δ' αἱ ἀρχαὶ ἐξ ἐμπειρίας· καὶ τὰ μὲν· ὑπολαμβάνουσιν οἱ νέοι ἀλλὰ
λέγεσι, τῶν δὲ, τὸ πῶς ἔχει οὐκ ἄδηλον· ἔτι ἁμαρτία ἡ περὶ τὸ
καθόλου ἐστὶν τῷ βουλεύσασθαι, ἢ περὶ τὸ καθ' ἕκαστον, ἢ γὰρ ὅτι πάντα
τὰ βαρύσταθμα ὕδατα φαῦλα, ἢ ὅτι τὰ δεῖ βαρύσταθμον· ὅτι δ'
ἡ φρόνησις οὐκ ἐπιστήμη, φανερὸν· τοῦ γὰρ ἐσχάτου ἐστίν, ὡς προείρηται·
τὸ γὰρ πρακτὸν τοιοῦτον· ἀντικεῖται δὴ τῷ νῷ· ὁ μὲν γὰρ νοῦς τῶν ὅρων,
ὧν οὐκ ἔστι λόγος· ἡ δὲ τοῦ ἐσχάτου οὐκ ἔστιν ἐπιστήμη ἀλλ' αἴσθησις,
οὐχ ἡ τῶν ἰδίων, ἀλλ' οἵα αἰσθανόμεθα· ὅτι τὸ ἐν τοῖς μαθηματικοῖς
ἔσχατον ξύγωνον· στήσεται γὰρ κἀκεῖ· ἀλλ' αὕτη μᾶλλον αἴσθησις
ἢ φρόνησις· ἑτέρα δὲ ἄλλο εἶδος· ζητεῖν δὲ βουλεύεσθαι διὰ
φέρει· τὸ γὰρ βουλεύεσθαι ζητεῖν ἐστι· δεῖ δὲ διαλαβεῖν περὶ τῶν
βουλίας τίνος πότερον ἐπιστήμης ἢ δόξα ἢ εὐστοχία ἢ ἄλλό τι
νος· ἐπιστήμη μὲν δὴ οὐκ ἔστιν· οὐ γὰρ ζητοῦσι περὶ ὧν ἴσασιν· ἡ δ' εὐ

βουλία

βουλία. βουλήτης ὄντων. οὐ βουλυόμ μὴ ζητεῖν λογίζεσθαι. ἀλλὰ μὴ δυ
σοχία. αὕθυτη γὰρ λόγου καὶ ἀχυτὴ δυσοχία. βουλύοιτο δ' ἂν τὰ λυθησό
μενα. καὶ φασὶ πρᾶξιν μὴ δεῖν τὰχὺ τὰ βουλυθησόμενα. βουλύεσθαι
δὲ βραδέως. ἐπὶ πᾶσι χίνοιατ' ἐτερονικαὶ ἡ δυβουλία. ὅστε δὲ δυσοχία τις
ἡ ἀεὶ χίνοια. ὃ δὲ δὴ δόξαι ἡ δυβουλία δῆλον. ἀλλ' ἐπεὶ ὁμὼ κακῶς
βουλυόμενος ἁμαρτάνει. ὁ δὲ δὺ ὀρθῶς βουλύεται. δῆλον ὅτι
ὀρθότης τὶς ἡ δυβουλία ἐστίν. οὐτ' ἐπιστήμη δ' οὐτε δόξις. ἐπιστήμη
μὲν γὰρ οὐκ ἔστιν ὀρθότης. οὐδὲ γὰρ ἁμαρτία. δόξις δ' ὀρθότης ἡ ἀ-
λήθεια. ἅμα δὲ πᾶσα δυώρισται ἡ δυπᾶσι. τὸ δόξαστὸν ἀλλὰ μὴν οὐδὲ λο-
γισμοῦ ἡ δυβουλία. διανοίας ἄρα λείπεται. αὕτη δ' οὕτω φάσις. καὶ γὰρ ἡ δόξα. οὐ ζήτησις. ἀλλὰ φάσις τις ἤδη. ὁ δὲ βουλυόμε
νος. ἐάν τι δύ. ἐάν τι κακῶς βουλύηται. ζητεῖ τι καὶ λογίζεται. ἀλ-
λὰ ὀρθότης τίς ἐστιν ἡ δυβουλία βεβλῆσθαι. ἡ γὰρ τοιαύτη ὀρθότης βουλῆς
δυβουλία ἐστὶν ἡ ἀγαθοῦ λογιστική. ἀλλ' ἔστι δὲ τοῦ τοιούτου ἡ σπουδαῖος
τυγχάνειν. καὶ ὁμὼ δεῖ ποιῆσαι τυχεῖν τοῦτου δ' ἐστὶν ἡ ἀλλὰ φυσικὴ
τὸν μέσον ὁρᾶσθαι. ὡς τοῦ δ' αὐτῆς ὠφελίμου ἡ δυβουλία. καθὼ οὐ δεῖ μὴ
τυγχάνειν ἁμὼ τοιδὲ οὐδὲ ἔτι ἔστι τοῦ λογίζεσθαι βουλυόμενον τυ
χεῖν τὸν ὃ. τε χὺ. οὐκοῦν ἡ δὲ ἐκείνη τοῦ δυβουλία. ἀλλ' ὀρθότης ἡ κατὰ
τὸ ὠφέλιμον καὶ οὗ δεῖ. ὡς. καὶ ὅτε εἴ τι ἔστι καὶ ἁπλῶς δὲ βουλεύ
λῦσθαι. καὶ πρός τι τέλος. ἡμὼ δὲ καὶ ἁπλῶς ἡ πρὸς τὸ τέλος τὸ ἁ-
πλῶς κατορθοῦσα. ἡ δέ τις ἡ πρός τι τέλος εἰ δὴ τὴν φρονίμων τὸ
δὲ βουλύεσθαι. ἡ δυβουλία εἶναι ἡ ὀρθότης ἡ κατὰ τὸ συμφέρον πρός-
τι τέλος οὗ ἡ φρόνησις ἀληθὴς ὑπόληψίς ὅστ' ἔστι δὲ καὶ ἡ σωφρο σύ
νη ἡ σωτηρία καθάπερ λέγομεν σώζειν τὰς ἡδυσυνέτους ὅτι τοιοῦτον
τὸ ὠφελίμου ἡ δόξα. πᾶσα τοίνυν δὴ πᾶσα συνεργὸν ὅτι τις μία τῶν
μερῶν ὠφελιμῶν. οἷον κατὰ μέρος. οὕτω καὶ ἡ πρακτική. περὶ ὧν ἡ

ἀνίῳ, ἢ γεωμετρίαπερὶμεγέθη· οὔτε γὰρ περὶτῶναἰεὶ ὄντωνἀκί
νήτων ἡ σύνεσίς ἐστιν· ἔστιπερὶτῶνγινομένωνὁτῳοῦν· ἀλ
λὰπερὶὧν ἀπορήσειεν αὐτὸσαὐτὸβουλεύσασθαι· διὸπερὶαὐτῶν μὲν
τῆφρονήσει ὄντων· οὐκἔστι δὲ ταὐτὸν, σύνεσις καὶφρόνησις· ἅμα
γὰρ φρόνησις, ὧν ταικτικήἐστιν· τίγὰρδεῖπράττειν ἢμὴ, τὸτέλος
αὐτῆἐστιν· ἡδὲξύνεσις κριτικὴμόνον· ταὐτὸγὰρξύνεσισκαὶξυνετόν·
καὶγὰρ οἱ συνετοί, καὶὁσύνετοι· ἔστιδ' οὐτὸτὸἔχειν τὴνφρόνη
σιν οὔτε τὸλαμβάνειν ἡ ξύνεσις· ἀλλ' ὥσπερτὸμανθάνειν λέγε
ται συνιέναι· ὅταν χρῆταιτῇἐπιστήμῃ, οὕτωςἐρεῖχρῆσθαιτῇσύ
νεσιτῷκρίνειν περὶτούτων, περὶὧν ἡφρόνησίς ἐστιν· ἀλλοῦ λέ
γομενδὲκαὶκείνῳκαλῶς· τὸγὰρ εὖ, τῷκαλῶς· ταὐτὸ· καὶἐντῷ
θενἐλήλυθετοὔνομαἡσύνεσις, καθ' ὃνὠνὰσύνετοιἐκλέγειν τῷ
μανθάνειν· λέγομενγὰρτὸμανθάνειν συνιέναιπολλάκις· ἡδὲκα
λουμένηγνώμη, καθ' ὃνὠνόμουασιναὶἔχεινφαμὲνγνώμων, ἢ οὐ
ὠνὶφκοῦς ἐστικείσεις ὀρθή· σημεῖον δέ, τὸνγὰρ ὠνὶφκῆφαμὲνεἶναι
συγγνωμονικὸν ὠνὶφκὸς δὲτὸἔχειν περὶςγνώμας συγγνώμων· ἡδὲσυγ
γνώμη, γνώμηἐστὶκείσεως ἐπὶτὸὠνὶφκοῦς ὀρθή· ὀρθὴ δὲἡ ταἀληθοῦς·
εἰσὶδὲ πᾶσαιαἱ ἕξεις λόγῳεἰς ταὐτὸτείνουσαι· λέγομενγὰρ
γνώμωναὐτὸνκαὶσύνεσινκαὶφρόνησινκαὶνῦν ὠνὶτὸνσαὶτοὺςὠνὶφέρου
τας γνώμηνἔχεινκαὶνοῦνκαὶδεῖφρονίμῳ καὶσυνετοὺς· πᾶσαιγὰρ
αἱ δυνάμεις αὗταιτῶνἐσχάτωνεἰσὶκαὶτῶνκαθ' ἕκαστα· καὶεἶναι μὲν
τῷκριτικὸνεἶναιπερὶὧνὁφρόνιμος, συνετὸς καὶὐγνώμων
ἢσυγγνώμων· τὸγὰρὠνὶφκῆ, κοινὸνπάντων ἀγαθῶν ἐστὶν ὧν
τῷπρὸς ἄλλο· ὅτι δὲτῶνκαθ' ἕκαστοναὐτῶνἐσχάτων ἁπάντων τὰπρα
κτά· ἔστιφρόνιμονδεῖνοήσαιμὲνταῦτα· καὶὁμὲν ταῦτα
εἰδὼς μᾶλλονφρόνιμος τῶνἐσχάτων ἐστὶν, οἷον ὅτι λευκὸς, ὁμὲν
καὶτὸτὸὃτιἐστὶνἀπλῶς τῶνἀκινήτωνὁρωνκαὶπρώτων· ὁδὲ ἐντοῖς
πρακτικοῖς, τοῦἐσχάτουκαὶὠνδεχομένουκαὶ φλέτέρασ προτά
σεως· ἀρχαὶγὰρ φλοὔενεκαοὗτοιεἰκτῷκαθ' ἕκαστα γὰρτὸκαθό

λγ·

λα. τούτων οὖν δεῖ ἔχειν αἴσθησιν. αὕτη δ' ὅτι μὴ ἐστὶ διδακτὸν δοκεῖ εἶναι ταῦτα. καὶ φύσει σοφὸς μὲν ἂν εἴη νέος οὐ. ἀλλὰ τῷ ἀεὶ καὶ τοῦτο ἐστὶν ἡ ἡλικία ἣν ἐπιφέρομεν ἀκολουθεῖν. καὶ ἡδεῖα ἡλικία μοῦν ἔχει καὶ γνώμην, ὡς φύσιν οὖσαν αἰτίας οὐσης. διὸ καὶ ἀρχὴ καὶ τέλος μοῦς. ἐκ τούτων γὰρ αἱ ἀποδείξεις, ἀλλ' οὐ περὶ τούτων. ὥστε δεῖ προσέχειν τὸν ἔμπειρον καὶ πρεσβυτέρῳ ἢ φρονίμῳ τοῖς ἀπὸ πείρας καὶ ἀποδείξεις τοῖς φάσεσι καὶ δόξαις ἀχρήστοις τῶν ἀποδείξεων. διὰ γὰρ τὸ ἔχειν ἐκ τῆς ἐμπειρίας ὁρᾶν τὰς ἀρχάς. τίς οὖν ὅρος καὶ πῶς ἡ σοφία καὶ ἡ φρόνησις, ἀλλὰ περὶ τίνα ἐστὶν γνῶναι ἐπιτρέπομεν οὖσαι καὶ ὅτι ἄμφω τῆς ψυχῆς μορίου ἀρετὴ ἐπιτρέπομεν. Διαπορήσειε δ' ἄν τις πρὸς αὐτὰ τί χρήσιμοί εἰσιν. ἡ μὲν γὰρ σοφία οὐδὲν θεωρεῖ ὧν ἕνεκα ἔσται ὁ ἄνθρωπος. οὐδὲ μικρὰ γὰρ ὅλως γένεσιν ἡ δὲ φρόνησις τοῦ ποῦ μὲν ἕνεκα. αὐτὰ τίμιος. ἔστι καὶ δεῖ αὐτῇ. εἰ περὶ ἡ μὲν φρόνησις ὅλως, ἡ περὶ τὰ δίκαια ἢ καλὰ ἢ ἀγαθὰ αὐτῷ. ταῦτα δ' ὅτι ἀνδρὸς ὅτι πρᾶττειν. οὐθὲν δὲ πράκτικωτέροι τῷ εἰδέναι αὐτὰ ἐσμεν, εἴωθεν ἕξεις αἱ ἀρεταί εἶναι. ὥσπερ δὲ οὐδὲ τὰ ὑγιεινὰ, οὐ τὰ ὑγιεινὰ, ὅσα μὴ τῷ ποιεῖν, αὐτὰ τῷ ἀπὸ ἕξεως εἶναι λέγεται. ἄθλιον γὰρ πρακτικώτεροι τῷ ἐχόντων ἰατρικῶν ἢ γυμναστικῶν ἐσμεν. εἰ δὲ μὴ τούτων χάριν, φρόνιμον θετέον. ἀλλὰ τοῦ γένεσθαι τοῖς δεῖ ἀγαθοῖς, ὃ θεὸν ἂν εἴη χρήσιμος. ἔτι δὲ ὃ ἧς μὴ ἕνεκα ἐστὶν οὐθὲν γὰρ βούλεται αὐτοὺς ἔχειν. ἡ ἄλλοις ἔχουσι πίθεσθαι. ἱκανῶς τ' ἔχει αὐτὴ μὲν ὅσ πρὸς πείθεσθαι τῷ ὑγιάναι. βουλόμεθα γὰρ ὑγιάναι. ὁμοίως δὲ μανθάνομεν ἰατρικῶν. πρὸς δὲ τούτοις, ἄτοπον αὐτὴν εἶναι δόξειεν εἰ χείρ φιλοσοφίας οὖσα κυριωτέρα αὐτῆς ἔσται. ἡ δ' πᾶσα ἄρχει λῶν τὰ ἕκαστα πρὸς ἕκαστον. περὶ ἧς τούτων, λεκτέον. νῦν μὲν ἡ πόρησις αὐτῶν μόνον. πρῶτον μὲν οὖν λέγομεν ὅτι καθ' αὐτὰς ἀναγκαῖον αἱρετὰς αὐτὰς εἶναι. αἱρεταὶ δ' οὖσαι ἑκατέρας ἑκατέρου μορίου, καὶ εἰ μὴ πρὸς οὐσιν μηδὲν μηδετέρα αὐτῶν. ἔστι τε καὶ πρὸς ταῦτα. ἀχρήσιμα δὲ ἡ ἀξιοῦν ὑγιάναν ἀλλ' ὡς ὑγιάνα τὰ ἐνεκτικά, ὅτι ἡ

σοφίαν δ᾽ εὐδαιμονίαν· μέρος γὰρ ὅσα φύλη ἀρετῆς τῷ ἔχειν ποιεῖ καὶ τῷ ἐνεργεῖν εὐδαίμονα· ἔτι τὸ ἔργον ἀποτελεῖται κατὰ τὴν τῶν φρόνησιν καὶ τῶν ἠθικῶν ἀρετῶν· ἡ μὲν γὰρ ἀρετὴ τὸν σκοπὸν ποιεῖ ὀρθόν· ἡ δὲ φρόνησις τὰ πρὸς τοῦτον· τοῦ δὲ τετάρτου μορίου φύλη ψυχῆς οὐκ ἔστιν ἀρετὴ τοιαύτη τοῦ θρεπτικοῦ· οὐθὲν γὰρ ἐπ᾽ αὐτῷ πράττειν ἢ μὴ πράττειν· περὶ δὲ τοῦ μηδὲν εἶναι πρακτικωτέρας διὰ τῶν φρόνησιν τῶν καλῶν καὶ δικαίων μικρὸν ἄνωθεν ἀρκτέον, λαβόντας τὰς ἀρχὰς ταύτας· ὥσπερ γὰρ καὶ τὰ δίκαια λέγομεν πράττοντάς τινας ἅττα καὶ δικαίους εἶναι· οἷον τοὺς τὰ ὑπὸ τῶν νόμων τεταγμένα ποιοῦντας ἢ ἀκουσίους ἢ διὰ ἄνοιαν, ἢ δι᾽ ἔτερόν τι καὶ μὴ δι᾽ αὐτὰ καίπερ πράττοντας οἷ δεῖ· καὶ ὅσα χὴ τὸν ἀποδοθέν, οὕτως ὡς ἔοικεν ὄντι τὸ ὡς ἔχειν πράττειν ἕκαστα, ὥστ᾽ εἶναι ἀτελεῖ· λέγω δ᾽ οἷον διὰ προαίρεσιν, ἢ αὐτῶν ἕνεκα τῶν πραττομένων· τὰ μὲν οὖν προαίρεσιν, ὀρθὰ πρὸς ἀρετή· τὰ δ᾽ ὅσα εἰκείνης ἕνεκα πέφυκε πράττεσθαι, οὐκ ἔστι φύλη ἀρετῆς, ἀλλ᾽ ἑτέρας δυνάμεως· λεκτέον δ᾽ ὠθίζησασι σαφέστερον περὶ αὐτῶν· ἔστι δή τις δύναμις, ἣν καλοῦσι δεινότητα· αὕτη δ᾽ ἔστι τοιαύτη· ὥστε τὰ πρὸς τὸν ὑποτεθέντα σκοπὸν συντείνοντα δύνασθαι ταῦτα πράττειν καὶ τυγχάνειν αὐτῶν· ἂν μὲν ὁ σκοπὸς ᾖ καλός, ἐπαινετὴ ἔστιν· ἂν δὲ φαῦλος, πανουργία· διὸ καὶ τοὺς φρονίμους δεινοὺς ἢ πανούργους φαμὲν εἶναι· ἔστι δὲ φρόνησις οὐχ ἡ δύναμις, ἀλλ᾽ οὐκ ἄνευ ταύτης ἡ δ᾽ ἕξις τῷ ὁμόματι τούτῳ σύνεστι φύλη ψυχῆς, οὐκ ἄνευ ἀρετῆς· ὡς εἴρηται τοῦτο καὶ πρότερον· οἱ γὰρ συλλογισμοὶ τῶν πρακτῶν ἀρχὴν ἔχουσιν τοιάνδε· ἐπειδὴ τριῶν δὲ τὸ τέλος καὶ τὸ ἄριστον ὅτι δή ποτε ὄν· ἔστω γὰρ λόγου χάριν τὸ ἡδύ· τοῦτο δὲ εἰ μὴ τῷ ἀληθῆ ὑφαίρετέον· διαστρέφει γὰρ ἡ μοχθηρία καὶ ἀπατᾷ ἀναγκαῖον περὶ τοὺς πρακτικὰς ἀρχάς· ὥστε φανερόν, ὅτι ἀδύνατον τὸν φρόνιμον εἶναι μὴ ὄντα ἀγαθόν· σκεπτέον δὴ πάλιν, καὶ περὶ ἀρετῆς· καὶ γὰρ ἡ ἀρετὴ ἧς ἁπλῶς ἔχει, ὡς ἡ φρόνησις πρὸς τὸν δύνασθαι τὰ οὐ

τὰ μὲν

τὴν μὲν, ὁμοίως δὲ· οὕτως ἡ φυσικὴ ἀρετὴ πρὸς τὴν κυρίαν· ταῖς γὰρ δοκεῖ ἑκάστῃ τῶν ἠθῶν ὑπάρχειν φύσει πως· καὶ γὰρ δίκαιοι καὶ σώφρονες καὶ ἀνδρεῖοι καὶ τἆλλα εὐθὺς ἐκ γενετῆς· ἀλλ' ὅμως ζητοῦμεν ἕτερόν τι τὸ κυρίως ἀγαθὸν εἶναι καὶ τοιαῦτα ἄλλως ὑπάρχειν· καὶ γὰρ παῖδες καὶ θηρίοις, αἱ φυσικαὶ ὑπάρχουσιν ἕξεις· ἀλλ' ἀδύνατον δοκεῖ βλάβας φαίνονται οὖσαι· τῶν δὲ τοιούτων ἔοικεν ὁρᾶσθαι, ὅτι ὥσπερ σώματι ἰσχυρῷ ἀνόψεως κινουμένῳ συμβαίνει σφάλματα διὰ τὸ μὴ ἔχειν ὄψιν, ὅταν ἐν ταύτῃ τις ἁμάρτῃ καὶ λάβῃ νοῦν, ἐν τῇ πράξει διαφορὰν ἤδη ἕξις ὁμοία οὖσα, τότε τὴν κυρίως ἀρετὴν ὡς τὴν καθ' ἕκαστον τῶν δοξαστικῶν δύο ὄντων εἴδη, φρονήσεως· διὸ καὶ τὴν ἠθικὴν δύο ὄντε μέν, ἀρετὴν φυσικὴν καὶ κυρίαν· καὶ τούτων τὴν κυρίαν οὐκ ἄνευ φρονήσεως· διὸ καὶ φασὶ πάσας τὰς ἀρετὰς, φρονήσεις εἶναι· Σωκράτης μὲν ὀρθῶς ζητεῖ τῇ δ' ἡμαρτάνετο· ὅτι μὲν γὰρ φρονήσεις οὐκ ἔφη εἶναι πάσας τὰς ἀρετὰς, ἡμαρτάνετο· ὅτι δ' οὐκ ἄνευ φρονήσεως, καλῶς ἔλεγεν· σημεῖον δὲ· καὶ γὰρ νῦν πάντες ὁ τὸν ὁρίζοντα τὴν ἀρετὴν, προστιθέασι τῇ ἕξει, ἐπόντος καὶ πρὸς ἃ ἔστι τὸν κατὰ τὸν ὀρθὸν λόγον· ὀρθὸς δ' ὁ κατὰ τὴν φρόνησις· ἐοίκασι δὴ πάντα τινὰ εἶναι ὑποτίθεσθαι ὡς ἅπαντες, ὅτι ἡ τοιαύτη ἕξις ἀρετή ἐστιν ἡ κατὰ τὴν φρόνησιν· δεῖ δὲ μικρὸν μεταβαλεῖν· οὐ γὰρ μένον ἡ κατὰ τὸν ὀρθὸν λόγον· ἀλλ' ἡ μετὰ τοῦ ὀρθοῦ λόγου ἕξις, ἀρετή ἐστιν· ὀρθὸς δὲ λόγος ἐστὶ τῶν τοιούτων ἡ φρόνησις ἐστίν· Σωκράτης μὲν οὖν λόγους τοὺς ἀρετὰς ᾠήθη εἶναι· πάσας γὰρ εἶναι πάσας· ἡμεῖς δὲ μετὰ λόγου· δῆλον δ' ἐκ τοῦ νῦν εἰρημένου, ὅτι οὐχ οἷόν τε ἀσκεῖν εἶναι κυρίως ἄνευ φρονήσεως· οὐδὲ φρονίμως, ἄνευ ἠθικῆς ἀρετῆς· ἀλλὰ καὶ ὁ λόγος οὗτος λύοι ἂν ᾧ δὴ καλέσειέ τις ἄν ὅτι χωρίζονται ἀλλήλων αἱ ἀρεταί· οὐ γὰρ ὁ αὐτὸς σοὶ φύεσθαι πρὸς ἅπασας· ὥστε τὴν μὲν ἤδη τὴν δ' οὔπω ἐν τῇ ψυχῇ κατὰ τὰς φυσικὰς ἀρετὰς ἂν δέχοιτο καθ' ἃς οὐκ ἀγαθὸς, οὐκ ἂν δὲ δὴ ἅμα τὴν φρονήσει μιᾷ ὄσῃ, πᾶσαι ὑπάρξουσι δῆλον δὴ, καὶ εἰ μὴ

πρακτικὴ ὧν ὅτι ἐδεῖτο ἂν αὐτῇ διὰ τὸ τοῦ μορίου ἀρετῆς εἶναι. καὶ ὅτι οὐκ ἔσται ἡ προαίρεσις ὀρθὴ ἄνευ φρονήσεως. οὐδ' ἄνευ ἀρετῆς, ἡ μὲν γὰρ τὸ τέλος. ἡ δὲ πρὸς τὸ τέλος ποιεῖ πράττειν. ἀλλὰ μὴν οὐ ἡ κυρία τέ ἐστι τῆς σοφίας. οὐδὲ τοῦ βελτίονος μορίου, ὥσπερ οὐ ἡ τῆς ὑγιείας ἡ ἰατρική. οὐ γὰρ χρῆται αὐτῇ. ἀλλ' ὁρᾷ ὅπως γένηται. ἐκείνης οὖν ἕνεκα ἐπιτάττει. ἀλλ' οὐκ ἐκείνῃ. ἔτι ὅμοιον κἂν εἴ τις τὴν πολιτικὴν φαίη ἀρχὴν τῶν θεῶν, ὅτι ἐπιτάττει περὶ πάντα τὰ ἐν τῇ πόλει.

Τέλος
τοῦ
Ζ'.

ἈΡΙΣΤΟΤΈΛΟΥΣ Ἡ̓ΘΙΚΩ̂Ν ΝΙΚΟΜΑ-ΧΕΊΩΝ, ΤῸ Ή·

ΕΤᾺ ὃ Ταῦτα λεκτέον ἄλλην τρίησα μέ-
νους ἀρχὴν, ὅτι τῶν περὶ τὰ ἤθη φευκτῶν,
τρία ἐστὶν εἴδη· κακία· ἀκρασία· θηριό-
της· τὰ δ' ἐναντία· τοῖς μὲν δυσὶ, δῆ-
λα· τὸ μὲν γὰρ ἀρετὴν, τὸ δ' ἐγκράτει-
αν καλοῦμεν· πρὸς δὲ τὴν θηριότητα
μάλιστ' ἄν τις ἁρμόττειν λέγοι τὴν ὑπὲρ
ἡμᾶς ἀρετὴν· ἡρωικήν τινα καθείαν, ὥσπερ ὅμηρος περὶ ἕκτορος
πεποίηκε λέγοντα τὸν πρίαμον· ὅτι σφόδρα ἦν ἀγαθὸς· οὐδὲ ἐώ-
κει ἀνδρός γε θνητοῦ παῖς ἔμμεναι, ἀλλὰ θεοῖο· ὥστ' εἰ καθά-
περ φασὶν ἐξ ἀνῶν γίνονται θεῖοι δι' ἀρετῆς ὑπερβολήν· τοιαύ-
τη τὶς ἂν εἴη δηλονότι ἡ τῇ θηριωδίᾳ ἀντιτιθεμένη ἕξις· καὶ
ὥσπερ οὐδὲ θηρίου ἐστὶ κακία οὐδ' ἀρετὴ, οὕτως οὐδὲ θεοῦ· ἀλλ' ἡ
μὲν, τιμιώτερον ἀρετῆς· ἡ δὲ, ἕτερόν τι γένος κακίας· ἐπεὶ δὲ
σπάνιον καὶ τὸ θεῖον ἄνδρα εἶναι, καθάπερ οἱ λάκωνες εἰώθα-
σι προσαγορεύειν ὅταν ἀγασθῶσι σφόδρα τοῦ, θεῖος ἀνήρ φασιν, οὕ-
τω καὶ ὁ θηριώδης φησὶν ἐν τοῖς ἐν οἷς σπάνιος· μάλιστα δὲ ἐν τοῖς
βαρβάροις ἐστί· γίνεται δ' ἔνια καὶ διὰ νόσους καὶ πηρώσεις.
καὶ τοὺς διὰ κακίαν δὲ τῶν ἀνῶν ὑπερβάλλοντας, οὕτως ἐπι-

δυσφημοῦμεν· ἀλλὰ περὶ μὲν φθορὰς ἀναθέσεως ὕστερον ποιητέον τινὰ μερίαν· περὶ δὲ κακίας εἴρηται πρότερον· περὶ δὲ ἀκρασίας καὶ μαλακίας καὶ τρυφῆς λεκτέον, καὶ περὶ ἐγκρατείας καὶ καρτερίας· οὐδετέραν γὰρ τῶν περὶ ὧς αὐτῶν ἕξεων τὴν ἀρετὴν καὶ τὴν μοχθηρίαν ἑκατέραν αὐτῶν ὑπολητέον, οὐθ' ὡς ἑτέρου γένους· δεῖ δὲ ὥσπερ ὧν τῶν ἄλλων τιθέντας τὰ φαινόμενα καὶ πρῶτον διαπορήσαντας, οὕτω δεικνύναι μᾶλλον πάντων τὰ ἔνδοξα περὶ ταῦτα τὰ πάθη· εἰδέναι, τὰ πλεῖστα καὶ κυριώτατα· ἐὰν γὰρ λύηται τὰ δυσχερῆ, καὶ καταλείπηται τὰ ἔνδοξα, δεδειγμένον ἂν εἴη ἱκανῶς· δοκεῖ δὴ τὴν ἐγκράτειαν καὶ καρτερίαν τῶν ἀποδεδοκιμασμένων εἶναι, ἡ δὲ ἀκρασίαν τε καὶ μαλακίαν, τῶν φαύλων τε καὶ ψεκτῶν· καὶ ὁ αὐτὸς ἐγκρατὴς καὶ ἐμμενετικὸς τῷ λογισμῷ, καὶ ἀκρατὴς καὶ ἐκστατικὸς τοῦ λογισμοῦ· καὶ ὁ μὲν ἀκρατὴς εἰδὼς ὅτι φαῦλαι αἱ ὠθυμίαι, οὐκ ἀκολουθεῖ διὰ τὸν λόγον· καὶ τὸν σώφρονα μὲν, ἐγκρατῆ καὶ καρτερικόν· τὸν δὲ τοιοῦτον, οἱ μὲν, πάντα σώφρονα, οἱ δ' οὐ· καὶ τὸν ἀκόλαστον ἀκρατῆ καὶ τὸν ἀκρατῆ ἀκόλαστον συγκεχυμένως· οἱ δὲ ἕτερους εἶναί φασι· τὸν δὲ φρόνιμον, ὃς τὰ μὲν οὐφασιν ἐνδέχεσθαι εἶναι ἀκρατῆ· ὃς τε δὲ εἶναι νίσσ φρονίμους οὐ τασκαὶ δημοὺς, ἀκρατεῖς εἶναι· ἔτι ἀκρατεῖς λέγονται καὶ θυμοῦ καὶ τιμῆς ἢ κέρδους· τὰ μὲν οὖν λεγόμενα περὶ τὸ ὄσον· ἀπορήσειε δ' ἄν τις πῶς ὑπολαμβάνων ὀρθῶς ἀκρατεύεταί τις· πῶς δ' ὅλως μὲν οὖν οὐφασίν τινες οἴόν τε εἶναι· δεινὸν γὰρ ποιεῖ μῆς ἐνοῦσης ὡς ἔστι σωκράτης, ἄλλο τι κρατεῖν καὶ περιελκόμενον ὥσπερ καὶ δραπέτου δοῦλον· σωκράτης μὲν γὰρ ὅλως ἐμάχετο πρὸς τὸν λόγον ὡς οὐκ οὔσης ἀκρασίας· οὐθὲν γὰρ ὑπολαμβάνοντες πράττειν παρὰ τὸ βέλτιστον, ἀλλὰ διὰ ἀγνοιαν· οὗτος μὲν οὖν ὁ λόγος ἀμφισβητεῖ τοῖς φαινομένοις ἐναργῶς, καὶ δέον ζητεῖν περὶ τὸ πάθος εἰ δι' ἄγνοιαν, τίς ὁ τρόπος γίνεται φανερὸν ἀγνοίας· ὅτι μὲν γὰρ οἴεταί γε δεῖν

πράττειν

πράττειν ἃ πράττει ὁ ἀκρατευόμενος πρὶν ἐν τῷ πάθει γενέσθαι.
φανερόν. εἰσὶ δέ τινες, οἳ τὰ μὲν συγχωροῦσι· τὰ δ' οὔ· τὸ μὲν ἢ
ἐπιστήμης μηθὲν εἶναι κρεῖττον, ὁμολογοῦσι· τὸ δὲ μηθένα πράτ-
τειν, παρὰ τὸ δόξαν βέλτιον, οὐχ ὁμολογοῦσι· καὶ διὰ τοῦτο τὸν
ἀκρατῆ φασιν οὐκ ἐπιστήμην ἔχοντα κρατεῖσθαι ὑπὸ τῶν ἡ-
δονῶν, ἀλλὰ δόξαν· ἀλλὰ μὴν εἴγε δόξα καὶ ἐπιστήμη, μὴ δι' ἰσχυρὰ
ὑπόληψις ἡ ἀντιτείνουσα· ἀλλ' ἠρεμαία καθάπερ ἐν τοῖς διστά-
ζουσι, συγγνώμη, τῷ μὴ ἐμμένειν ἐν ταύταις πρὸς ἐπιθυμίας ἰσχυ-
ράς· τῇ δὲ μοχθηρίᾳ οὐ συγγνώμη, οὐδὲ τῶν ἄλλων οὐδενὶ τῶν
ψεκτῶν· φρονήσεως ἄρα ἀντιτεινούσης· αὕτη γὰρ ἰσχυρότατον·
ἀλλ' ἄτοπον· ἔσται γὰρ ὁ αὐτὸς ἅμα φρόνιμος καὶ ἀκρατής·
φήσειε δ' ἂν οὐδὲ φρονίμου εἶναι τὸ πράττειν ἑκόντα τὰ φαυ-
λότατα· πρὸς δὲ τούτοις, δέδεικται πρότερον ὅτι πρακτι-
κός γε ὁ φρόνιμος· τῶν ἐσχάτων γὰρ τις καὶ τὰς ἄλλας ἔχων ἀ-
ρετάς· ἔτι εἰ μὲν ἐν τῷ ἐπιθυμίας ἔχειν ἰσχυρὰς καὶ φαύλας ὁ
ἐγκρατής, οὐκ ἔσται ὁ σώφρων ἐγκρατής· οὐδ' ὁ ἐγκρατὴς σώ-
φρων, οὔτε γὰρ τὸ ἄγαν, σώφρονος· οὔτε τὸ φαύλας ἔχειν· ἀλλὰ
μὴν δεῖγε· εἰ μὲν γὰρ χρηστὰι αἱ ἐπιθυμίαι, φαύλη ἡ κωλύουσα,
ἕξις μὴ ἀκολουθεῖν· ὥστε ἡ ἐγκράτεια οὐ πᾶσα σπουδαία· εἰ δ' ἀ-
σθενεῖς καὶ μὴ φαῦλαι, οὐθὲν σεμνόν· οὐδ' εἰ φαῦλαι καὶ ἀσθε-
νεῖς, οὐθὲν μέγα· ἔτι εἰ πάσῃ δόξῃ ἐμμενετικὸν ποιεῖ, ἡ ἐγκρά-
τεια φαύλη· οἷον εἰ καὶ τῇ ψευδεῖ, καὶ εἰ πάσης δόξης ἡ ἀκρασία
ἐκστατικὸν, ἔσται τὶς σπουδαία ἀκρασία· οἷον ὁ σοφοκλέους νεο-
πτόλεμος ἐν τῷ φιλοκτήτῃ· ἐπαινετὸς γὰρ οὐκ ἐμμένων οἷς
ἐπείσθη ὑπὸ τοῦ ὀδυσσέως, διὰ τὸ λυπεῖσθαι ψευδόμενος· ἔτι ὁ
σοφιστικὸς λόγος ψευδόμενος, ἀπορία· διὰ γὰρ τὸ παράδοξα,
βούλεσθαι ἐλέγχειν ἵνα δεινοὶ ὦσιν ὅταν ἐπιτύχωσιν, ὁ γενόμε-
νος συλλογισμὸς ἀπορία γίνεται· δέδεται γὰρ ἡ διάνοια ὅταν
μένειν μὲν μὴ βούληται διὰ τὸ μὴ ἀρέσκειν τὸ συμπερανθέν·

προϊέναι δὲ μὴ δύνηται, διὰ τὸ λύσαι μὴ ἔχειν τὸν λό-
γον· συμβαίνει δ' ἔκτινος λόγου ἡ ἀφροσύνη μετὰ ἀκρα-
σίας ἀρετή· τἀναντία γὰρ πράττει ὧν ὑπολαμβάνει διὰ
τὴν ἀκρασίαν· ὑπολαμβάνει δὲ τἀγαθὰ κακὰ εἶναι· καὶ
οὐ δεῖ πράττειν· ὥστε τἀγαθὰ καὶ οὐ τὰ κακὰ πράξει· ἔτι
ὁ τῷ πείθεσθαι πράττων καὶ διώκων τὰ ἡδέα καὶ προαιρού-
μενος βελτίων ἂν δόξειεν εἶναι τοῦ μὴ διὰ λογισμὸν, ἀλ-
λὰ δι' ἀκρασίαν· εὐιατότερος γὰρ διὰ τὸ μεταπεισθῆναι ἄν·
ὁ δ' ἀκρατὴς ἔνοχος τῇ παρανομίᾳ· ἐν ᾗ φαμὲν ὅταν τὸ ὕ-
δωρ τὸν φάρυγγα πνίγῃ, τὶ δεῖ ἔτι πίνειν· εἰ μὲν γὰρ μὴ ἐ-
πέπειστο ἃ πράττει, μεταπεισθεὶς ἂν ἐπαύσατο· νῦν δὲ πε-
πεισμένος οὐδὲν ἧττον ἄλλα πράττει· ἔτι εἰ περὶ πάντα ἀ-
κρασία ἐστὶ καὶ ἐγκράτεια, τίς ὁ ἁπλῶς ἀκρατής· οὐθεὶς
γὰρ ἁπάσας ἔχει τὰς ἀκρασίας· φαμὲν δ' εἶναί τινας ἁ-
πλῶς· αἱ μὲν οὖν ἀπορίαι τοιαῦταί τινες συμβαίνουσι· τού-
των δὲ τὰ μὲν, ἀνελεῖν δεῖ· τὰ δὲ καταλιπεῖν· ἡ γὰρ λύ-
σις τῆς ἀπορίας, εὕρεσίς ἐστι· πρῶτον μὲν οὖν σκεπτέον· πό-
τερον εἰδότες, ἢ οὔ· καὶ πῶς εἰδότες· εἶτα περὶ ποῖα τὸν ἀ-
κρατῆ καὶ τὸν ἐγκρατῆ θετέον· λέγω δὲ πότερον περὶ πᾶ-
σαν ἡδονὴν καὶ λύπην, ἢ περί τινας ἀφωρισμένας, καὶ τὸν ἐγ-
κρατῆ καὶ τὸν καρτερικόν· πότερον ὁ αὐτὸς, ἢ ἕτερός ἐ-
στιν· ὁμοίως δὲ καὶ περὶ τῶν ἄλλων ὅσα συγγενῆ τῆς θεωρί-
ας ἐστὶ ταύτης· ἔστι δὲ ἀρχὴ τῆς σκέψεως, πότερον ὁ ἐγκρα-
τὴς καὶ ἀκρατής εἰσι, τῷ περὶ ἃ ἢ τῷ πῶς ἔχοντες τὴν δια-
φοράν· λέγω δὲ πότερον τῷ περὶ τάδε, εἶναι μόνον ἀκρα-
τὴς ὁ ἀκρατὴς, ἢ οὔ· ἀλλὰ τῷ ἐξ ἀμφοῖν· ἔπειτ' εἰ περὶ ἅ-
παντ' ἐστὶν ἡ ἀκρασία καὶ ἐγκράτεια, ἢ οὔ· οὔτε γὰρ περὶ ἅ-
παντά ἐστιν ὁ ἁπλῶς ἀκρατὴς, ἀλλὰ περὶ ἅπερ ὁ ἀκόλα-
στος, οὔτε τῷ πρὸς ταῦτα ἁπλῶς ἔχειν· ταυτὸν γὰρ ἦν τῇ ἀ-
κρασίᾳ.

κρασίαν, ἀλλὰ τὴν οὐδὲ ἕξιν. ὁ μὲν γὰρ ἀγόμενος προαιρούμενος νομίζων ἀεὶ δεῖν τὸ παρὸν ἡδὺ διώκειν· ὁδ' οὐκ οἴεται μὲν, διώκει δὲ· ὡσεὶ μὲν οὖν τοῦ δόξαν ἀληθῆ, ἀλλὰ μὴ ἐπιστήμην εἶναι, παρ' ὀλίγα ἀκρατεύονται, οὐθὲν διαφέρει πρὸς τὸν λόγον· ἐνίοι γὰρ τῶν δοξαζόντων, οὐ διστάζουσιν, ἀλλ' οἴονται ἀκριβῶς εἰδέναι· εἰ οὖν διὰ τὸ ἡρέμα πιστεύειν δοξάζοντας μᾶλλον τῶν ἐπισταμένων παρὰ τὴν ὑπόληψιν πράξουσιν, οὐθὲν διοίσει ἐπιστήμη δόξης· ἐνίοι γὰρ πιστεύουσιν οὐδὲν ἧττον οἷς δοξάζουσιν, ἢ ἕτεροι οἷς ἐπίστανται· διὸ καὶ Ἡράκλειτος, ἀλλ' ἐπεὶ διχῶς λέγομεν τὸ ἐπίστασθαι, καὶ γὰρ ἔχων μὲν οὐ χρώμενος δὲ τῇ ἐπιστήμῃ· καὶ ὁ χρώμενος λέγεται ἐπίστασθαι, διοίσει τὸ ἔχοντα μὲν, μὴ θεωροῦντα δὲ· καὶ τὸ θεωροῦντα πράττειν ἃ μὴ δεῖ, τοῦ ἔχοντα καὶ θεωροῦντα· τοῦτο γὰρ δοκεῖ δεινόν, ἀλλ' οὐκ εἰ μὴ θεωρῶν· ἔτι ἐπεὶ δύο πρόσωπα τῶν προτάσεων ἔχοντα μὲν ἀμφοτέρας, οὐθὲν κωλύει πράττειν παρὰ τὸν ἐπιστήμονα· χρώμενον μέντοι τῇ καθόλου, ἀλλὰ μὴ τῇ κατὰ μέρος, πρακτὰ γὰρ τὰ κατὰ ἕκαστα· διαφέρει δὲ καὶ τὸ καθόλου· τὸ μὲν γὰρ ἐφ' ἑαυτοῦ τὸ δ' ἐπὶ τοῦ πράγματός ἐστιν· οἷον ὅτι πᾶν τὸ ἀνθρώπῳ συμφέρον τὸ ξηρά· καὶ ὅτι οὗτος ἄνθρωπος, ἢ ὅτι ξηρὸν τοιόνδε, ἀλλ' εἰ τόδε τοιόνδε, ἢ οὐκ ἔχει, ἢ οὐκ ἐνεργεῖ· κατὰ τε δὴ τούτους διοίσει τοὺς τρόπους ἀμήχανον ὅσον· ὥστε δοκεῖν μὲν οὕτως εἰδέναι μηθὲν ἄτοπον, ἄλλως δὲ θαυμαστόν· ἔτι τὸ ἔχειν τῷ ἐπιστήμῳ ἄλλον ξόπριτον ἐνθένδε τῶν ὑπαρχει τρεῖς αἱ οἷς ἐνδέχεται μὴ χρῆσθαι ἢ μὴ χρῆσθαι, διαφέρουσαν ὁρᾷ μὲν τὴν ἕξιν· ὥστε ἐξ ἔχειν πῶς σημαίνει ἔχειν· οἷον ὁ νήφων καθ' ὁμοιότητα μὴ μαινόμενον ὁ οἰνωμένον· ἀλλὰ μὲν ὅτι πάσχει τοῦτο δῆλον ἐκ τῶν ἐπιθέσεων ὄντες· θυμοειδὴς ὢν θυμίαν ἀφροδισίων καὶ ἐνίοτε τῶν ἐρωτικῶν, ὢν δήλως καὶ τὸ σῶμα μεθιστᾶσιν· ἐνίοις δὲ καὶ μανίας ποιοῦσι· δῆ-

λον οὖν ὅτι ὁμοίως ἔχειν λεκτέον τοὺς ἀκρατεῖς τούτοις.
τὸ δὲ λέγειν τοὺς λόγους τοὺς ἀπὸ τῆς ἐπιστήμης, οὐδὲν σημεῖ-
ον τοῦ ἐνεργεῖν κατὰ τὴν ἐπιστήμην. καὶ γὰρ οἱ ἐν τοῖς πάθεσι τοῦ
τοις ὄντες, ἀποδείξεις καὶ ἔπη λέγουσιν ἐμπεδοκλέους. καὶ
οἱ πρῶτον μαθόντες, συνείρουσι μὲν τοὺς λόγους. ἴσασι δ' οὔ-
πω. δεῖ γὰρ συμφυῆ εἶναι. τοῦτο δὲ χρόνου δεῖ. ὥστε καθάπερ
τοὺς ὑποκρινομένους, οὕτως ὑπολη πτέον λέγειν καὶ τοὺς ἀκρα
τευομένους. ἔτι καὶ ὧδε φυσικῶς ἄν τις ἐπιβλέψειε τὴν αἰτίαν.
ἡ μὲν γὰρ καθόλου δόξα. ἡ δ' ἑτέρα περὶ τῶν καθ' ἕκαστά ἐστιν,
ὧν αἴσθησις ἤδη κυρία. ὅταν δὲ μία γένηται ἐξ αὐτῶν, ἀνά-
γκη τὸ συμπεραν θὲν ἔνθα μὲν φάναι τὴν ψυχήν. ἐν δὲ ταῖς τοι
ητικαῖς, πράττειν εὐθύς. οἷον εἰ παντὸς γλυκέος γεύεσθαι δεῖ, του-
τὶ δὲ γλυκὺ ὡς ἔντι τῶν καθ' ἕκαστον, ἀνάγκη τὸν δυνάμενον
καὶ μὴ κωλυόμενον, ἅμα τοῦτο καὶ πράττειν. ὅταν οὖν ἡ μὲν
καθόλου ἐνῇ ἡ κωλύουσα γεύεσθαι. ἡ δὲ, ὅτι πᾶν τὸ γλυκὺ ἡδύ. τοῦ
τὶ δὲ γλυκύ, αὕτη δὲ ἐνεργεῖ. τύχη δὲ ἐπιθυμία οὖσα. ἡ μὲν οὖν λέ
γει φεύγειν τοῦτο. ἡ δὲ ἐπιθυμία ἄγει. κινεῖν γὰρ ἕκαστον δύναται
τῶν μορίων. ὥστε συμβαίνει ὑπὸ λόγου πως καὶ δόξης ἀκρατεύε
σθαι. οὐκ ἐναντίας δὲ καθ' αὑτήν, ἀλλὰ κατὰ συμβεβηκός. ἡ
γὰρ ἐπιθυμία ἐναντία. ἀλλ' οὐχ ἡ δόξα τῷ ὀρθῷ λόγῳ. ὥστε καὶ
διὰ τοῦτο τὰ θηρία οὐκ ἀκρατῆ, ὅτι οὐκ ἔχει τὴν καθόλου ὑπό
ληψιν, ἀλλὰ τῶν καθ' ἕκαστα φαντασίαν καὶ μνήμην. πῶς δὲ
λύεται ἡ ἄγνοια καὶ πάλιν γίνεται ἐπιστήμων ὁ ἀκρατὴς, ὁ αὐ
τὸς λόγος καὶ περὶ οἰνωμένου καὶ καθεύδοντος. καὶ οὐκ ἴδιος τοῦ
τοῦ τοῦ πάθους. ὃν δεῖ παρὰ τῶν φυσιολόγων ἀκούειν. ἐπεὶ δ'
ἡ τελευταία πρότασις δόξα τε αἴσθη τοῦ καὶ κυρία τῶν πράξεων,
ταύτην, ἢ οὐκ ἔχει ὁ ἐν τῷ πάθει ὤν, ἢ οὕτως ἔχει ὡς οὐκ ἦν τὸ ἔ-
χειν ἐπίστασθαι. ἀλλὰ τὸ λέγειν ὥσπερ ὁ οἰνωμένος, τὰ ἐμ-
πεδοκλέους. καὶ διὰ τὸ μὴ καθόλου μὴ δ' ἐπιστημονικὸς

ὁμοίως

ὁμοίως εἶναι δοκεῖν τῷ καθόλου τὸν ἔσχατον ὅρον. ἐ ἔοικεν ὃ ἐ-
ζήτει σωκράτης συμβαίνειν. οὐ γὰρ τῆς κυρίως εἶναι δοκούσης ἐ-
πιστήμης παρούσης γίνεται τὸ πάθος, οὐ δ' αὐτὴ περιέλκε-
ται διὰ τὸ πάθος. ἀλλὰ τῆς αἰσθητικῆς. περὶ μὲν οὖν τοι εἰδό-
τα ἢ μὴ. καὶ πῶς εἰδότα ἐνδέχεται ἀκρατεύεσθαι, τοσαῦτα
εἰρήσθω. πότερον δέ ἐστί τις ἁπλῶς ἀκρατὴς, ἢ πάντες κατὰ
μέρος. καὶ εἰ ἔστι, περὶ ποῖά ἐστι, λεκτέον ἐφεξῆς. ὅτι μὲν οὖν πε-
ρὶ ἡδονὰς καὶ λύπας εἰσὶν οἵτ' ἐγκρατεῖς καὶ καρτερικοὶ, ἢ
ἀκρατεῖς καὶ μαλακοὶ, φανερόν. ἐπεὶ δ' ἐστὶ τὰ μὲν, ἀναγκαῖα
τῶν ποιούντων ἡδονὴν, τὰ δ' αἱρετὰ μὲν καθ' αὑτά, ἔχοντα δ'
ὑπερβολὴν, ἀναγκαῖα δὲ τὰ σωματικὰ, λέγω δὲ τὰ τοιαῦτα
τά, τε περὶ τροφὴν καὶ τὴν τῶν ἀφροδισίων χρείαν, ἢ τὰ τοιαῦ-
τα τῶν σωματικῶν, περὶ ἃ τὴν ἀκολασίαν ἔθεμεν καὶ τὴν σω-
φροσύνην. τὰ δ' ἀναγκαῖα μὲν οὔ. αἱρετὰ δὲ καθ' αὑτά. λέγω
δὲ οἷον νίκην. τιμήν. πλοῦτον. καὶ τὰ τοιαῦτα τῶν ἀγαθῶν
καὶ ἡδέων. τοὺς μὲν οὖν πρὸς ταῦτα παρὰ τὸν ὀρθὸν λόγον
ὑπερβάλλοντας τὸν ἐν ἑαυτοῖς, ἁπλῶς μὲν οὐ λέγομεν ἀκρα-
τεῖς. προστιθέντες δὲ τὸ, χρημάτων ἀκρατεῖς καὶ κέρδους, καὶ
τιμῆς καὶ θυμοῦ, ἁπλῶς δ' οὔ. ὡς ἑτέρους, καὶ καθ' ὁμοιότη-
τα λεγομένους. ὥσπερ ἄνος ὁ τὰ ὀλύμπια νενικηκώς. ἐκεί-
νῳ γὰρ ὁ κοινὸς λόγος τοι ἰδίου μικρῷ διέφερεν. ἀλλ' ὅμως
ἕτερος ἦν. σημεῖον δὲ, ἡ μὲν γὰρ ἀκρασία ψέγεται, οὐχ ἁμαρ-
τία μόνον, ἀλλὰ καὶ ὡς κακία τὶς ἢ ἁπλῶς οὖσα, ἢ κατά-
τι μέρος. τούτων δ' οὐθεὶς. τῶν δὲ περὶ τὰς σωματικὰς ἀπο-
λαύσεις περὶ ἃς λέγομεν τὸν σώφρονα καὶ ἀκόλαστον, ὁ μὴ τῷ
προαιρεῖσθαι τῶν ἡδέων διώκων τὰς ὑπερβολὰς, ἢ τῶν λυπηρῶν
φεύγων, πείνης. ἢ δίψης. ἢ ἀλέας. ἢ ψύχους. ἢ πάντων τῶν πε-
ρὶ ἁφὴν ἢ γεῦσιν, ἀλλὰ παρὰ τὴν προαίρεσιν καὶ τὴν διά-
νοιαν, ἀκρατὴς λέγεται, οὐ κατὰ πρόσθεσιν. ὅτι περὶ τάδε

καθάπερ ὀργῆς, ἀλλ' ἀπλῶς μόνον. σημεῖον δὲ, καὶ γὰρ ἀκόλαστοι λέγονται, περὶ ταῦτας· περὶ ἐκείνων δὲ οὐδεμίαν. διὰ τοῦτ' εἰς ταὐτὸν τὸν ἀκρατῆ καὶ ἀκόλαστον τίθεμεν, καὶ ἐγκρατῆ καὶ σώφρονα· ἀλλ' οὐκ ἐκείνων οὐδένα, διὰ τὸ περὶ τὰς αὐτὰς πως ἡδονὰς καὶ λύπας εἶναι· οὐδ' εἰσὶ μὲν περὶ ταῦτα ἀλλ' οὐχ ὡσαύτως εἰσίν· ἀλλ' οἱ μὲν, προαιροῦνται, οἱ δ' οὐ προαιροῦνται· διὸ μᾶλλον ἀκόλαστον αὐτῶν εἶναι φαμὲν ὅστις μὴ ὀρεκτῶν, ἢ ἡρέμα διώκει τὰς ὑπερβολὰς, καὶ φεύγει μετρίας λύπας, ἢ τοιοῦτον, ὅστις διὰ τὸ ἐπιθυμεῖν σφόδρα· τί γὰρ αὐτὸν ποιήσειεν, εἰ προσγένοιτο ἐπιθυμία ἀνεπανική, καὶ περὶ τὰς τῶν ἀναγκαίων ἡδονὰς λυπηρά· ὁμοίως δὲ καὶ τῶν ἐπιθυμιῶν καὶ τῶν ἡδονῶν, αἱ μέν εἰσι τῶν καλῶν καὶ σπουδαίων· τῶν γὰρ ἡδέων ἔνια φύσει αἱρετὰ, τὰ δ' ἐναντία τούτων· τὰ δὲ, μεταξύ, καθάπερ διείλομεν πρότερον· οἷον χρήματα καὶ κέρδος καὶ νίκη καὶ τιμή· πρὸς ἃ μὴν οὐ ψεκτέον οὐδὲ καὶ τοῖς τοιούτοις καὶ τὰ μεταξὺ, οὐ τῷ φιλεῖν καὶ ἐπιθυμεῖν καὶ φιλεῖν ψέγουσι, ἀλλὰ τῷ πῶς, καὶ ὑπερβάλλειν· διὸ ὅσοι μὲν παρὰ τὸν λόγον ἥττανται τούτων ἢ διώκουσι τῶν φύσει τὰ καλὰ καὶ αἰσθῶνται, οἷον οἱ περὶ τιμὴν καὶ μᾶλλον ἢ δεῖ σπουδάζοντες· ἢ περὶ τέκνα καὶ γονεῖς· καὶ γὰρ ταῦτα τῶν αἰσθητῶν· καὶ ἐπαινοῦμεν οἱ περὶ ταῦτα σπουδάζοντας· ἀλλ' ὅμως, ὅταν τις ὑπερβολὴ καὶ ἐν τούτοις· εἴ τις ὡς περ ἡνιόχη μάχοιτο πρὸς τοὺς θεοὺς, ἢ ὡς περ ὁ τὸν Φιλοθέρσου Κρόνον λοιδορούμενος περὶ τὸν πατέρα· λίαν γὰρ εἰδήμων αἰνίγμων· μοχθηρία μὲν οὖν οὐδεμία περὶ ταῦτ' ὅσα διὰ τὸ εἰρημένον· ὅτι φύσει τῶν αἱρετῶν ἕκαστον ὅσα δι' αὐτό· φαῦλαι δὲ καὶ φθαρταὶ αὐτῶν εἰσιν αἱ ὑπερβολαί· ὁμοίως δὲ, οὐδὲ ἀκρασία· ἡ γὰρ ἀκρασία, οὐ μόνον φευκτὸν, ἀλλὰ καὶ τῶν ψεκτῶν ὄν· διὸ μοιότητα δὲ τοῦ πάθους προσεπιτιθέντες τὴν ἀκρασίαν, περὶ ἑκάστου λέγουσιν· οἷον, κακὸν ἰατρόν·

ξόν· καὶ κακὸν ὑποκριτήν, ὃν ἁπλῶς οὐκ ἂν εἴποιεν κακόν.
ὥσπερ οὖν οὐδ' ἐνταῦθα διὰ τὸ μὴ κακίαν εἶναι ἑκάστην αὐτῶν
ἀλλὰ τῷ ἀνάλογον, ὁμοίαν· οὕτω δηλονότι κἀκεῖ ὑποληπτέ-
ον μόνον ἀκρασίαν καὶ ἐγκράτειαν εἶναι, ἥτις ἐστὶ περὶ τὰ
αὐτὰ τῇ σωφροσύνῃ καὶ τῇ ἀκολασίᾳ· περὶ δὲ θυμῶ καθ' ὁμοι-
ότητα λέγομεν· διὸ καὶ προστιθέντες ἀκρατῆ θυμῶ ὥσπερ
τιμῆς καὶ κέρδους φαμέν· ἐπεὶ δ' ἔστιν ἔνια μὲν ἡδέα φύσει,
καὶ τούτων τὰ μὲν ἁπλῶς, τὰ δὲ κατὰ γένη καὶ ζώων καὶ
ἀνθρώπων, τὰ δ' οὐκ ἔστιν· ἀλλὰ τὰ μὲν, διὰ πηρώσεις, τὰ δὲ, δι' ἔ-
θη γίνονται· τὰ δὲ, διὰ μοχθηρὰς φύσεις, ἔστι καὶ περὶ τούτων
ἕκαστα παραπλησίας ἰδεῖν ἕξεις· λέγω δὲ τὰς θηριώδεις, οἷ-
ον, τὴν ἀνθρώπων λέγουσι τὰς κυούσας ἀναχίζουσαν τὰ παι-
δία κατεσθίειν, ἢ οἵοις φασὶ χαίρειν ἐνίους τῶν ἀπηγριω-
μένων μερῶν περὶ τὸν πόντον· τοὺς μὲν ὄνυξ, ὠμοῖς· τοὺς δὲ, κρέα
σιν ἀνθρωπείοις· τοὺς δὲ, τὰ παιδία δανείζειν ἀλλήλοις
εἰς ἐνωχίαν· ἢ τὸ περὶ φάλαριν λεγόμενον· αὗται μὲν θη-
ριώδεις· αἱ δὲ, διὰ τὴν νόσους γίνονται καὶ μανίαν ἐνίοις· ὥσ-
περ ὁ τὴν μητέρα καθιερεύσας καὶ φαγὼν· καὶ ὁ τὸν συνδού-
λου τὸ ἧπαρ· αἱ δὲ, νοσηματώδεις, ἢ ἐξ ἔθους· οἷον αἱ τῶν τρι-
χῶν τίλσεις, καὶ ὀνύχων τρώξεις· ἔτι δ' ἀνθράκων καὶ γῆς·
πρὸς δὲ τούτοις, ἡ τῶν ἀφροδισίων τοῖς ἄρρεσι· τοῖς μὲν γὰρ
φύσει· τοῖς δ' ἐξ ἔθους συμβαίνουσιν· οἷον τοῖς ἐθιζομένοις
ἐκ παίδων· ὅσοις μὲν οὖν φύσις αἰτία, τούτους μὲν, οὐδ' ἂν
εἷς εἴποιεν ἀκρατεῖς· ὥσπερ οὐδὲ τὰς γυναῖκας, ὅτι οὐχ ὀ-
πτύουσι, ἀλλ' ὀπτύονται· ὡσαύτως δὲ καὶ τοῖς νοσηματωδεσι ἐ-
χουσι δι' ἔθους· τὸ μὲν οὖν ἔχειν ἕκαστα τούτων, ἔξω τῶν ὁρῶν ἐστὶ τῆς
κακίας, καθάπερ καὶ θηριότης· τὸ δ' ἔχοντα κρατεῖν ἢ κρατεῖ-
σθαι, οὐχ ἡ ἁπλῆ ἀκρασία, ἀλλ' ἡ κατὰ ὁμοιότητα καθάπερ καὶ τὸν πε-
ρὶ τοὺς θυμοὺς ἔχοντα τοῦτον τὸν τρόπον τοῦ πάθους, ἀκρα-
τῆ δ' οὐ λεκτέον· πᾶσα γὰρ ὑπερβάλλουσα κακία καὶ ἀφρο

σύνη καὶ δειλία καὶ ἀκολασία καὶ χαλεπότης, αἱ μὲν θηριώδεις· αἱ δὲ,
νοσηματώδεις εἰσίν· ὁ μὲν γὰρ φύσει τοιοῦτος, οἷος δεδιέναι πάν-
τα, κἂν ψοφήσῃ μῦς θηριώδη δειλίαν δειλός· ὁ δὲ, τὴν γαλῆν
ἐδεδίει διὰ νόσον· καὶ τῶν ἀφρόνων, οἱ μὲν ἐκφύσεως ἀλόγιστοι
καὶ μόνον τῇ αἰσθήσει ζῶντες, θηριώδεις, ὥσπερ ἔνια γένη τῶν
πόρρω βαρβάρων· οἱ δὲ, διὰ νόσους οἷον τὰς ἐπιληπτικὰς,
ἢ μανίας νοσηματώδεις· τούτων δ' ἔστι μὲν ἔχειν τινὰ ἐνίο-
τε μόνον, μὴ κρατεῖσθαι δέ· λέγω δὲ οἷον εἰ φάλαρις κατεῖ-
χεν ἐπιθυμῶν παιδίου φαγεῖν, ἢ πρὸς ἀφροδισίων ἄτοπον ἡδο-
νήν· ἔστι δὲ καὶ κρατεῖσθαι μὴ μόνον ἔχειν· ὥσπερ οὖν καὶ μο-
χθηρία· ἡ μὲν, κατ' ἄνθρωπον ἁπλῶς λέγεται μοχθηρία· ἡ δὲ,
κατὰ πρόσθεσιν, ὅτι θηριώδης ἢ νοσηματώδης· ἁπλῶς δ' οὔ· τὸν
αὐτὸν δὴ τρόπον δῆλον ὅτι καὶ ἀκρασία ἐστίν· ἡ μὲν, θηριώδης,
ἡ δὲ νοσηματώδης· ἁπλῶς δὲ ἡ κατὰ τὴν ἀνθρωπικὴν ἀκο-
λασίαν μόνη· ὅτι μὲν οὖν ἀκρασία καὶ ἐγκράτεια ἐστὶ μόνον·
περὶ ἅπερ ἀκολασία καὶ σωφροσύνη, καὶ ὅτι περὶ τὰ ἄλλα
ἐστὶν ἄλλο εἶδος ἀκρασίας λεγόμενον κατὰ μεταφορὰν καὶ οὐχ
ἁπλῶς, δῆλον· ὅτι δὲ καὶ ἧττον αἰσχρὰ ἀκρασία ἢ τοῦ θυμοῦ ἢ
τῶν ἐπιθυμιῶν, θεωρήσωμεν· ἔοικε γὰρ ὁ θυμὸς ἀκούειν μέντοι
τοῦ λόγου· παρακούειν δὲ καθάπερ οἱ ταχεῖς τῶν διακόνων, οἳ
πρὶν ἀκοῦσαι πᾶν τὸ λεγόμενον, ἐκθέουσιν· εἶτα ἁμαρτάνουσι τῆς
πράξεως· καὶ οἱ κύνες πρὶν σκέψασθαι εἰ φίλος ἂν μόνον ψο-
φήσῃ, ὑλακτοῦσι, οὕτως ὁ θυμὸς διὰ θερμότητα καὶ ταχυ-
τῆτα τῆς φύσεως, ἀκούσας μὲν· οὐκ ἐπίταγμα δὲ ἀκούσας ὁρ-
μᾷ πρὸς τὴν τιμωρίαν· ὁ μὲν γὰρ λόγος ἢ ἡ φαντασία ὅτι ὕ-
βρις ἢ ὀλιγωρία ἐδήλωσεν· ὁ δ' ὥσπερ συλλογισάμενος ὅτι
δεῖ τῷ τοιούτῳ πολεμεῖν, χαλεπαίνει εὐθύς· ἡ δ' ἐπιθυμία, ἐὰν μό-
νον εἴπῃ ὅτι ἡ δὺ ὁ λόγος ἢ ἡ αἴσθησις, ὁρμᾷ πρὸς τὴν ἀπόλαυ-
σιν· ὥσθ' ὁ μὲν θυμὸς ἀκολουθεῖ τῷ λόγῳ πῶς, ἡ δ' ἐπιθυμία
οὔ· αἰσχίων οὖν· ὁ μὲν θυμοῦ ἀκρατὴς τοῦ λόγου πῶς ἡττᾶται·

ὁ δὲ τῆς

ὁ δὲ τῆς ἐπιθυμίας, καὶ οὐ τοῦ λόγου· ἔτι ταῖς φυκαῖς συγ-
γνώμη μᾶλλον ἀκολουθεῖν ὀρέξεσιν, ἐπεὶ καὶ ἐπιθυμίαις ταῖς
τοιαύταις ὅσαι κοιναὶ πᾶσι καὶ ἐφ' ὅσον κοιναί· ὁ δὲ θυμὸς φυ-
σικώτερον, καὶ ἡ χαλεπότης τῶν ἐπιθυμιῶν τῶν τῆς ὑπερβολῆς
καὶ τῶν μὴ ἀναγκαίων, ὥσπερ ὁ ἀπολογούμενος ὅτι τὸν πρᾶ-
τύπτοι· καὶ γὰρ οὗτος ἐφη τὸν ἑαυτοῦ, κἀκεῖνος τὸν ἄνωθεν· καὶ
τὸ παιδίον δείξας, καὶ οὗτος ἐμὲ ἐφη ὅταν ἀνὴρ γένηται· συγ-
γενεῖς γὰρ ἡμῖν· καὶ ὁ ἑλκόμενος ὑπὸ τοῦ ἡγοῦ· παύεσθαι ἐ-
κέλευε πρὸς ταῖς θύραις· καὶ γὰρ αὐτὸς ἑλκύσθαι τὸν πρᾶ μέ-
χρις ἐνταῦθα· ἔτι ἀδικώτεροι οἱ ἐπιβουλότεροι· ὁ μὲν οὖν θυ-
μώδης, οὐκ ἐπίβουλος, οὐδ' ὁ θυμὸς, ἀλλὰ φανερός· ἡ δ' ἐπιθυ-
μία καθάπερ τὴν ἀφροδίτην φασίν· δολοπλόκου γὰρ κυ-
προγενοῦς, καὶ τὸν κεστὸν ἱμάντα ὅμηρος· Πάρφασις ἥ τ' ἔκλε-
ψε νόον πύκα περφρονέοντος· ὥστ' εἴπερ ἀδικωτέρα καὶ αἰ-
σχίων ἡ ἀκρασία αὕτη, τῆς περὶ τὸν θυμόν ἐστι· καὶ ἁπλῶς ἀ-
κρασία ἢ κακία πῶς· ἔτι οὐδεὶς ὑβρίζει λυπούμενος· ὁ δ' ὀρ-
γῆ ποιῶν, πᾶς ποιεῖ λυπούμενος· ὁ δ' ὑβρίζων μεθ' ἡδονῆς· εἰ οὖν
οἷς ὀργίζεσθαι μάλιστα δίκαιον, ταῦτα ἀδικώτερα· καὶ ἡ ἀκρα-
σία ἡ δι' ἐπιθυμίαν· οὐ γὰρ ἔστιν ἐν θυμῷ ὕβρις· ὡς μὲν τρίνην ἡ πε-
ρὶ ἐπιθυμίας ἀκρασία τῆς περὶ τὸν θυμόν· καὶ ὅτι ἔστιν ἡ ἐγκρά-
τεια καὶ ἀκρασία περὶ ἐπιθυμίας καὶ ἡδονὰς σωματικὰς, δῆλον
αὐτῶν δὲ τούτων τὰς διαφορὰς λεπτέον· ὥσπερ γὰρ εἴρηται
κατ' ἀρχὰς, αἱ μὲν ἀνθρωπικαί εἰσι καὶ φυσικαὶ, καὶ τῷ γένει καὶ
τῷ μεγέθει· αἱ δὲ θηριώδεις· αἱ δὲ, καὶ διαπηρώσεις καὶ νοσήματα·
τούτων δὲ περὶ τὰς πρώτας, σωφροσύνη καὶ ἡ ἀκρασία μόνον
ἐστί· διὸ καὶ τὰ θηρία, οὔτε σώφρονα οὔτε ἀκόλαστα λέγομεν· ἀλ-
λ' ἢ κατὰ μεταφοράν· καὶ εἴ τινι ὅλως ἄλλο πρὸς ἄλλο δια-
φέρει γένος τῶν ζώων ὕβρει καὶ σινομωρίᾳ καὶ τῷ παμφάγον εἶναι· οὐδὲ
ἔχει προαίρεσιν, οὐδὲ λογισμόν· ἀλλ' ἐξέστηκε τῆς φύσεως ὥς-

περ οἱ μαινόμενοι τῶν ἀνῶν· ἔλαττον δὲ θηριότης κακίας·
φοβερώτερον δὲ· οὐ γὰρ διέφθαρται τὸ βέλτιστον, ὥσπερ ἐν τῷ ἀνῷ,
ἀλλ' ἡμάρτηται καὶ οὐκ ἔχει· ὅμοιον οὖν, ὥσπερ ἄψυχον συμβα-
λεῖν πρὸς ἔμψυχον· πότερον κάκιον· ἀσθενεστέρα γὰρ ἡ φαυ-
λότης ἀεὶ ἡ τοῦ μὴ ἔχοντος ἀρχήν· ὁ δὲ νοῦς, ἀρχή· πρὰ πλήσιον
οὖν τὸ συμβάλλειν ἀδικίαν πρὸς ἄνον ἄδικον· ἔστι γὰρ ὡς ἑκάτε-
ρον κάκιον· μυρία πλάσια γὰρ ἂν κακὰ ποιήσειεν ἄνος κακὸς
θηρίου· περὶ δὲ τὰς διαφῆς καὶ γεύσεως ἡδονὰς καὶ λύπας καὶ πρὶ
θυμίας καὶ φυγὰς, περὶ ἃς ἥτε ἀκολασία καὶ ἡ σωφροσύνη, διω-
ρίσθη πρότερον· ἔστι μὲν οὕτως ἔχειν, ὥστε ἡττᾶσθαι καὶ ὧν ἡ πολ-
λοὶ κρείττους· ἔστι δὲ κρατεῖν, καὶ ὧν οἱ πολλοὶ ἥττους· τούτων δ'
ὁ μὲν περὶ ἡδονὰς, ἀκρατής· ὁ δ' ἐγκρατής· ὁ δὲ, περὶ λύπας μα-
λακός· ὁ δὲ, καρτερικός· μεταξὺ δὲ τῶν πλείστων ἕξεις, κἂν εἰ ῥέπω-
σι μᾶλλον πρὸς τὰς χείρους· ἐπεὶ δ' εἰνιαι τῶν ἡδονῶν ἀναγκαῖαί
εἰσιν· αἱ δ' οὔ· καὶ μέχρι τινός· αἱ δ' ὑπερβολαὶ, οὔ· οὐ δὲ αἱ ἐλλείψεις·
ὁμοίως δὲ καὶ περὶ πρὶ θυμίας ἔχει καὶ λύπας· ὁ μὲν, τὰς ὑπερ-
βολὰς διώκων τῶν ἡδέων, ἢ καθ' ὑπερβολὰς· ἢ διὰ προαίρεσιν, ἢ
δι' αὐτὰς, καὶ μηδὲν δι' ἕτερον ἀποβαῖνον, ἀκόλαστος· ἀνάγκη γὰρ
τοῦτον μὴ εἶναι μεταμελητικόν· ὥστ' ἀνίατος· ὁ γὰρ μὴ μετα-
μελητικὸς ἀνίατος· ὁ δὲ ἐλλείπων, ὁ ἀντικείμενος· ὁ δὲ μέσος,
σώφρων· ὁμοίως δὲ καὶ ὁ φεύγων τὰς σωματικὰς λύπας, μὴ δι'
ἧτταν, ἀλλὰ διὰ προαίρεσιν· τῶν δὲ μὴ προαιρουμένων, ὁ μὲν ἄγετ'
διὰ τὴν ἡδονήν· ὁ δὲ, διὰ τὸ φεύγειν τὴν λύπην τὴν ἀπὸ τῆς πρὶ θυ-
μίας· ὥστε διαφέρουσιν ἀλλήλων· παντὶ δ' ἂν δόξειε χείρων εἶναι,
εἴ τις μὴ πρὶ θυμῶν ἢ ἠρέμα πράττοι τὶ αἰσχρόν· ἢ εἰ σφόδρα πρὶ θυ-
μῶν ἢ εἰ μὴ ὀργιζόμενος τύπτει· ἢ εἰ ὀργιζόμενος, τί γὰρ ἂν ἐποίει
ἐν πάθει ὤν· διὸ ὁ ἀκόλαστος χείρ τοῦ ἀκρατοῦς· τῶν δὲ λεχθέντων, τὸ
μὲν, μαλακίας εἶδος μᾶλλον, ὁ δ' ἀκόλαστος· ἀντίκειται δὲ τῷ μὲν
ἀκρατεῖ, ὁ ἐγκρατής· τῷ δὲ μαλακῷ, ὁ καρτερικός· τὸ μὲν ἐκ τε-

ρεῖν

ρεῖν ὄστιν, ἢ τῷ αὐτίχειν· ἡ δὲ ἐγκράτεια, ἢ τῷ κρατεῖν· ἕτερον δὲ τὸ αὐτίχειν, τοῦ κρατεῖν, ὥς περ καὶ τὸ μὴ ἡττᾶσθαι τοῦ νικᾶν· διὸ καὶ αἱρετώτερον ἐγκράτεια καρτερίας ὄστιν· οἱ ἐλλείποντες πρὸς ἃ οἱ πολλοὶ καὶ αὐτιτείνουσι καὶ δύνανται· οὗτος μαλακὸς καὶ τρυφῶν· ἀγρὴ ἡ τρυφή, μαλακία τίς ὄστιν, οἷα ἕλκει τὸ ἱμάτιον ἵνα μὴ πονῇ τὴν ἀπὸ τοῦ ἀέρος λύπην καὶ μιμούμενος τὸν κάμνοντα, οὐκ οἴεται ἆθλιος εἶναι ἀθλίῳ ὁμοίως ὤν· ὁμοίως δὲ ἔχει καὶ περὶ ἐγκράτειαν καὶ ἀκρασίαν· οὐ γὰρ εἴ τις ἰσχυρῶς καὶ ὑπερβαλλόντως πρὸς ἡδονὰς ἡττᾶται καὶ λυπῶν, τοῦτον μὲν ἐγκρατῆ, οὐδὲ τὸν ἀντιτείνοντα ὡς τὸν τοῦ ἐχέφρονος τοῦ πλῆθος, ἢ ὀξὺν ἢ σκληρὸν ὄντα, οὐδὲ τὸν ἀλόπηκα κύνα, καὶ ὡς περ οἱ κατέχειν πειρώμενοι τέλος τὰ ἀθρόον ἐκκαίζουσιν, οἷον σιωπῶντες ἐξηφάνησαν· ἀλλ' εἴτις πρὸς ἃς οἱ πολλοὶ δύνανται αὐτέχειν, λύπων ἡττᾶται καὶ μὴ δύναται αὐτιτείνειν μὴ διὰ φύσιν τοιοῦτος ἢ διὰ νόσον, ὥς περ ἐν τοῖς σκυθῶν βασιλεῦσιν ἡ μαλακία διὰ γένος ἐστί, καὶ ὡς θῆλυς πρὸς τὸ ἄρρεν διέκειτο· δηλοῖ δὲ καὶ ὁ παιδεραστὴς ἀκόλαστος εἶναι· ὅτι δὲ μαλακία· ἡ γὰρ παιδιά, ἀνέσις ὄστιν εἰς πηδοῦν καὶ ἀνάπαυσις· τῶν δὲ πρὸς ταῦτα ὑπερβαλλόντων ὁ τοιοῦτος παιδεραστὴς ὄστιν· ἀκρασίας δὲ, τὸ μὲν προπέτεια· τὸ δὲ, ἀσθένεια· οἱ μὲν γὰρ βουλεύσαντες οὐκ ἐμμένουσιν οἷς ἐβουλεύσαντο διὰ τὸ πάθος· οἱ δὲ, διὰ τὸ μὴ βουλεύσασθαι, ἄπονον ὑπὸ τοῦ πάθους· ἔνιοι δὲ ὥσπερ προθυπαλείσαντες, ἀθληπαλείζουσι, οὕτω καὶ προαισθόμενοι καὶ προϊδόντες καὶ προεγείραντες ἑαυτοὺς καὶ τὸν λογισμόν, οὐχ ἡττῶνται ὑπὸ τοῦ πάθους· οὔτ' ἂν ἡδύ ᾖ, οὔτ' ἂν λυπηρόν· μάλιστα δὲ οἱ ὀξεῖς καὶ μελαγχολικοὶ τῶν προπετῶν ἀκρασίαν εἰσὶν ἀκρατεῖς· οἱ μὲν γὰρ διὰ τὸ ταχύτητα· οἱ δὲ, διὰ τὸ σφοδρότητα οὐκ ἀναμένουσι τὸν λόγον διὰ τὸ ἀκολουθητικοὶ εἶναι τῇ φαντασίᾳ· ὅτι δὲ ὁ ἀκόλαστος ὥσπερ ἐλέχθη, οὐ μεταμελητικός· ἐμμένει γὰρ τῇ προαιρέσει· ὁ δὲ ἀκρατὴς, μεταμελητικός πως· διὸ οὐχ ὡσ-

περ ἠπορήσαμεν οὕτω καὶ ἔχει, ἀλλ' ὁ μὲν, εὐίατος· ὁ δὲ ἀ-
νίατος· ἔοικε γὰρ ἡ μὲν μοχθηρία τῶν νοσημάτων, οἷον ὑδέ-
ρῳ καὶ φθίσει· ἡ δ' ἀκρασία τοῖς ἐπιληπτικοῖς· ἡ μὲν γὰρ συνεχὴς
ἡ δὲ οὐ συνεχής, πονηρία· πόλως δὲ ἕτερον τὸ γένος ἀκρασίας καὶ
κακίας· ἡ μὲν γὰρ κακία λανθάνει· ἡ δὲ ἀκρασία, οὐ λανθάνει·
αὐτῶν δὲ τούτων βελτίους οἱ ἐκστατικοί· ἢ οἱ τὸν λόγον ἔχοντες
μὲν, μὴ ἐμμένοντες δὲ· ὑπ' ἐλάττονος γὰρ πάθους ἡττῶνται καὶ
οὐκ ἀπροβούλευτοι ὥσπερ ἄτεροι· ὅμοιος δὲ ὁ ἀκρατής ἐστι τοῖς
ταχὺ μεθυσκομένοις, καὶ ὑπὸ ὀλίγου οἴνου καὶ ἐλάττονος ἢ ὡς οἱ
πολλοί· ὅτι μὲν οὖν κακία ἡ ἀκρασία οὐκ ἔστι, φανερόν· ἀλλὰ
πηίσωσ· τὸ μὲν γὰρ παρὰ προαίρεσιν, τὸ δὲ κατὰ προαίρεσίν
ἐστιν· οὐ μὴν ἀλλ' ὅμοιόν γε κατὰ τὰς πράξεις, ὥσπερ τὸ δημοδό-
κου εἰς μιλησίους· μιλήσιοι γὰρ, ἀξύνετοι μὲν οὐκ εἰσί· δρῶσι δὲ,
οἷά περ οἱ ἀξύνετοι· καὶ οἱ ἀκρατεῖς, ἄδικοι μὲν οὐκ εἰσὶν ἀδι-
κοῦσι δὲ· ἐπεὶ δὲ ὁ μὲν τοιοῦτός ἐστιν, οἷος διὰ τὸ μὴ πεπεῖσθαι διώ-
κειν τὰς καθ' ὑπερβολὴν καὶ παρὰ τὸν ὀρθὸν λόγον σωματικὰς
ἡδονάς· ὁ δὲ, πέπεισται διὰ τὸ τοιοῦτος εἶναι, οἷος διώκειν αὐτάς·
ἐκεῖνος μὲν εὐμετάπειστος· οὗτος δὲ, οὔ· ἡ γὰρ ἀρετὴ καὶ μοχθηρία
τὴν ἀρχὴν, ἡ μὲν φθείρει· ἡ δὲ σώζει· ἐν δὲ ταῖς πράξεσι τὸ οὗ ἕνε-
κα ἀρχή· ὥσπερ ἐν τοῖς μαθηματικοῖς αἱ ὑποθέσεις· οὔτε δὴ ἐκεῖ
ὁ λόγος διδασκαλικὸς τῶν ἀρχῶν· οὔτε ἐν ταῦθα· ἀλλ' ἀρετὴ,
ἢ φυσικὴ ἢ ἠθικὴ τοῦ ὀρθοδοξεῖν περὶ τὴν ἀρχήν· σώφρων μὲν οὖν
ὁ τοιοῦτος· ἀκόλαστος δὲ ὁ ἐναντίος· ἔστι δέ τις διὰ πάθος ἐκστα-
τικὸς διὰ τὸν ὀρθὸν λόγον· ὃν ὥστε μὲν μὴ πράττειν κατὰ τὸν
ὀρθὸν λόγον, κρατεῖ τὸ πάθος· ὥστε δ' εἶναι τοιοῦτον οἷον πεπεῖ-
σθαι διώκειν ἀναίδην δεῖν τὰς τοιαύτας ἡδονὰς, οὐ κρατεῖ· οὗτος
ἐστιν ὁ ἀκρατὴς, βελτίων ὢν τοῦ ἀκολάστου· οὐδὲ φαῦλος ἁπλῶς
σώζεται γὰρ τὸ βέλτιστον ἡ ἀρχή· ἄλλος δ' ἐναντίος ὁ ἐμμενε-
νετικὸς καὶ οὐκ ἐκστατικὸς διά τε τὸ πάθος· φανερὸν δὲ ἐκ τού-
του, ὅτι ἡ μὲν σπουδαία ἕξις· ἡ δὲ, φαύλη· πότερον οὖν ἐγκρα-

τὴς

τής ἐστιν ὁ πριῳῦν λόγῳ· καὶ ὁ πριᾳῦν προαιρέσει, ἐμμένων, ἢ ὁ τῇ ὀρ-
θῇ· καὶ ἀκρατὴς δὲ ὁ ὁ πριᾳῦν μὴ ἐμμένων προαιρέσει· καὶ ὁ πριῳῦν
λόγῳ, ἢ ὁ τῷ ψευδεῖ λόγῳ καὶ τῇ προαιρέσει τῇ μὴ ὀρθῇ, ὥς περ ἠπο-
ρήθη πρότερον ἢ κατὰ συμβεβηκὸς ὁ πριᾳῦν· καθαὺ τὸ ὃ ὁ τῷ ἀλη-
θεῖ λόγῳ καὶ τῇ ὀρθῇ προαιρέσει· ὁ μὲν, ἐμμένει· ὁ δὲ οὐκ ἐμμένει·
εἰ γὰρ τις τοῦ διὰ τοῦ διαίρεῖται ἢ διώκει, καθαὺ τὸ μὲν τοῦ τοῦ διώκει
καὶ αἱρεῖται, κατὰ συμβεβηκὸς δὲ τὸ πρότερον· ἁπλῶς δὲ λέγο-
μεν τὸ καθαὺ τό· ὥς τε, ἔστι μὲν ὡς ὁ πριᾳοῦν δόξῃ· ὁ μὲν, ἐμμένει·
ὁ δὲ, ἐξίσταται· ἁπλῶς δὲ ὁ τῇ ἀληθεῖ· εἰσὶ δέ τινες οἱ ἐμμενετι-
κοὶ τῇ δόξῃ· εἰσὶ δ' οὓς καλοῦσιν ἰσχυρογνώμονας, οἷον Δύσπειστοι
καὶ εὐμετάπειστοι· οἱ ὅμοιον μέντι ἔχουσι τῷ ἐγκρατεῖ· οἷον ὁ ἄσω-
τος ἐλευθερίῳ, καὶ ὁ θρασὺς τῷ θαρραλέῳ, εἰσὶ δ' ἕτεροι κατὰ πολ-
λά· ὁ μὲν γὰρ διὰ πάθος καὶ ἀπιθυμίαν οὐ μεταβάλλει ὁ ἐγκρα-
τὴς· ἐπεὶ εὔπειστος ὅταν τύχῃ, ἔσται ὁ ἐγκρατής· ὁ δὲ, οὐχ ὑπὸ λό-
γου· ἐπεὶ ἀπιθυμίας γε λαμβάνουσι, καὶ ἄγοντι πολλοὶ ὑπὸ τῶν ἡδονῶν·
εἰσὶ δὲ ἰσχυρογνώμονες οἱ ἰδιογνώμονες καὶ οἱ ἀμαθεῖς καὶ οἱ ἄγροι-
κοι· οἱ μὲν ἰδιογνώμονες, διὰ ἡδονὴν καὶ λύπην· χαίρουσι γὰρ νικῶν-
τες ἐὰν μὴ μεταπείθωνται· καὶ λυπροῦνται, ἂν ἄκυρα τὰ αὐτῶν
ᾖ, ὥς περ ψηφίσματα· ὥστε μᾶλλον τῷ ἀκρατεῖ ἐοίκασιν ἢ τῷ
ἐγκρατεῖ· εἰσὶ δέ τινες, οἳ τοῖς δόξασιν οὐκ ἐμμένουσιν, οὐ διὰ ἀ-
κρασίαν· οἷον ἐν τῷ φιλοκτήτῃ τοῦ σοφοκλέους ὁ νεοπτόλεμος·
καίτοι διὰ ἡδονὴν οὐκ ἐνέμεινεν, ἀλλὰ καλήν· τὸ γὰρ ἀληθεύειν αὐτῷ
καλὸν ἦν· ἐπείσθη δ' ὑπὸ τοῦ ὀδυσσέως ψεύδεσθαι· οὐ γὰρ πᾶς ὁ διὰ
δονήν τι πράττων ἐστὶν ἀκόλαστος, οὔτε φαῦλος, οὔτε ἀκρατὴς· ἀλ-
λ' ὁ διαισχρὰν· ἐπεὶ δ' ἔστι τὶς καὶ τοιοῦτος οἷος ἧττον ἢ δεῖ τοῖς σωμα-
τικοῖς χαίρων, καὶ οὐκ ἐμμένων τῷ λόγῳ ὁ τοιοῦτος, τούτου καὶ τοῦ
ἀκρατοῦς μέσος ὁ ἐγκρατής· ὁ μὲν γὰρ ἀκρατὴς, οὐκ ἐμμένει
τῷ λόγῳ διὰ τὸ μᾶλλόν τι· οὗτος δὲ διὰ τὸ ἧττόν τι· ὁ δ' ἐγκρατὴς
ἐμμένει, καὶ οὐ δὲ διέτερον μεταβάλλει· δεῖ δὲ εἴπερ ἡ ἐγκράτεια
σπουδαῖον, ἀμφοτέρας τὰς ἐναντίας ἕξεις φαύλας εἶναι ὥσ-

περὶ φαίνονται, ἀλλὰ διὰ τὸ τὴν ἐτέραν ὀλίγοις καὶ ὀλιγάκις εἶναι φανεράν, ὥσπερ ἡ σωφροσύνη τῇ ἀκολασίᾳ δοκεῖ ἐναντίον εἶναι μόνον, οὕτω καὶ ἡ ἐγκράτεια τῇ ἀκρασίᾳ. ἐπεὶ δὲ καθ' ὁμοιότητα πολλὰ λέγεται, καὶ ἡ ἐγκράτεια ἡ τοῦ σώφρονος, καθ' ὁμοιότητα ἀκολουθήκασιν. ὅτι γὰρ ἐγκρατὴς οἷον μηδὲν παρὰ τὸν λόγον, διὰ τὰς σωματικὰς ἡδονὰς ποιεῖ καὶ ὁ σώφρων· ἀλλ' ὁμὲν ἐπιθυμίαν ἔχων· ὁδ' οὐκ ἐπιθυμίαν φαύλας· ὁμὲν τοιοῦτος, οἵος μὴ ἡδέως παρὰ τὸν λόγον· ὁδ' οἷος ἥδεται· ἀλλὰ μὴ ἀγεσθαι. ὅμοιοι δὲ καὶ ὁ ἐγκρατὴς καὶ ὁ ἀκόλαστος· εἰσὶ μὲν γὰρ οἵτινες, ἀμφότεροι δὲ τὰ σωματικὰ καὶ ἡδέα διώκουσιν· ἀλλ' ὁμὲν, καὶ οἰόμενος δεῖν, ὁδ' οὐκ οἰόμενος· οὐδ' ἄμα φρόνιμον καὶ ἀκρατῆ οὐδένα ἔστιν εἶναι τὸν αὐτὸν· ἅμα γὰρ φρόνιμος καὶ πονηρὸς οὐδεὶς ὁ ἦθος δεδηγμένος· ἔτι οὐδὲ δεινὸν μόνον φρόνιμος, ἀλλὰ καὶ τῷ πρακτικὸς· ὁδ' ἀκρατὴς, οὐ πρακτικός· τὸν δὲ δεδημόλυ οὐδὲν κωλύει ἀκρατῆ εἶναι· διὸ καὶ δοκοῦσιν ἐνίοτε φρόνιμοι εἶναί τινες ἀκρατεῖς δέ, διὰ τὸ τὴν δεδηνότητα διαφέρειν τῆς φρονήσεως τῷ εἰρημένῳ τρόπῳ, ἐγγὺς τοῖς πρώτοις λόγοις καὶ κατὰ μὲν τὸν λόγον ἐγγὺς εἶναι· διαφέρειν δὲ κατὰ τὴν προαίρεσιν· ὥστε δεῖ ὡς εἰδέναι καὶ θεωρεῖν, ἀλλ' ὡς ὁ καθεύδων ἢ ὁ οἰνωμένος καὶ ἐκὼν μὲν· τρόπον γάρ τινα εἰδὼς καὶ ὁ ποιεῖ καὶ οὗ ἕνεκα· ὁ πονηρὸς δ' οὔ· ἡ γὰρ προαίρεσις, ὡς φαμὲν, ὡς ἁπλῶς ἐστὶ πονηρὸς καὶ οὐκ ἀδικος· οὐ γὰρ ἐπιβουλος· ὁ μὲν γὰρ αὐτῶν, οὐκ ἐμμενετικὸς, οἷος αἱ βουλήσεται· ὁδὲ μελαγχολικὸς, οὐδὲ βουλευτικὸς ὅλως· καὶ ἔοικε δεινὸς ὁ ἀκρατὴς πράξαι ἢ ψηφίζεται μὲν ἃ δεῖ τε τὰ δέοντα, καὶ νόμου ἔχει σπουδαίους, χεῖται δ' οὐδενὶ ὡς παρὰ ἄξαν δρᾶν ἐσκωψεν· ἢ πόλις ἐβούλεθ' ἃ νόμῳ οὐδὲν μέλει· ὁδὲ πονηρὸς, χαίρει μὲν τοῖς νόμοις, πονηροῖς δὲ χαίρει μὲν· ὅτι δ' ἀκρασία καὶ ἐγκράτεια ὡς εἰ τὸ ὑπερβάλλον φύσει τῶν πολλῶν ἕξεως· ὁμὲν γὰρ ἐμμένει μᾶλλον· ὁδ' ἧττον φύσει τῶν πλείστων δυσκίνητος· δύο δὲ τοιαῦτα ἀκρασιῶν ἐστὶν εἴδη· τὸ μὲν γὰρ προπέτεια, τὸ δὲ ἀσθένεια· οἱ μὲν γὰρ μετὰ τὸ βουλεύσασθαι μὴ ἐμμένουσι

μὴ ἐμμένοντων

μὴ ἐμ μηδόντων δὲ, καὶ οἱ δὲ θισμοῦ ἀκρατεῖς τῶν φυσικῶν. ἔᾳ ου γὰρ ἔθος μεταβιβάσαι φύσεως, διὰ γὴς τοῦ τοῦ καὶ τὸ ἔθος χαλε
" πὸν, ὅτι τῇ φύσει ἐοικεν· ὡς περὶ ἀνθρώπου λέγει. φημὶ πολυχρόνι
" ον μελέτην ἐμμαι φίλε· καὶ δὴ ταύτην αἱ οἱ τελῶσαν φύ
" σιν εἶναι. τὸ μὲν δὴ ἐγκρατεῖς εἶναι τὸ ἀκρασίας καρτερίαν μὴ μα
λακίαν, καὶ ὧν ἔχουσιν αἱ ἕξεις αὐτοῖς πρὸς ἡδονὰς, εἴρηται· περὶ δὲ ἡδονῆς καὶ λύπης θεωρῆσαι τοῦ τὴν πολιτικὸν φιλοσο-φοῦντος· οὗτος γὰρ τοῦ τέλους ἀρχιτέκτων πρὸς ὃ βλέποντες ἕ κασον, τὸ μὲν, κακὸν· τὸ δ' ἀγαθὸν ἁπλῶς λέγομεν· ἔτι δὲ καὶ τῶν ἀναγκαίων ὠήσεται ἔφαθαι περὶ αὐτῶν· τὸν τε γὰρ ἀρετὴν καὶ τὴν κακίαν τὴν ἠθικὴν, περὶ λύπας καὶ ἡδονὰς, ἔθεμεν· καὶ τὸν ὠδεμονίαν οἱ πλεῖστοι μεθ' ἡδονῆς εἶναί φασι· διὸ καὶ τὸν μακαρι ον ὠνομάκασιν ἀπὸ τοῦ χαίρειν· τοῖς μὲν οὖν δοκεῖ, οὐδεμία ἡδο-νὴ εἶναι ἀγαθὸν· οὔτε καθ' αὐτὸ, οὔτε κατὰ συμβεβηκός· οὐγὴς εἶ-ναι τὸ αὐτὸ ἀγαθὸν καὶ ἡδονὴν· τοῖς δ' ἔνιαι μὲν εἶναι· αἱ δὲ πολ-λαὶ, φαῦλαι· ἔτι δ' τούτων τρίτον, εἶναι πᾶσαν ἀγαθὸν, ὅμως μὴ ἐνδέχεσθαι εἶναι τὸ ἄριστον ἡδονήν· ὅλως μὲν οὖν οὐκ ἀγαθόν· ὅτι πᾶσα ἡδονὴ γένεσίς ἐστιν εἰς φύσιν αἰσθητή· οὐδεμία γὰρ γένεσις συμφωνεῖ τοῖς τέλεσιν· οἷον οὐδεμία οἰκοδόμησις οἰκία· ἔτι δὲ σώ-φρων φεύγει τὰς ἡδονάς· ἔτι ὁ φρόνιμος· τὸ ἄλυπον διώκει, οὐδὲ ἡ-δὺ· ἔτι ἐμπόδιον τῷ φρονεῖν, αἱ ἡδοναί· καὶ ὅσῳ μᾶλλον χαίρει, μᾶλ λον· οἷον τῶν ἀφροδισίων· οὐδέποτε γὰρ δύναται μὴ ἔσεσθαι τινὰ αὐ τῇ· ἔτι τέχνη οὐδεμία ἡδονῆς· καὶ τοι πᾶν ἀγαθὸν, τέχνης ἔργον· ἔτι τὰς παιδείας διὰ τοῦ πόνου τὰ θεῖα διώκει τὰς ἡδονάς· τοῦ μὴ πάσας ἀπου-δαίας ὅτι εἰσὶ καὶ αἰσχραὶ καὶ ὀνείδιζόμεναι, καὶ ὅτι βλαβεραί· νοσῶ δη γρεῖαι τῶν ἡδέων· ὅτι δ' οὐκ ἄριστον ἡ ἡδονὴ, ὅπου τέλος, ἀλλὰ γένεσις· τὸ μὲν οὖν λεγόμενα ἀφ' ὧν τοῦτ' ἔστιν· ὅτι δ' οὐ συμβαί-νει διὰ ταῦτα μὴ εἶναι ἀγαθὸν μηδ' ἄριστον, ἐκ τῶν δεδηλωμένων· πρῶ-τον μὲν, ἐπεὶ τὸ ἀγαθὸν διχῶς· τὸ μὲν γὴς ἁπλῶς, τὸ δὲ, τινί· καὶ αἱ φύσεις καὶ αἱ ἕξεις ἀκολουθήσουσιν· ὥστε καὶ αἱ κινήσεις καὶ αἱ γένε-

σεις ἀκολουθήσουσι· ἡ μὲν φαυλαι δικοῦσαι, ἁπλῶς φαῦλαι· τὴν δὲ οὐ, ἀλλ' αἱρεταὶ τῶν δε ἕνεκα αὐτῶν, οὐ τῶν δε, ἀλλ' ἀποτελεσταὶ ὁλίγου· αἱρεταὶ δὲ οὐ· αἱ δὲ, οὐδὲ ἡδοναὶ, ἀλλὰ φαίνονται ὅσαι μετὰ λύπης καὶ ἰατρείας γίνεσθαι· οἷον αἱ τῶν καμνόντων· ἔτι πεῖ δὲ ἀγαθοῦ τὸ μὲν ἐνέργεια, τὸ δὲ ἕξις κατὰ συμβεβηκός, αἱ καθιστῶσαι· εἰσὶ τὴν φύσιν ἕξιν ἡδεῖαι εἶναι εἰσιν· ὅτι δὲ οὐχ ὁρῶμεν ταῖς ἐπιθυμίαις φθορὰ πολύπους ἕξεως καὶ φύσεως· ἐπεὶ καὶ ἀνύβριστος καὶ ὧν θυμίας εἰσὶν ἡδοναί· οἷον αἱ τοῦ θεωρεῖν μανθάνειν φύσεως οὐκ ὄντος· σημεῖον δ' ὅτι οὐ τῷ αὐτῷ ἡδεῖα χαίρουσιν, ἀλλ' ἀπληρώτου μένης τῆς φύσεως καὶ καθεστηκυίας μὴ ῥᾳδίως ἡδέσιν· ἀλλ' ἁπλῶς μὲν καὶ τοῖς ἐναντίοις· καὶ γὰρ ὀξέσι καὶ πικροῖς χαίρουσιν· οὐ γὰρ οὐδὲν οὔτε φύσει ἡδύ, οὔθ' ἁπλῶς ἡδύ· ὡς τε οὐδ' αἱ ἡδοναὶ· ὡς γὰρ τὰ ἡδέα πρὸς ἄλληλα σωφρόνησιν, οὕτω καὶ αἱ ἡδοναὶ αἱ ἀπὸ τούτων· ἐπουκ ἀνάγκη ἕτερόν τι εἶναι βέλτιον φρονήσεως, ὡς περ τινές φασι τὸ τέλος φρονήσεως· οὐ γὰρ φρονήσεις εἰσὶν αἱ ἡδοναὶ· οὐδὲ μετὰ φρονήσεως πᾶσαι· ἀλλ' ἐνέργειαι καὶ τέλος, οὐδενὸς μὴ γιγνομένου συμβαίνουσιν, ἀλλὰ χωρὶς μὲν· καὶ τέλος οὐ πασῶν ἕτερόν τι, ἀλλὰ τῶν εἰς τὴν τελείωσιν ἀγούσῶν φύσεως· διὸ καὶ οὐκ ἀκαλῶς ἔχει τὸ αἰσθητὴν τὴν φρόνησιν φαίνεσθαι μαστὴν ἡδονήν, ἀλλὰ μᾶλλον λεκτέον ἐνέργειαν φρονήσεως κατὰ φύσιν ἕξεως· αὐτὴν δὲ τὴν αἰσθητὴν, ἀνεμπόδιστον· δοκεῖ δὲ ἡδονὴν τισὶν εἶναι, ὅτι κυρίως ἀγαθὸν τὴν ἐνέργειαν, ἡδονὴν οἴονται εἶναι· ὅτι δὲ ἕτερον· τὸ δὲ εἶναι φαύλας, ὅτι νοσώδη μία ἡδέα, τὸν αὐτὸν τρόπον ἐστὶν ὑγίεια, ἐνίαις φαύλα πρὸς χρηματισμόν· ταύτην οὖν φαῦλα ἀμφω, ἀλλ' ὄφαῦλα κατά γε τοῦτο· ἐπεὶ τὸ θεωρεῖν ποτὲ βλαπτικὸν πρὸς ὑγίειαν ἐμποδίζει δὲ ὅτι φρονήσει, οὐθ' ἕξις ἡδονὴ ἁφ' ἑκάστης ἡδονή, ἀλλὰ αἱ ἀναγκαῖαι· ἐπεὶ αἱ ἀπὸ τοῦ θεωρεῖν μανθάνειν, μᾶλλον ποιήσουσι θεωρεῖν τὸ μανθάνειν· τὸ δὲ τέλος μηδεμίαν ἡδονὴν μηδεμίαν ἡδονὴν, ἀναγκαῖον συμβέβηκεν· ὅτι τῶν ἀλλοτρίων ἐνεργειῶν οὐδεμία ἐστὶν ἡδονή· ἀλλὰ φθορᾶς μέντοι ἀναγκαῖον καὶ

καὶ

καὶ ἡ μυρεψική, τέχνη· καὶ ὁ φρόνιμος τὴν δεῖ ἡδονὴν εἶναι· τὸ δὲ τὸ σώφρονα φεύγ, καὶ τὸ φρόνιμον διώκειν τὸ λυπηρόν ἐστιν, καὶ τὸ τὰς τροφὰς καὶ τὰ θηλίας διώκειν, τῷ αὐτῷ λύεται πάντα. Ἐπεὶ δ' εἰρηται πῶς ἀγαθαὶ αἱ φιλίαι, καὶ πῶς οὐκ ἀγαθαὶ πᾶσαι αἱ φιλίαι, τὰς τοιαύτας τὰ τροφεῖα διώκει, καὶ τὰ θηλίας διώκειν, καὶ τὸν τούτων ἀλυπότατον φρόνιμον, τὰς μετ' ἡδονῆς καὶ λύπης τὰς σωματικάς· τοιαῦται γὰρ αὗται καὶ τοὺς τούτων πρὸς ὀλὰς καθ' αὑτὸ ἀκόλαστος, ἀκόλαστος· δὲ τοσοῦτος φεύγειν ταύτας· ἐπεὶ εἰσὶν ἡδοναὶ καὶ σώφρονος· αἷς μᾶλλόν τις καὶ ἥδεται, τῷ ὢν ἐμπρόσθεν καὶ φίλος· ἢ μὴν γὰρ ἁπλῶς κακὸν ἡδύ, τῷ ὢν ἐμπρόσθεν καὶ φίλος· τῷ δὲ φίλος εἶναι τὸ ἐναντίον, ἢ φίλος τόν τις καὶ κακὸν, ἀγαθὸν· ἀναγκαῖον δὴ τὴν ἡδονὴν ἀγαθόν τι εἶναι· ὡσαύτως δὲ ἐλύγ, οὐ συμβαίνει λύσις· ὡς περὶ μεῖζον τῷ ἐλάττονι, καὶ τῷ ἴσῳ τὸ ἐναντίον· οὐ γὰρ αὖ φαίνεται κακόν τι εἶναι τὴν ἡδονήν· ἀρ' ἴσον δ' οὐδὲν κωλύει εἶναι ἡδονὴν λύπῃ τινα, εἰ γίνεται φαύλαι ἡδοναὶ, ὥσπερ καὶ ὠδὴ μέλι τινά, ἐνίων φαύλων ὄντων· ἴσως δὴ καὶ ἀναγκαῖον ἐπειδὴ κάσης ἕξεώς εἰσιν ἐνέργειαι αἱ μὲν ἀτελεῖς, αἱ δ' ἐντελεῖς, αἱ δὲ ἀτελὴς ἐνέργειά ἐστιν, ἡδονὴ μορία, εἴτε τὴν ὁσαυτῶν, αἱ δὲ καὶ μᾶλλον ἐντελὴς, αἱρετὼ τοῦτο εἶναι· τοῦτο δ' ὅτι ἡδονή· ὥστε εἰ καὶ τις ἡδονὴ τὸ αἱρετὸν, πολλαὶ ἡδοναὶ φαύλαι οὐσαὶ εἴη τυχὸν ἁπλῶς· καὶ διὰ τοῦτο φαίνεται πᾶσαι ἡδοναὶ οἷον ταυτὸν εἶναι· καὶ ἐμπλέκουσι τὴν ἡδονὴν εἰς τὴν εὐδαιμονίαν εὐλόγως· οὐδεμία γὰρ ἐνέργεια τέλος ἐμποδίζουσα δὲ εὐδαιμονίαν τῶν τελείων· διὸ πρόσκειται τοῖς εὐδαίμοσι τῶν σωμάτων ἀγαθὰ βέλτιστα εἶναι, καὶ φίλους τύχης, ὅπως μὴ ἐμποδίζωνται ταῦτα· οἱ δὲ, τὸν προχείρως, καὶ τὸν δυστυχίαις μεγάλαις ἐπιπίπτοντα, εὐδαίμονα φάσκοντες εἶναι, ἐὰν ᾖ ἀγαθὸς, ἢ ἑκόντες ἢ ἄκοντες, οὐδὲν λέγουσι· διὰ τὸ πρόσκειθαι φίλους τύχης, δοκεῖ τοσοῦτον εἶναι ἡ εὐτυχία τῇ εὐδαιμονίᾳ· οὐκ οὖσα· ἐπεὶ καὶ αὐτὴν ὑπερβάλλουσα, ἐμποδίζει ὅσον ὅτι· καὶ ἴσως δικαίως ἔτι δ' εὐτυχίαν καλεῖν δίκαιον· πρὸς γὰρ τὴν εὐδαιμονίαν ὁ ὅρος

αὐτῆς· ἡ γὰρ δὴ ὠκὺ μὲν ἅπαντα καὶ θερέα καὶ ἀνδρὸς τὴν ἡδονὴν, σημεῖόν τε εἶναί φασιν ἅπαντες τὸ μὴ ἡδέως ἄρεσθαι αὐτῇ· φήμη δ' οὐδεμία τοσοῦτον ἰσχύει παρ' ἡμῖν ἀλλ' οὐδὲ παροιμίαις πλοῖα φημί ξωσιν, ἀλλ' ἐπεὶ οὐχ ἁπλῶς τὴν ὅτι φύσις ἀθ' ἑξις ἁρεῖσθαι, οὐτ' ὄντα, ὅτι δοκεῖ, ἀδιάφορον τὴν ἡδονὴν διώκουσι τὴν αὐτὴν πάντες· ἁπλῶς γὰρ πάντ' ἴσως δὲ καὶ διώκουσιν, οὐχ ἣν οἴονται, οὐδ' ἣν αὐφαίνει, ἀλλὰ τὴν αὐτὴν πάντα γὰρ φύσει ἔχει τι θεῖον, ἀλλ' εἰ λήφασι τὴν τοῦ ὀνόματος κληρονομίαν, αἰσώματα καὶ ἡδοναὶ διὰ τοῦτο πολλάκις τὰ παραβάλλειν εἰς αὐτὰς, καὶ πάντας μετέχειν αὐτῶν· διὰ τὸ μόνας οὖν τυγχάνειν ταύτας μόνας, οἴονται εἶναι· φανερὸν δὲ καὶ ὅτι εἰ μὴ ἡδονὴ ἀγαθὸν καὶ ἡ ἐνέργεια, οὐκ ἔσται ζῆν ἡδέως τὸν σπουδαῖον· τίνος γὰρ ἕνεκα δεῖ αὐτῆς, εἴπερ μὴ ἀγαθή, ἀλλὰ καὶ λυπηρῶς ἂν δέ γε ταύτης ζῴη· ἔτι καὶ κακὸν γὰρ, ὅτ' ἀγαθὸν ἡ λύπη, εἰ πέρ μηδ' ἡδονή· ὥστε δὲ καὶ τὰ αὐφαύλου· οὐ δεῖ δὴ ἡδέως ζῆν ὅσιος ὅτῳ καὶ σπουδαίου, εἰ μὴ καὶ αἱ ἐνέργειαι αὐτοῦ· περὶ δὲ δὴ τῶν σωματικῶν ἡδονῶν ἐπίσκεψις ἐστὶν οὐ τοῖς λέγουσιν ὅτι ἔνιαι εἰσὶν ἡδοναὶ, αἱρετὸν δ' ὄφρα· οἷον αἱ καλαὶ ἀλλ' οὐχὶ σωματικαί, καὶ περὶ ἃς ὁ ἀκόλαστος· διὰ τί γὰρ οὐκ εἶναι ταύτας λύπας μοχθηράς· καὶ γὰρ ἀγαθὸν μὲν αὐτῶν ἢ ὅτως ἔχειν αἱ αὐταὶ καὶ αἱ αὐταὶ, ὅτι καὶ τὸ μὴ κακὸν, ἀγαθὸν δ' οὔκ ἔστιν, ἢ μέχρι τοῦ ἀγαθαί· τῶν μὲν γὰρ ἐξεων καὶ κινήσεων ὅσων μὴ ἔστι παρὰ τὸ βέλτιον ὁ σύπερβολή· οὐ δὲ φλὴ ἡδονῆς· ὅσων δ' ἔστι, καὶ φλὴ ἡδονῆς ἔστι· τῶν δὲ σωματικῶν ἀγαθῶν ἔστιν ὑπερβολή· καὶ ὁ φαῦλος τοῦ διώκειν τὸν ὑπερβολὴν ἔστιν· ἀλλ' οὐ τὰς ἀναγκαίας· πάντες γὰρ χαίρουσί πως καὶ ὁμοίως καὶ οἴνοις καὶ ἀφροδισίοις, ἀλλ' οὐχ ὡσ δεῖ· ἐναντίως δὲ τῇ φλύπῃ· ἡ γὰρ τὸν ὑπερβολὴν φεύγει, ἀλλ' ὅλως· οὐ γὰρ ἔστι τῇ ὑπερβολῇ λύπης· ὃ γὰρ τὸν ὑπερβολὴν διώκοντι τὸν ὑπερβολήν· ἐπεὶ δ' ὁ μόνον δεῖ τὸ ἀληθὲς εἰπεῖν, ἀλλὰ καὶ τὸ αἴτιον τοῦ ψεύδους· τὸ γὰρ συμβάλλεται πρὸς τὴν πίστιν· ὅταν γὰρ δόλογον φανῇ, τὸ δὲ τὸ φαίνεται ἀληθὲς, οὐκ ὂν ἀληθὲς πιστεύφ τοιεῖ τῷ ἀληθεῖ μᾶλλον· ὥστε τὸν δὲ τὸ φαίνον τοῦ αἰσώματικὰ ἡδοναὶ

αἱρετώτεραι

αἱρετώτεραι· πρῶτον μὲν ὅτι ἀδιάφθορος ἡ ἐκ τῆς φρονήσεως τῶν λύπην· καὶ δι' ἃς τοὺς ὑπερβολὰς φλύαρος, ὡς ἀσθενείας τρέφας, τῶν ἡδονῶν διώκουσι τὰς ὑπερβαλλούσας, εἰ ὅλως τῶν σωματικῶν· σφοδραὶ δὲ πάντων αἱ ἀσθένειαι· διὸ καὶ διώκονται διὰ τὸ παρὰ τοῖς πολλοῖς φαίνεσθαι· καὶ οὐ πάντων δ' αἱρετὸν δοκεῖ ἡ ἡδονή, ἀλλὰ δύο ταῦτα ὥσπερ εἴρηται· ὅτι αἱ μὲν φαύλης φύσεως εἰσὶ πρόξενοι, ἢ ἐκ γενετῆς ὥσπερ θηρίου· ἢ διὰ ἔθος, οἷον αἱ τῶν φαύλων ἀνθρώπων· αἱ δ' ἀξίαι εἶναι ὅτι ὠφελοῦσι, καὶ ἔχειν βέλτιον ἢ μὴ πρᾶξαι· αἱ δὲ συμβαίνουσι τοῖς πρότερον μὴ ὄντων· καὶ τὰ συμβεβηκότα ἔστι μὲν οὐδαιά· ἔστι δὲ διώκονται διὰ τὸ σφοδραὶ εἶναι ὑπὸ τῶν ἀδυνάτων μὴ δυναμένων χαίρειν· αὐτοῖς γὰρ αὐτοῖς δι' ἀφασίαν παρασκευάζουσιν· ὅταν μὲν οὖν ἀβλαβεῖς, αὐτὸ τοῦτο μισητόν· ὅταν δὲ βλαβερὰς, φαῦλον· οὐδὲν γὰρ ἔχουσιν ἑτέραν, ἐφ' οἷς χαίρουσι· φασὶ δὲ τὸ μηδέτερον, πρὸς οἷς λυπεῖ διὰ τὴν φύσιν· ἀεὶ γὰρ πονεῖ τὸ ζῷον, ὡς περὶ καὶ οἱ φυσικοὶ λοιμαρτυροῦσι· τὸ ὁρᾶν· τὸ ἀκούειν, φάσκουσι δ' εἶναι λυπηρὸν, ἀλλ' ἤδη συνήθη ἐσομένων ὡς φασιν· ὁμοίως δ' ἐν μὲν τῇ νεότητι διὰ τὴν αὔξησιν, ὥσπερ οἱ οἶνοι μελαγχολικοὶ τὴν φύσιν, αἰεὶ δεόμενοι ἀξίας· καὶ ὁ τρόπος σωματικὸς μὲν ὢν διὰ τὴν κρᾶσιν· καὶ ἀεὶ ὀρέξεως σφοδρᾶς εἶναι· ἀβελαύνεται δὲ ἡδονῇ λύπην, ἢ τις ἀνία ἐστὶ καὶ ἡ τυχοῦσα ἐὰν ᾖ ἰσχυρά· καὶ διὰ ταῦτα ἀκόλαστοι καὶ φαῦλοι γίνονται· αἱ δ' ἄνευ λύπης, οὐκ ἔχουσιν ὑπερβολήν· οὐ τοιαῦται δ' αἱ τῶν φύσει ἡδέων ἀλλὰ μὴ κατὰ συμβεβηκός· λέγω δὲ τὰ κατὰ συμβεβηκὸς ἡδέα τὰ ἰατρεύοντα· ὅτι γὰρ συμβαίνει ἀξιοῦσθαι τοῦ ποιοῦντος ὑγιοῦς πράττοντός τι, διὰ τοῦτο ἡδὺ δοκεῖ εἶναι· φύσει δ' ἡδέα, ἃ ποιεῖ πρᾶξιν φλοιοῦ ἢ ἀνθρακίας· ἀλλ' οὐκ εἰσὶν οὐθὲν ἧττον ἡδέα διὰ τὸ μὴ ἀεὶ ὑγιαίνειν ἡμᾶς· ἐνδέχεται γὰρ ἐναντίον τι εἶναι καὶ ἕτερον καὶ τὸ φθαρτικὸν ὡς τοιοῦτόν τι θατέρου πρᾶξιν, οὐ γὰρ τῆς ἑτέρας φύσεως ἡ ἑτέρα φύσις· ὅταν δ' ἰσάζῃ, οὔτε λυπηρὸν δοκεῖ, οὔθ' ἡδὺ τὸ πραττόμενον· ἐπεὶ εἴρηται ἡ φύσις ἀεὶ κινεῖσθαι, ἀεὶ δ' ἀνάγκη τὴν πρᾶξιν ἡδεῖαν ἔσεσθαι· διὸ ὁ θεὸς ἀεὶ μίαν

καὶ ἁπλῶς χαίρει ἡδονῇ· οὐ γὰρ μόνον κινήσεως ἐστὶν ἐνέργεια· ἀλλὰ
καὶ ἀκινησίας· καὶ ἡδονὴ μᾶλλον ἐν ἠρεμίᾳ ἐστίν, ἢ ἐν κινήσει· μετα
βολὴ δὲ πάντων γλυκύτατον κατὰ τὸν ποιητὴν διὰ πονηρίαν τι
νά· ὥσπερ γὰρ ἀνόσου ἡ μετάβολος ὁ πονηρὸς, καὶ ἡ φύσις ἡ δεομέ
νη μεταβολῆς· οὐ γὰρ ἁπλῆ, οὐδ' ἀπλεικής. Περὶ μὲν οὖν ἐγκρα
τείας καὶ ἀκρασίας καὶ περὶ ἡδονῆς καὶ λύπης, εἴρηται· καὶ
τί ἕκαστον· καὶ πῶς τὰ μὲν ἀγαθὰ αὐτῶν ἐστι, τὰ δὲ
κακά· λοιπὸν δὲ καὶ περὶ φι-
λίας ἐροῦ-
μεν.

Τέλος
τοῦ
·Η·

ἈΡΙΣΤΟΤΈΛΟΥΣ ἩΘΙΚΩ̂Ν ΝΙΚΟΜΑ ΧΕΊΩΝ,

ΤῸΘ΄.

Μετὰ δὲ ταῦτα πρὶ φιλίας ἔποιτ' ἂν διελθεῖν· ἔστι γὰρ ἀρετήτις, ἢ μετ' ἀρετῆς· ἔτι δ' ἀναγκαιότατον εἰς τὸν βίον· ἄνευ γὰρ φίλων, οὐδεὶς ἂν ἕλοιτο ζῆν ἔχων τὰ λοιπὰ ἀγαθὰ πάντα· καὶ γὰρ πλουτοῦσι· καὶ ἀρχὰς καὶ δυναστείας κεκτημένοις δοκεῖ μάλιστα φίλων εἶναι χρεία· τί γὰρ ὄφελος τῆς τοιαύτης εὐετηρίας, ἀφαιρεθείσης εὐεργεσίας, ἣ γίγνεται μάλιστα καὶ ἐπαινετωτάτη πρὸς φίλους, ἢ πῶς ἂν τηρηθείη καὶ σώζοιτο ἄνευ φίλων· ὅσῳ δὲ πλείων, τοσούτῳ ἀπὶ σφαλεστέρα· ἐν πενίᾳ τε καὶ ταῖς λοιπαῖς δυστυχίαις μόνην οἴονται καταφυγὴν εἶναι τοὺς φίλους· καὶ νέοις ἢ πρὸς τὸ ἀναμάρτητον, καὶ πρεσβυτέροις πρὸς θεραπείαν· καὶ τὸ ἐλλεῖπον τῆς πράξεως δι' ἀσθένειαν βοηθείας· τοῖς τ' ἐν ἀκμῇ πρὸς τὰς καλὰς πράξεις· συντεδύ ἔρχομένω· καὶ γὰρ νοῆσαι καὶ πρᾶξαι δυνατώτεροι φύσει τ' ἐνὺ πάρχειν ἔοικε πρὸς τὸ γεγενημένον τῷ γενομήσαντι, καὶ τὸ γενοῦσαν, τῷ γενομηθέντι· καὶ οὐ μόνον ἐν ἀνθρώποις, ἀλλὰ καὶ ἐν ὀρνέοις, καὶ τοῖς πλείστοις τῶν ζώων καὶ

τοῖς ὁμοεθνέσι πρὸς ἀλλήλους καὶ μάλιστα τοῖς αὐτοῖς ὅθεν τοὺς
φιλανθρώπους ἐπαινοῦμεν ὅταν δ' αὐτὸς καὶ ξένοις καὶ πολίταις
ὡς οἰκεῖον ἅπασι γὰρ ἂν τοῦτο αὐτῷ φίλον εἶναι δοκεῖ καὶ τοὺς πόλεως συνέ
χειν φιλία μὴ οἷον ὁμοεθνεῖς μᾶλλον περὶ αὐτὸ τοῦτο ἀποδέχεσθαι ἢ τοὺς
δικαιοσύνῃ· ἢ γὰρ ὁμοίους ὁμοίους τῇ φιλίᾳ ἐοικέναι· διὸ
της δὲ μάλιστα ἐφίεσθαι· καὶ τοὺς ξένους ἐχθροὺς οὔσας, μάλιστα ἀξε-
λαύνουσι καὶ φίλων μὴ ὄντων, οὐδὲν δεῖ δικαιοσύνης· δίκαιοι
δ' ὄντες, προσδεῖ φιλίας καὶ τῶν δικαίων τὸ μάλιστα φιλικὸν εἶ-
ναι δοκεῖ· οὐ μόνον δ' ἀναγκαῖόν ἐστιν, ἀλλὰ καὶ καλόν· τοὺς γὰρ φίλους
φίλους ἐπαινοῦμεν· ἔτι καὶ πολλῶν φιλιῶν δοκεῖ τῶν καλῶν εἶναι·
ἔτι καὶ φίλοι τοῖς αὐτοῖς ἀνδράσιν οἷον τοῖς ἀγαθοῖς εἶναι καὶ φίλους·
ἅμα φιλιωθῆναι τε ἐν τῷ αὐτῷ οὐκ ὀλίγαι· οἱ μὲν γὰρ ὁμοιότη
τά τινα τιθέασιν αὐτὴν, καὶ τοὺς ὁμοίους φίλους· ὅθεν τὸν ὁμοῖον
φασὶν ὡς τὸν ὅμοιον, καὶ κολοιὸν πρὸς κολοιόν, καὶ ὅσα τοιαῦτα·
οἱ δ' ἐξ ἀνάγκης, κεραμεῖς τοὺς τοιούτους ἀλλήλοις
φασὶν εἶναι· καὶ περὶ αὐτῶν τούτων, ἀνώτερον ἐπιζητοῦσι καὶ φυ
σικώτερον· οὐ γὰρ πάθος μὴ φάσκων Εὐριπίδης ὁμβρεῖσθαι ἐρᾶν μὲν ὅμβρου στείραν
ἐρασθεῖσαν· ἐρᾶν δὲ τὸν μὲν οὐρανὸν πλησθῆναι ὄμβρου, πιεῖν
εἰς τὴν ἄρουραν· καὶ Ἡράκλειτος τὸ ἀντίξουν συμφέρον καὶ ἐκ τῶν δια-
φερόντων καλλίστην ἁρμονίαν, καὶ πάντα κατ' ἔριν γίνεσθαι· ἀξε
ναντίας ἢ τοὺς αὐτοὺς, ἅπερ τε ἐμπεδοκλῆς, τὸ γὰρ ὅμοιον τοῦ ὁμοίου
ἐφίεσθαι. Τὰ μὲν οὖν φυσικὰ τῶν ἀπορημάτων, ἀφετέον· οὐδὲ
οἰκεῖα φιλοσόφου σκέψεως· ὅσα δ' ἤθη ἀνθρώπων καὶ αἱ πράξεις
εἰς ταῦτα καὶ τοιαῦτα, ταῦτ' ἤδη σκεπτώμεθα· οἷον πότερον ἐν πᾶ
σι γένεται ἡ φιλία, ἢ οὐκ οἷόν τε μοχθηροὺς ὄντας φίλους εἶναι·
καὶ πότερον ἓν εἶδος φιλίας ἢ πλείω· οἱ μὲν γὰρ ἓν, οἰόμε
νοι ὅτι ἐπιδέχεται τὸ μᾶλλον καὶ ἧττον, ἱκανῶς πιστεύκασι
σημείῳ· δέχεται γὰρ τὸ μᾶλλον καὶ ἧττον, καὶ τὰ ἑτέρως εἴρη-
ται περὶ τούτων ἐν προθεν· τάχα δ' ἂν γένοιτο φανερὸν τοιοῦτον
ἐκ τῶν ὡρισμένων τὸ τί φιλητόν· οὐκ ἔστι γὰρ οὐ πᾶν φιλεῖσθαι,

ἀλλὰ

ἀλλὰ τὸ φιλητόν. τοῦτο δ' εἶναι ἀγαθὸν ἢ ἡδὺ ἢ χρήσιμον. δόξειε δ' ἂν χρήσιμον εἶναι δι' οὗ γίνεταί τι ἀγαθόν τι ἢ ἡδονή. ὥστε φιλητὰ ἂν εἴη τὰ ἀγαθὸν καὶ τὸ ἡδὺ ὡς τέλη. πότερον οὖν τἀγαθὸν φιλοῦσιν, ἢ τὸ αὐτοῖς ἀγαθόν; διαφωνεῖ γὰρ ἐνίοτε τοῦτο. ὁμοίως δὲ καὶ περὶ τὸ ἡδύ. δοκεῖ δὲ καὶ τὸ αὑτῷ ἀγαθὸν φιλεῖν ἕκαστος. δεῖ δὲ εἶναι ἁπλῶς μὲν τἀγαθὸν φιλητόν. ἑκάστῳ δὲ τὸ ἑκάστῳ. φιλεῖ δὲ ἕκαστος οὐ τὸ ὂν αὐτῷ ἀγαθόν, ἀλλὰ τὸ φαινόμενον. δ' οἴσει δ' οὐθὲν ἔσται γὰρ τὸ φιλητὸν φαινόμενον. τριῶν δ' ὄντων δι' ἃ φιλοῦσιν, ἐν μὲν τῇ πρὸς ἄψυχον φιλήσει, οὐ λέγεται φιλία. οὐ γάρ ἐστιν ἀντιφίλησις οὐδὲ βούλησις ἐκείνου ἀγαθοῦ. γελοῖον γάρ ἴσως τῷ οἴνῳ βούλεσθαι τἀγαθά. ἀλλ' εἴπερ σώζεσθαι βούλεται αὐτὸν, ἵνα αὐτῷ ἔχῃ. ᾧ δὲ φίλῳ φασὶ δεῖν βούλεσθαι τἀγαθὰ, ἐκείνου ἕνεκα. τοὺς δὲ βουλομένους οὕτω τἀγαθὰ βούλεσθαι λέγουσιν εὐνοϊκοὺς μὴ καὶ παρ' ἐκείνου γίνηται. εὔνοιαν γὰρ φιλίαν τινὰ ποιοῦσι φιλίαν εἶναι, ἢ προσθετέον τὸ μὴ λανθάνουσαν. πολλοὶ γάρ εἰσιν εὔνοι οἷς οὐχ ἑωράκασιν. ὑπολαμβάνουσι δὲ ὠφελεῖς εἶναι ἢ χρησίμους. τοῦτο δ' ἔτι τὸ, καὶ ἐκείνων τὶς πάθοι πρὸς τοῦτον. εὔνοι μὲν οὖν ἄν τοι φαίνονται ἀλλήλοις. φίλους δὲ πῶς ἂν τις εἴποι λανθάνοντας ὡς ἔχουσιν ἑαυτοῖς. δεῖ ἄρα εὐνοεῖν ἀλλήλοις καὶ βούλεσθαι τἀγαθὰ μὴ λανθάνοντας δι' ἕν τι τῶν εἰρημένων. διαφέρει δὲ ταῦτα ἀλλήλων εἰς φιλήσεις ἄρα καὶ αἱ φιλίαι. τρία γὰρ ὄντα εἴδη φιλίας ἐστὶν ἐνίοτε τοῖς φιλητοῖς. καθ' ἕκαστον γὰρ ὧν τι ἀντιφίλησις οὐ λανθάνουσα. οἱ δὲ φιλοῦντες ἀλλήλους, βούλονται τἀγαθὰ ἀλλήλοις ταύτῃ, ᾗ φιλοῦσιν. οἱ μὲν δι' τὸ χρήσιμον φιλοῦντες ἀλλήλους, διὰ ταῦτα καὶ τοῦτο φιλοῦσιν, ἀλλ' ἢ τινὲς τὶ αὐτοῖς ἐστιν ἀπ' ἀλλήλων ἀγαθόν. ὁμοίως δὲ καὶ οἱ δι' ἡδονήν. οὐ γὰρ τοὺς πρίους τινὰς εἶναι, ἀγαπῶσι τοὺς ὑπερπίπτοντας, ἀλλ' ὅτι ἡδεῖς αὐτοῖς. οἱ τε δὴ διὰ τὸ χρήσιμον φιλοῦντες, διὰ τἀγαθὸν αὑτοῖς ἀγαθὸν στέργουσι. καὶ οἱ δι' ἡδονὴν ὁμοίως. διὰ τὸ αὐτοῖς ἡδὺ. καὶ ὃ χρήσιμον φιλοῦσιν, οὐκ ἔστιν, ἀλλ' ἧ χρήσιμος, ἢ ἡδύς. κατὰ συμβεβη-

κός τε δὴ αἱ φιλίαι αὗταί εἰσιν, οὐ γὰρ ᾗ ἐστὶν ὅς ποτέ ἐστιν ὁ φι-
λούμενος, ταύτῃ φιλεῖται, ἀλλ' ᾗ πορίζουσιν, οἱ μὲν ἀγαθόν τι, οἱ
δ' ἡδονήν· εὐδιάλυτοι δὴ αἱ τοιαῦταί εἰσι, μὴ διαμενόντων αὐτῶν
ὁμοίων· ἐὰν γὰρ μηκέτι ἡδεῖς ἢ χρήσιμοι ὦσι, παύονται φιλοῦντες·
τὸ δὲ χρήσιμον οὐ διαμένει, ἀλλὰ ἄλλοτε γίγνεται ἄλλο· ἀπολυθέντος
οὖν δι' ὃ φίλοι ἦσαν, διαλύεται καὶ ἡ φιλία ὡς οὔσης τῆς φιλίας πρὸς
ἐκεῖνα· μάλιστα δὲ ἐν τοῖς πρεσβύταις ἡ τοιαύτη φιλία δο-
κεῖ γίνεσθαι· οὐ γὰρ τὸ ἡδὺ οἱ τηλικοῦτοι διώκουσιν· ἀλλὰ τὸ ὠφέ-
λιμον, καὶ τῶν ἐν ἀκμῇ καὶ νέων, ὅσοι τὸ συμφέρον διώκουσιν· οὐ πά-
νυ δ' οἱ τοιοῦτοι οὐ δὲ συζῶσι μετ' ἀλλήλων· ἐνίοτε γὰρ οὐδ' εἰσὶν
ἡδεῖς· οὐδὲ δὴ προσδέονται τῆς τοιαύτης ὁμιλίας, ἐὰν μὴ ὠφέ-
λιμοι ὦσιν· ἐπὶ τοσοῦτον γὰρ εἰσιν ἡδεῖς, ἐφ' ὅσον ἐλπίδας ἔχου-
σιν ἀγαθοῦ· εἰς ταύτας δὲ καὶ τὴν ξενικὴν τιθέασιν· ἡ δὲ τῶν νέων
φιλία, δι' ἡδονὴν εἶναι δοκεῖ· κατὰ πάθος γὰρ οὗτοι ζῶσι καὶ μάλιστα
διώκουσι τὸ ἡδὺ αὐτοῖς καὶ τὸ παρ'· τῆς ἡλικίας δὲ μεταπιπτού-
σης, καὶ τὰ ἡδέα γίνεται ἕτερα· διὸ ταχέως γίγνονται φίλοι καὶ παύονται·
ἅμα γὰρ τῷ ἡδεῖ ἡ φιλία μεταπίπτει· τῆς δὲ ἡλικίας αὐτῆς ἡδονῆς, τα-
χεῖα ἡ μεταβολή· καὶ ἐρωτικοὶ δὲ οἱ νέοι· κατὰ πάθος γὰρ καὶ δι' ἡδονὴν τὸ
πολὺ τῆς ἐρωτικῆς· διόπερ φιλοῦσι καὶ ταχέως παύονται πολλά-
κις τῆς αὐτῆς ἡμέρας μεταπίπτοντες· συνημερεύειν δὲ καὶ συζῆν
οὗτοι βούλονται· γίνεται δὲ αὐτοῖς τὸ κατὰ φιλίαν οὕτως· τελεία δ' ἐστὶν
ἡ τῶν ἀγαθῶν φιλία καὶ κατ' ἀρετὴν ὁμοῖ· οὗτοι δὲ τὰ γαθὰ ὁμοῖ ἀλλή-
λοις βούλονται, ᾗ ἀγαθοί· ἀγαθοὶ δ' εἰσὶ καθ' αὑτούς· οἱ δὲ βουλόμενοι τὰ
γαθὰ τοῖς φίλοις, ἐκεῖν ἕνεκα μάλιστα φίλοι· δι' αὐτοὺς δὲ, οὕτως ἔχου-
σι, καὶ οὐ κατὰ συμβεβηκός· διαμένει οὖν μάλιστα ἡ τούτων φιλία· ἕως ἂν
ἀγαθοὶ ὦσιν· ἡ δ' ἀρετὴ μόνιμον· καὶ ἔστιν ἑκάτερος ἁπλῶς ἀγα-
θὸς καὶ τῷ φίλῳ· οἱ γὰρ ἀγαθοὶ, καὶ ἁπλῶς ἀγαθοί· καὶ ἀλλήλοις
ὠφέλιμοι· ὁμοίως δὲ καὶ ἡδεῖς· οἱ ἀγαθοὶ γὰρ ἁπλῶς καὶ ἡδεῖς
καὶ ἀλλήλοις· ἑκάστῳ γὰρ καθ' ἡδονήν εἰσιν αἱ οἰκεῖαι πρά-
ξεις καὶ αἱ τοιαῦται· τῶν ἀγαθῶν δὲ τοιαῦται ἢ ὅμοιαι·

ἡ τοιαύτη δὲ

ἡ τοιαύτη δὲ φιλία, μόνιμος ὐ λόγως ὄζτι· συμβαίνει γὰρ ἐν αὐτῇ πάντ' ὅσα δεῖ τοῖς φίλοις ὑπάρχειν· πᾶσα γὰρ φιλία δι' ἀγαθόν ὄζτιν ἢ δι' ἡδονὴν ἁπλῶς ἢ τῷ φιλοῦντι, καὶ κατ' ὁμοιότητα τούτων· καὶ τούτῃ δὲ πάντα ὑπάρχει τὰ εἰρημένα καθ' αὐτούς· ταύτη γὰρ ὅμοια καὶ τἆλλα πρός τὸ τί ἁπλῶς ἀγαθὸν, καὶ ἡδὺ ἁπλῶς ὄζτι· μάλιστα δὲ ταῦτα φιλητά· καὶ τὸ φιλεῖν δὲ καὶ ἡ φιλία ἐν τούτοις μάλιστα καὶ ἀρίστη· ἀναμίας δ' εἰκὸς τοὺς τοιούτους εἶναι· ὀλίγοι γὰρ οἱ τοιοῦτοι· ἔτι δὲ προσδεῖται χρόνου καὶ συνηθείας· κατὰ τὸ τῶ παροιμίαν γὰρ οὐκ ὄζτιν εἰδῆσαι ἀλλήλους, πρὶν τοὺς λεγομένους ἅλας συμφαγεῖν· οὐδ' ἀποδέξασθαι δὴ πρότερον, οὐδ' εἶναι φίλους πρὶν ἑκάτερος ἑκατέρῳ φανῇ φιλητὸς καὶ πιστευθῇ· οἱ δὲ ταχέως τὰ φιλικὰ πρὸς ἀλλήλους ποιοῦντες, βούλονται μὲν φίλοι εἶναι, οὐκ εἰσὶ δέ, εἰ μὴ καὶ φιλητοί· καὶ τοῦτ' ἴσασι· βούλησις μὲν οὖν ταχεῖα φιλίας· φιλία δ' οὔ· οὔτε μὲν οὖν κατὰ τὸν χρόνον καὶ κατὰ τἆλλοπάντα τελεία ὄζτι· καὶ πάντα τὰ τοιαῦτα γίνεται, καὶ ὁμοία ἑκατέρῳ παρ' ἑκατέρου ὅπερ δεῖ τοῖς φίλοις ὑπάρχειν· ἡ δὲ, διὰ τὸ ἡδύ, ὁμοίωμα ταύτης ἔχει· καὶ γὰρ οἱ ἀγαθοὶ, ἡδεῖς ἀλλήλοις· ὁμοίως δὲ καὶ οἱ διὰ τὸ χρήσιμον· καὶ γὰρ τοι ὄντοι ἀλλήλοις οἱ ἀγαθοί· μάλιστα δὴ καὶ ἐν τούτοις αἱ φιλίαι διαμένουσιν ὅταν τὸ ἴσον τύπτηται παρ' ἀλλήλων, οἷον ἡ δονή· καὶ μὴ μόνον οὕτως, ἀλλὰ καὶ ἀπὸ τοῦ αὐτοῦ· οἷον τοῖς ὠφελίμοις καὶ μὴ ὡσ ἐρασταῖς καὶ ἐρωμένῳ· οὐ γὰρ ὠὐτοῖς τοῖσ αὐτοῖς ἥδονται οὐδ' ὅτοι· ἀλλ' ὁμὲν, ὅταν ἐκεῖνος ὁ ἐρώμενος ὑπὸ τοῦ ἐρῶντος θεραπεύηται· ἡ γάρ ὄζτις ἡδονή· ὁ δὲ, ὅταν ὑπὸ τοῦ ἐρωμένου θεραπεύηται· ὁ γὰρ ἔρως ἐν τούτῳ ὄζτιν· ἢ τάχα οὐκ ἐνδέχεται πᾶσιν ἡδεῖς εἶναι· ἀλλ' ἴσως ἐκεῖνος ἱκανῶς ἔχει, ἐὰν ἐκτὸς ὠφελείας ᾖ· τοῦτο δὲ ποιήσουσιν οἱ μὴ ἔχοντες ἐρώμενοι· μὴ γὰρ ἔστιν οὗ ἐπιθυμοῦσιν οἱ ἐρασταὶ πλὴν ἐκείνου· ἀλλὰ τὸ χρήσιμον ἐνέρωτικόν ὄζτι· ἔστι δὲ καὶ φίλοι ἀλλήλοις διὰ μὲν τὸ χρήσιμον οὐκ ἔτι φίλοι, ἅμα τῷ συμφέρον πεπαύσθαι· τὸ γὰρ ἀλλήλοις εἶναι φίλοι ἀλλὰ διὰ τὸ λυσιτελές· διὰ δὲ τὸ ἡδὺ ὡ

μὴν οὖν καὶ διὰ τὸ χρήσιμον, ἢ φαύλους ὠφελεῖσθαι φίλους ἀλλήλοις εἶναι, καὶ ὧδ' ἐκείνοις φαύλοις, οὐδὲ τοῦτον ὁ αὐτὸς ὢν διαὐτοὺς δὲ δῆλον ὅτι μόνους τοὺς ἀγαθοὺς· οἱ γὰρ κακοὶ, οὐ χαίρουσιν ἑαυτοῖς, εἰ μήτις ὠφέλειάς τινος τὸ καὶ μόνη δὲ ἡ τῶν ἀγαθῶν φιλία ἀβάσκαντός ἐστιν· οὐ γὰρ ῥᾴδιον οὐδενὶ πιστεῦσαι περὶ τοῦ ταῦτα μὴ χρόνῳ ὑπ' αὐτῶν δεδοκιμασμένου, ἢ τὸ πιστεύσαντι ἐνύβρισαι τοῖς, οὐδὲ τὸ μὴ δεῖσθαι τῶν ἀγαθῶν φίλων· ὅσα ἄλλα ἐν τῇ τῶν ἀληθῶν φιλίᾳ ἀξιοῦσι· καὶ δὲ τοῖς ἄλλαις ἐπιεικείαις, ὀδὲν κωλύει γίνεσθαι τὰ τοιαῦτα· ἐπεὶ γὰρ οἱ ἄνθρωποι λέγουσι φίλους καὶ τοὺς διὰ τὸ χρήσιμον ὥσπερ αἱ πόλεις, δοκοῦσι γὰρ αἱ συμμαχίαι τοῖς πόλεσι γίνεσθαι ἕνεκα τοῦ συμφέροντος· καὶ τοὺς δὴ διὰ τὸ ἡδὺ ἀλλήλοις εἶναι φίλους τοὺς παιδικούς· εἰκότως ἂν οἱ τοιοῦτοι δόξειεν, ἴσως μὲν δεῖ λέγειν ἡμᾶς φίλους τοὺς τοιούτους· εἴδη δὲ φιλίας πλείω· καὶ πρώτως μὲν καὶ κυρίως τὴν τῶν ἀγαθῶν καὶ ἀγαθοί· τοὺς δὲ λοιποὺς, καθ' ὁμοιότητα· ἢ γὰρ ἀγαθόν τι καὶ ὅμοιόν τι, τοῦτο φίλον· καὶ γὰρ τὸ ἡδὺ, ἀγαθόν τι τοῖς φιλήδεσιν· ἀλλ' οὐ παρὰ ταῦτα συμβαίνουσιν· ἀλλὰ δὲ τοῦτο μὴ οἱ αὐτοὶ φίλοι τὸ χρήσιμον καὶ ἡδύ· οὐ γὰρ πάνυ συνδοιάζεται τὰ κατὰ συμβεβηκός· εἰς ταὐτὰ δὲ τὰ εἴδη φιλίαις μένει μήνης· οἱ μὲν, φαῦλοι ἔσονται φίλοι, διὰ δυνάμενοι τὸ χρήσιμον ταὐτὸν ὁμοιοῦντες· οἱ δ' ἀγαθοὶ, διὰ τοὺς φίλους· ἢ γὰρ ἀγαθοὶ, οὗτοι μὲν ἁπλῶς φίλοι· ἐκεῖνοι δὲ καὶ κατὰ συμβεβηκός, ἢ τῷ ὁμοίοις εἶναι τούτοις· ὥσπερ δὲ ἐπὶ τῶν ἀρετῶν, οἱ μὲν, καθ' ἕξιν· οἱ δὲ, καὶ τὴν ἐνέργειαν ἀγαθοὶ λέγονται, οὕτω δῆλον ἐπὶ φιλίας· οἱ μὲν γὰρ συζῶντες τε χαίρουσιν ἀλλήλοις καὶ ὠφελοῦσι τὰ ἀγαθά· οἱ δὲ καθεύδοντες, ἢ κεχωρισμένοι τοῖς τόποις, οὐκ ἐνεργοῦσι μὲν, οὕτω δὲ ἔχουσιν, ὥστε ἐνεργεῖν φιλικῶς· οἱ γὰρ τόποι, οὐ διαλύουσι τὴν φιλίαν ἁπλῶς, ἀλλὰ τὴν ἐνέργειαν· ἐὰν δὲ χρόνιος ἡ ἀπουσία γίνηται, καὶ φιλίας δοκεῖ ἡ ἀπουσία λήθην ποιεῖν, ὅθεν εἴρηται· πολλὰς δὴ φιλίας ἀπροσηγορία διέλυσεν· οὐ φαίνονται δ' οὐδὲ οἱ πρεσβῦται· οὐδὲ οἱ τρυφεροὶ, φιλικοὶ εἶναι·

βραχὺ γὰρ

βραχὺ γὰρ ἐν αὐτοῖς τὸ τῆς ἡδονῆς· οὐδεὶς δὲ δύναται συνη-
μερεύειν τῷ λυπηρῷ, οὐδὲ τῷ μὴ ἡδεῖ· μάλιστα γὰρ ἡ φύσις φαί-
νεται τὸ μὲν λυπηρὸν φεύγειν, ἐφίεσθαι δὲ τοῦ ἡδέος· οἱ δ' ἀποδε-
χόμενοι ἀλλήλους μὴ συζῶντες δὲ, εὔνοις ἐοίκασι μᾶλλον ἢ φί-
λοις· οὐδὲν γὰρ οὕτως ἐστὶ φίλων, ὡς τὸ συζῆν· ὠφελείας μὲν γὰρ
οἱ ἐνδεεῖς ὀρέγονται· συνημερεύειν δὲ καὶ οἱ μακάριοι· μονώ-
ταις μὲν γὰρ εἶναι τούτοις ἥκιστα προσήκει· συνδιάγειν δὲ μετ'
ἀλλήλων οὐκ ἔστι, μὴ ἡδεῖς ὄντας, μὴ δὲ χαίροντας, τοῖς αὐ-
τοῖς ὅπερ ἡ ἑταιρικὴ δοκεῖ ἔχειν· μάλιστα μὲν οὖν ἐστι φιλία ἡ
τῶν ἀγαθῶν, καθάπερ πολλάκις εἴρηται· δοκεῖ γὰρ φιλητὸν
μὲν καὶ αἱρετὸν τὸ ἁπλῶς ἀγαθὸν ἢ ἡδύ· ἑκάστῳ δὲ τὸ αὐτῷ τοι-
οῦτον· ὁ δ' ἀγαθὸς τῷ ἀγαθῷ δι' ἄμφω ταῦτα· ἔοικε δ' ἡ μὲν φί-
λησις πάθει· ἡ δὲ φιλία, ἕξει· ἡ γὰρ φίλησις, οὐχ ἧττον πρὸς τὰ ἄψυ-
χά ἐστιν· ἀντιφιλοῦσι δὲ μετὰ προαιρέσεως· ἡ δὲ προαίρεσις ἀφ'
ἕξεως· καὶ τὰ ἀγαθὰ βούλονται τοῖς φιλουμένοις ἐκείνων ἕνεκα
οὐκ κατὰ πάθος, ἀλλὰ καθ' ἕξιν, καὶ φιλοῦντες τὸν φίλον, τὸ αὐ-
τοῖς ἀγαθὸν φιλοῦσιν· ὁ γὰρ ἀγαθὸς φίλος γενόμενος, ἀγαθὸν γί-
νεται, ᾧ φίλος· ἑκάτερος οὖν φιλεῖ τε τὸ αὐτῷ ἀγαθὸν, καὶ τὸ ἴ-
σον ἀνταποδίδωσι τῇ βουλήσει καὶ τῷ ἡδεῖ· λέγεται γὰρ φιλό-
της ἡ ἰσότης· μάλιστα δὴ τῇ τῶν ἀγαθῶν ταῦτα ὑπάρχει· ἐν δὲ
τοῖς στρυφνοῖς καὶ πρεσβυτικοῖς ἧττον γίνεται ἡ φιλία, ὅσω
δυσκολώτεροί εἰσι καὶ ἧττον ταῖς ὁμιλίαις χαίρουσι· ταῦτα
γὰρ δοκεῖ μάλιστ' εἶναι φιλικὰ, καὶ ποιητικὰ φιλίας·
διὸ νέοι μὲν γίνονται φίλοι ταχύ· πρεσβύται δ' οὔ· οὐ γὰρ γί-
νονται φίλοι οἷς ἂν μὴ χαίρωσιν· ὁμοίως δ' οὐδ' οἱ στρυφνοί·
ἀλλοῖ τοι οὗτοι, εὖνοι μὲν εἰσιν ἀλλήλοις· βούλονται γὰρ τἀγαθὰ
καὶ ἀπαιτῶσιν εἰς τὰς χρείας· φίλοι δ' οὐ πάνυ εἰσί, διὰ τὸ μὴ
συνημερεύειν μὴ δὲ χαίρειν ἀλλήλοις· ἃ δὴ μάλιστα εἶναι φιλικά·
πολλοῖς δ' εἶναι φίλον κατὰ τὴν τελείαν φιλίαν, οὐκ ἐνδέχε-
ται· ὥσπερ οὐδ' ἐρᾶν πολλῶν ἅμα· ἔοικε γὰρ ὑπερβολῇ· τὸ

τοιοῦτο δὲ πρὸς ἕνα τε φίλον γίνεσθαι, πολλοὺς δ' ἅμα τῷ αὐτῷ ζηλ
αρέσκειν φιλοσόφου ἀκρότητος οὐκ ἄγαν δοκεῖ εἶναι· δεῖ δὲ καὶ ἐμ
πειρίαν λαβεῖν καὶ γνῶσιν τοῦ ἀξίας χρυσοῦ, ὃ πάγχαλεπον δι' ὃ τὸ
χρήσιμον δὲ καὶ τὸ ἡδὺ πολλοῖς ἀρέσκει καὶ ἐν ὀλίγῳ χρόνῳ· καὶ τοῦτο
τοιοῦτοι καὶ ἐν ὀλίγῳ χρόνῳ αἱ τῶν ἡρεσίαι· τούτων δὲ μᾶλλον ἔοι
κεφιλία καὶ διὰ τὸ ἡδύ, ὅταν ταὐτὰ ὑπομένῃ γίνηται καὶ χαί
ρωσι μᾶλλοις ἢ τοῖς αὐτοῖς, οἷαι τῶν νέων εἰσὶν αἱ φιλίαι·
μᾶλλον γὰρ ἐν ταύταις τὸ ἐλευθέριον· ἡ δὲ διὰ τὸ χρήσιμον, ἀγο
ραῖον· καὶ οἱ μακάριοι χρησίμων μὴ οὐδὲν δέονται, ἡδέων δὲ συ
ζῶν μὴ γὰρ βούλονται τοῦτο· τὸ δὲ λυπηρόν, ὀλίγον μὴ χρόνον φέ
ρουσι· σπουδαῖος δ' οὐθεὶς αὐτὸς αὑτῷ ἐστιν, οὐδ' αὐτὸ ἀγαθόν, εἰ λυ
πηρὸν αὐτῷ εἴη· διὸ τοὺς φίλους ἡδεῖς ζητοῦσι· δεῖ δ' ἴσως καὶ
τοὺς ἀγαθοὺς τοιούτους ὄντας καὶ ἐπ' αὐτοῖς· οὕτω γὰρ αὐτοῖς
ὑπάρξει ὅσα δεῖ τοῖς φίλοις· οἱ δ' ἐν ταῖς ὑπεροχαῖς διημερ
νοις φαίνονται χρῆσθαι τοῖς φίλοις· ἄλλοι γὰρ αὐτοῖς εἰσὶ χρήσι
μοι καὶ ἕτεροι ἡδεῖς· ἀμφω δ' οἷς αὐτοὶ οὐ πάνυ· οὔτε γὰρ ἡδεῖς
μετ' ἀρετῆς ζῶσιν, οὔτε χρήσιμοι εἰς τὰ καλά· ἅμα τοὺς
μὴ δυναστεύοντας τοιούσδε θ' ἕπεσθαι μὴ οὕσους· τοὺς δὲ δυνα
στεύοντας ἀξιοῦν τὸ ἐπιτακτικὸν· ταῦτα δ' οὐ πάνυ γίνεται ἐν τῷ αὐτῷ· ἡδὺς καὶ
χρήσιμος ἅμα εἴρηται ὅτι σπουδαῖος· ἀλλ' ὑπερέχοντι οὐ γί
νεται ὁ τοιοῦτος φίλος, ἐὰν μὴ καὶ τῇ ἀρετῇ ὑπερέχηται· εἰ
δὲ μὴ οὐκ ἰσάζει ἀνάλογον ὑπερέχων ὁ φίλος· οὐ πάνυ δ' εἰώθα
σι τοιοῦτοι γίνεσθαι· εἰσὶ δ' οὖν αἱ εἰρημέναι φιλίαι ἐν ἰσότη
τι· τὰ γὰρ αὐτὰ γίνεται ἐπ' ἀμφοῖν καὶ βούλονται ἀλ
λήλοις, ἢ ἕτερον ἀνθ' ἑτέρου ἀντικαταλλάττονται· οἷον ἡδο
νὴν ἀντὶ ὠφελείας· ὅτι δὲ καὶ ἧττον εἰσὶν αὗται αἱ φιλίαι καὶ
μὴ οὖσιν, εἴρηται· δοκοῦσι δὲ καὶ δι' ὁμοιότητα καὶ ἀνομοι
ότητα ταὐτὸν εἶναί τι καὶ οὐκ εἶναι φιλίας· καθ' ὁμοιότητα
γὰρ, ὅταν κατ' ἀρετὴν φαίνωνται φιλίαι· ἡ μὲν γὰρ τὸ ἡδὺ ἔχει·
ἡ δὲ, τὸ χρήσιμον· ταῦτα δὲ ὑπάρχει κἀκείνῃ· τῷ δὲ τὴν

μὴ

μὲν, ἀδιάβλητον εἶναι καὶ μόνιμον· ταύτας δὲ ταχέως μετα-
πίπτειν, ἄλλοις τε διαφέρειν πολλοῖς· ὀφαίνονται φιλίαι διὰ ἀ-
νομοιότητα ἐκείνης· ἕτερον δέ ἐστι φιλίας εἶδος, τὸ καθ' ὑπερο-
χήν· οἷον πρὶ πρὸς υἱόν· καὶ ὅλως πρεσβυτέρῳ πρὸς νεώτερον· ἀνδρί-
τε πρὸς γυναῖκα καὶ παντὶ ἄρχοντι πρὸς ἀρχόμενον· διαφέρου-
σι δ' αὗται καὶ ἀλλήλων· οὐ γὰρ ἡ αὐτὴ γονεῦσι πρὸς τέκνα· καὶ ἄρ-
χουσι πρὸς ἀρχομένους, ἀλλ' οὐδὲ πρὶ πρὸς υἱόν, καὶ υἱῷ πρὸς πρά·
οὐδ' ἀνδρὶ πρὸς γυναῖκα, καὶ γυναικὶ πρὸς ἄνδρα· ἑτέρα γὰρ ἑκά-
στῳ τούτων ἀρετὴ καὶ τὸ ἔργον· ἑτέρα δὲ, καὶ διὰ φιλοῦσιν· ἑτέραι οὖν καὶ
αἱ φιλήσεις καὶ αἱ φιλίαι· τὰ αὐτὰ μὲν δὴ οὔτε γίγνεται ἑκατέ-
ρῳ παρὰ θατέρου, οὔτε δεῖ ζητεῖν· ὅταν δὲ γονεῦσι μὲν τέκνα ἀ-
πονέμῃ ἃ δεῖ τοῖς γεννήσασι· γονεῖς δὲ υἱέσιν ἃ δεῖ τοῖς τέκνοις,
μόνιμος ἡ τῶν τοιούτων καὶ ὠφελικὴς ἔσται φιλία· ἀνάλογον δ' ἐν
ἁπάσαις ταῖς καθ' ὑπεροχὴν οὔσαις φιλίαις καὶ τὴν φί-
λησιν δεῖ γίνεσθαι· οἷον τὸν ἀμείνω μᾶλλον φιλεῖσθαι ἢ φιλεῖν,
καὶ τὸν ὠφελιμώτερον καὶ τῶν ἄλλων ἕκαστον ὁμοίως· ὅταν
γὰρ κατ' ἀξίαν ἡ φίλησις γίγνηται, τότε γίγνεταί πως ἰσότης·
ὃ δὴ τῆς φιλίας εἶναι δοκεῖ· οὐχ ὁμοίως δὲ τὸ ἴσον ἔν τε τοῖς
δικαίοις καὶ ἐν τῇ φιλίᾳ φαίνεται ἔχειν· ἔστι γὰρ ἐν μὲν τοῖς
δικαίοις, ἴσον πρώτως, τὸ κατ' ἀξίαν· τὸ δὲ κατὰ ποσὸν δευ-
τέρως· ἐν δὲ τῇ φιλίᾳ τὸ μὲν κατὰ ποσὸν, πρώτως· τὸ δὲ κα-
τ' ἀξίαν, δευτέρως· δῆλον δὲ ἐὰν πολὺ διάστημα γίγνηται ἀρε-
τῆς ἢ κακίας ἢ εὐπορίας ἤτινος ἄλλου· οὐ γὰρ ἔτι φίλοι εἰσὶν
ἀλλ' οὐδ' ἀξιοῦσιν· ἐμφανέστατον δὲ τοῦτ' ἐπὶ τῶν θεῶν· πλεῖστον γὰρ
οὗτοι, πᾶσι τοῖς ἀγαθοῖς ὑπερέχουσι· δῆλον δὲ καὶ ἐπὶ τῶν βασιλέ-
ων· οὐ δὲ γὰρ τούτοις ἀξιοῦσιν εἶναι φίλοι οἱ πολὺ κατα δεέστεροι·
οὐ δὲ τοῖς ἀρίστοις ἢ σοφωτάτοις, οἱ μηδενὸς ἄξιοι· ἀκρι-
βὴς μὲν οὖν ἐν τούτοις οὐκ ἔστιν ὁρισμὸς ἕως τίνος οἱ φίλοι·
πολλῶν γὰρ ἀφαιρουμένων, ἔτι μένει· πολὺ δὲ χωρισθέν-
τος, οἷον τοῦ θεοῦ, οὐκ ἔτι· ὅθεν καὶ ἀπορεῖται· μήποτ' οὐ

οὖν ἡ μὲν τῶν φαύλων φιλία, μοχθηρά· κοινωνοῦσι γὰρ φαύλων ἀ-
βέβαιοι ὄντες· καὶ μοχθηροὶ ἐξ τίνονται, ὁμοιούμενοι ἀλλήλοις· ἡ δὲ τῶν
ἐπιεικῶν ἐπιεικὴς συναυξανομένη ταῖς ὁμιλίαις· δοκοῦσι δὲ καὶ
βελτίους τίνεσθαι ἐνεργοῦντες· ἐπιδιορθοῦντες ἀλλήλους, ἀτρεμάτ-
τονται γὰρ παρ' ἀλλήλων, οἷς ἀρέσκονται· ὅθεν ἐσθλῶν
μὲν γὰρ ἀπ' ἐσθλά· Περὶ μὲν οὖν φιλίας, ἐπὶ το-
σοῦτον εἰρήσθω· ἑπόμενον δ' ἂν εἰη διελ-
θεῖν περὶ ἡδονῆς.

Τέλος
τοῦ
Ί.
·ξ·

ΑΡΙΣΤΟΤΕΛΟΥΣ ΗΘΙΛΩΝ ΝΙΚΟΜΑΧΕΙΩΝ.

ΤΟ Κ'.



Ετὰ δὲ τοῦτο περὶ ἡδονῆς ἴσως ἐστὶν εἰπεῖν διελθεῖν· μάλιστα γὰρ δοκεῖσιν ἁπτόμενοι τῆς ἀνθρωπείας φύσεως τῷ γένει ἡμῶν· διὸ παιδεύουσι τοὺς νέους οἰακίζοντες τοῖς ἡδονῇ καὶ λύπῃ, δοκεῖ δὲ καὶ πρὸς τὴν τοῦ θους ἀρετὴν μέγιστον εἶναι τὸ χαίρειν οἷς δεῖ, καὶ μισεῖν ἃ δεῖ· διατείνει γὰρ τοῦτο διὰ παντὸς τοῦ βίου ἔχον τε καὶ δύναμιν πρὸς ἀρετὴν τὴν τοῦ δαιμονίου βίου· τὰ μὲν γὰρ ἡδέα προαιροῦνται, τὰ δὲ λυπηρὰ φεύξονται· ὑπὲρ δὲ τῶν τοιούτων, ἡλίκας ἀμφισβητήσεις ἔχει τὸ μὴ ἀξίως ἐπαινεῖσθαι ἢ ψέγεσθαι τὴν ἡδονήν· οἱ μὲν γὰρ τἀγαθὸν ἡδονὴν λέγουσιν· οἱ δ' ἐξεναντίας κομιδῇ φαῦλον· οἱ μὲν ἴσως πεπεισμένοι οὕτω καὶ ἔχειν· οἱ δὲ, οἱόμενοι βέλτιον εἶναι πρὸς τὸν βίον ἡμῶν, ἀποφαίνειν τὴν ἡδονὴν τῶν φαύλων καὶ εἰ μὴ ὄντες· ἐπεὶ νομίζουσί γε τοὺς πολλοὺς πρὸς αὐτὴν καὶ δουλεύειν τῇ ἡδονῇ· διὸ δεῖν εἶναι τὸν αὐτάγαθον· ἐλθεῖν γὰρ αὖ οὕτως ὧν τὸ μέσον· μήποτε δὲ οὐ καλῶς τοῦτο λέγεται· οἱ γὰρ περὶ τὰς ψυχὰς πάθεσι τοῖς πράξεσι λόγοι, ἥπτον εἰσὶ πιστοὶ τῶν ἔργων· ὅταν οὖν διαφωνῶσι τοῖς καὶ τοὺς τιμῶσι μᾶλλον οἱ, τὰ λεγόμενα προσαναιρῶσιν· ὁ δὲ ψέγων τὴν ἡδονὴν ὀφθεὶς πρὸ τοὺς

μέλλον

μᾶλλον, ἀποκλίνει καὶ πρὸς αὐτὴν, ὡς οὐ τοιαύτην οὖσαν οἵαν
ἐστὶν. ὁ δὲ διαιρέσεως γὰρ οὐκ ὄντων ἐν τοῖς ἡδέσιν. ἔοικασιν οὖν οἱ ἀληθεῖς
τῶν λόγων, οὐ μόνον πρὸς τὸ εἰδέναι χρήσιμοι τὰ ῥητέα εἶναι, ἀλλὰ
καὶ πρὸς τὸν βίον. σώζουσι γὰρ ὀρθοὶ τοῖς ἔργοις πιστεύοντες. διὸ
προτρέπουσι τοὺς ζητοῦντας ζῆν κατ' αὐτούς. τῶν μὲν οὖν
τοιούτων, ἅλις. τὸ δὲ εἰρημένον ὅτι εἰς ἡδονὴν ἀπέβλεπον οἱ λόγοι.
Εὔδοξος μὲν οὖν τὴν ἡδονὴν τἀγαθὸν ᾤετο εἶναι· διὰ τὸ πάντα ὁρᾶν
ἐπὶ ταύτην αὐτῇ καὶ ἑλομένη ἄλογα καὶ τὰ ἄλογα· ἐν πᾶσι δ' εἶναι τὸ αἱρετὸν
ἐνίοις δὲ, καὶ τὸ μᾶλλον αἱρετὸν· τὸ δ' ὑπερβάλλον τὸ αὐτὸ φέρε-
σθαι, ὡς πᾶσιν ἄριστον μεμυθεύκασιν· ἕκαστον γὰρ τὸ αὐτῷ ἀγαθὸν εἶναι,
ὥσπερ καὶ τροφήν· τὸ δὴ πᾶσιν ἀγαθὸν καὶ ὑπερβάλλον ἐφίεσθαι, τἀγα-
θὸν εἶναι· πιστεύοντος δὲ οἱ λόγοι διὰ τοῦθ' οὗ μᾶλλον, ἢ
διὰ αὐτοῦ· διαφερόντως γὰρ ἐδόκει σώφρων εἶναι· οὐδὲν ὡς φί-
λος ἦν ἡδονῆς ἐδόκει τοῦτο λέγειν, ἀλλ' ὅτως ἔχειν κατ' ἀλήθειαν·
ὅ γ' ἦν ποιὰ ὥσπερ εἶναι φανερὸν, ἐκ τῶν ἀντίων· δῆλον γὰρ ἦν καθ' αὑτὸ
πᾶσι φυκτὸν εἶναι· ὁμοίως δὲ τὸ ἀνάντιον, αἱρετὸν· μᾶλλον δὲ εἶναι αἱ-
ρετὸν, ὃ μὴ δι' ἕτερον χάριν αἱρούμεθα· τοιοῦτον δ' ὁμολογοῦμεν μηδένα εἶ-
ναι τὴν ἡδονήν· οὐδὲν γὰρ ἐπερωτῶμεν, τίνος ἕνεκα ἥδεται, ὡς κα
θ' αὑτὸ τιθέντες αἱρετὸν τὴν ἡδονήν, προστιθέμενόν τε ὁτῳοῦν τῶν
ἀγαθῶν, αἱρετώτερον ποιεῖν· οἷον τὸ δικαιοπραγεῖν καὶ σωφρο
νεῖν, καὶ αὔξεσθαι δὴ τὸ ἀγαθὸν αὐτὸ ἑαυτῷ· ἔοικε δὴ οὗτός γε ὁ λό-
γος τῶν ἀγαθῶν αὐτὴν ἀποφαίνειν, ἢ οὐδὲν μᾶλλον ἕτερον· τὰν
γὰρ μεθ' ἑτέρου ἀγαθοῦ αἱρετώτερον ἢ μόνου μόνον· τοιούτῳ δὴ λό
γῳ χρῶνται πλείστων αὐ αἱρεῖ· ὅτι οὐκ ὄντων ἡδονὴ τἀγαθόν· αἱρετώτερον
γὰρ εἶναι μετὰ τοῦ φρονήσεως τὸν βίον, ἢ χωρίς· εἰ δὲ τὸ μικτὸν
κρεῖττον, οὐκ εἶναι τὴν ἡδονὴν τἀγαθόν· οὐδενὸς γὰρ προστιθέντος
αὐτῷ τἀγαθὸν αἱρετώτερον γίνεσθαι· δῆλον δ' ὡς οὐδ' ἄλλο οὐδὲν
τἀγαθὸν αὖ εἴη, ὃ μετά τινος τὸ καθ' αὑτὸ ἀγαθὸν αἱρετώτερον πέ-
φυκεν· τί δ' ἐστὶ τοιοῦτον ὃ μὴ ἡμεῖς κοινωνοῦμεν· τοιοῦτον γὰρ

ἐπιζητεῖται. οἱ δ' ἁπλῶς φάμενοι ὡς ὄντος ἀγαθοῦ τὸ πάντα εἰφέρεσθαι μὴ οὐθὲν λέγουσιν. ὁ γὰρ πᾶσι δοκεῖ, τοῦτο εἶναι φαμὲν ὃ δ' ἅπαντα ταῦτα τῶν τῶν τῶν τῶν ἐστιν. οὐ πάνυ πιστὸς ἐρεῖ· ἡμῖν γὰρ τὰ αὐτὰ δοκεῖ τὰ δ' ῥήσεται αὐτῶν, ὧν αὐτὸ μόνον· εἰ δὲ καὶ τὸ φρόνιμα, πῶς λέγεται καλῶς αὐτῶν; ἴσως δὲ καὶ ἐν τοῖς φαύλοις ἐστί τι φυσικὸν ἀγαθὸν κρεῖττον ἢ καθ' αὑτὸ τὸ οἰκεῖον ἀγαθοῦ. οὐκ εἰσὶν οἱ δὲ οὐδὲ περὶ τοῦ ἀναγκαίου καλῶς λέγεσθαι. οὐ γὰρ φασὶν εἶναι λύπην κακὸν δεῖν· τὸν ἡδονὴν ὧν ἀγαθὸν εἶναι. ἀλλὰ πολλὰ γὰρ κακὸν κακῷ καὶ ἄμφω, τῷ μὴ δεῖν ἃ λέγονται, ταῦτα δ' οὐκ ἀκριβῶς. οὐ μὴν ὧν γε ἕνεκα ἕτερα μᾶλλον ἀληθεύονται· ἄμφω γὰρ οὐ τοῦ καθ' ἡδονὴν καὶ φυκτὰ ἀεὶ εἶναι ἄμφω, τῶν μὲν δεῖν, ἢ ἔστι οὐ ὁμοίως· μᾶλλον δὲ φαίνονται, τὸν μὲν φεύγομεν, ὡς κακόν· τὸν δ' αἰροῦμεν ὡς ἀγαθόν· οὕτω δὴ καὶ αὐτὰ ἔχει· οὐ μὴν οὐδ' εἰ μὴ ἔστι ποιότητα τὸν ἡδονὴν, διὰ τοῦτ' οὐδὲ τῶν ἀγαθῶν. οὐ δὲ γὰρ αἱ φύσει ἀρεταὶ ἐνέργειαί, ποιότητες εἰσίν· ἀλλ' οὐδὲ μερίδες. λέγουσι δὲ τὸν μὲν ἀγαθὸν εἶναι· τὸν δὲ ἡδονὴν οὐκ ἀγαθὸν εἶναι, ὅτι δέχεται τὸ μᾶλλον καὶ τὸ ἧττον· εἰ μὲν οὖν ἐκ τοῦ ἥδεσθαι τοῦτο λέγουσι· καὶ περὶ τὸν δικαιοσύνην καὶ τὰς ἄλλας ἀρετὰς καθ' ἃς δὴ μάλιστα φασὶν εἶναι ἀρετὰς ἔστι μᾶλλον καὶ ἧττον τοὺς τοιούτους ὑπάρχειν, ἢ κατὰ τὰς ἀρετὰς ἔστι τὸ αὐτὸ· δίκαιοι γὰρ εἶναι μᾶλλον ἔστιν ἀνδρεῖοι· ὅτι δὲ καὶ δικαιοπραγεῖν καὶ σωφρονεῖν μᾶλλον καὶ ἧττον· εἰσὶ γὰρ ταῖς ἡδοναῖς· μήποτ' οὐ λέγουσι τὸ αἴτιον ἀνῶσιν· αἱ μὲν ἀμιγεῖς· αἱ δὲ μικταί· τὴν κωλύφ' ἃ καθαρὰ περὶ ὑφαιρεῖσθαι οὖσα, δέχεται τὸ μᾶλλον καὶ ἧττον, οὕτω καὶ τὴν ἡδονὴν· οὐ γὰρ ἀπὸ τῆς συμμετρίας ἐν τοῖς σώμασιν· οὐδ' ἐν τῷ αὐτῷ μία τις αἰεὶ ἀλλὰ παντὶ μὲν ἡδονὴ ἀλλὰ μὴ ἐφ' ὅτου δὲ καὶ διαφέρει τῷ μᾶλλον καὶ ἧττον. τοιοῦτον δὴ καὶ περὶ τὴν ἡδονὴν ὑπολαμβάνουσιν εἶναι, τέλος δ' οὐ τιθέασιν· ἀλλὰ ἀγαθὸν τιθέασιν· τὰς δὲ κινήσεις τὰς ψυχὰς ἀτελεῖς, τὴν ἡδονὴν κίνησιν εἶναι ψυχῆς ἀτελῆ φάσκουσιν εἶναι· καλῶς δ' οἰκάσιλεγον· οὐδ' εἶναι κίνησιν.

πᾶσα γὰρ

πάσῃ γὰρ οἰκεῖον εἶναι δοκεῖ τάχος καὶ βραδυτὴς· καὶ εἰ μὴ κατ' αὐτὴν οἷον τῇ τοῦ κόσμου πρὸς ἄλλο. τῇ δ' ἡδονῇ φύτων οὐδέτερον ὑπάρχει· ἡθῶμαι μὲν γὰρ ὅτι ταχέως ὥσπερ ὀργισθῆναι· ἥδεσθαι δ' ὅ· ὅδε πρὸς ἕτερον. βαδίζειν δὲ καὶ αὔξεσθαι, καὶ πάντα τὰ τοιαῦτα. μεταβολὴν μὲν οὖν εἰς τὴν ἡδονὴν τάχους καὶ βραδέως ὅτιν· ἐνεργεῖν δὲ κατ' αὐτὴν τάχους ἢ ὅτι. λέγω δὲ ἥδεσθαι· γένεσίς τις πῶς ἂν εἴη· δοκεῖ γὰρ ἓν εἶναι τοιοῦτος τὸ τυχόντος τὸ τυχὸν γίνεσθαι· ἀλλ' ἐξ οὗ πάντα, εἰς τοῦτο διαλύεσθαι· καὶ ἡ γένεσις ἡ ἡδονή, τούτου ἡ λύπη φθορά· καὶ λέγουσι δὲ τὴν μὲν λύπην, ἔνδειαν εἶναι τοῦ κατὰ φύσιν· τὴν δ' ἡδονὴν ἀνάπλήρωσιν· ταῦτα δὲ σωματικὰ ὅτι πάθη· εἰ δὴ ὅτι τὸ κατὰ φύσιν ἀνάπλήρωσις ἡ ἡδονή, ἐν ᾧ ἀνάπλήρωσις, ᾗ τ' ἂν καὶ ἥδοιτο· τὸ σῶμα ἄρα· ἀ δοκεῖ δὲ, οὐκ ἔστιν ἄρα ἀνάπλήρωσις ἡ ἡδονή· ἀλλὰ γίνομένης μὲν ἀνάπληρώσεως ἥδοιτ' ἄν τις· ἡ τεμνόμενος, λυποῖτο· ἡ δόξα δ' αὐτὴ δοκεῖ πεφυκέναι ἐκ τῶν περὶ τὴν ξοφὴν λυπῶν καὶ ἡδονῶν· ἐνδεεῖς γὰρ γινομένους καὶ προλυπηθέντας, ἥδεσθαι τῇ ἀναπλήρώσει· τοῦτο δ' ὃ περὶ πάσας συμβαίνει τὰς ἡδονάς· ἀλλ' ὅτι ἰάρεισιν, αὐτὸ μαθηματικὸν καὶ καὶ τῶν κατὰ τὰς αἰσθήσεις καὶ διὰ φλοσφρήσεως, καὶ ἀκροάματα δὲ καὶ ὁράματα· πολλαὶ δὲ καὶ μνῆμαι καὶ ἐλπίδες· τίνος δ' ὄντα ταῦτα γίνεσθαι· ἐστὶν ἃ δὲ νῦν ἐνδέχεται γενέσθαι τοῦτο, ἃ γίνεται τῶν ἀναπλήρώσεις· πρὸς δὲ τοὺς προφέροντας τοὺς ἐπονειδίστους τῶν ἡδονῶν· λέγει τις ἂν, ὅτι ἀκέστικὸν θ' ἡδέα· ἃ γὰρ εἰ τοῖς κακῶς διακειμένοις ἡδέα ταῦτ' ὄντ', οἷον τὸ οὐ τὴν ἡδέα εἶναι ἁπλῶς, πλὴν τούτοις, καθάπερ οὐδὲ τοῖς κάμνουσιν ὑγιῆ ἁπλῶς τὰ κάκεῖνα πικρὰ, οὐδ' ἀλλὰ λευκὰ τὰ φαινόμενα τοῖς ὀφθαλμιῶσιν· ἢ οὕτω δὴ λέγοιτ' ἂν, ὅτι αἱ μὴν ἡδοναί, αἱρετέαι εἰσὶν· οὐ μὴν ἀλλὰ τόγε τούτων, ὡς περ καὶ τὸ πλουτεῖν προσλόμενος δ'· καὶ τὸ ὑπάρχειν· οὐ μὴν ὁτιοῦν φαῦλόν τι· ἢ τῷ εἰληφ

διαφέρουσιν αἱ ἡδοναί· ἕτεραι γὰρ αἱ ἀπὸ τῶν καλῶν· τῶν ἀπὸ
τῶν αἰσχρῶν· καὶ οὐκ ἔστιν ἡσθῆναι τὴν τοῦ δικαίου, μὴ ὄντα δί-
καιον· μὴ δὲ τὴν τοῦ μουσικοῦ, μὴ ὄντα μουσικόν· ὁμοίως δὲ καὶ
ἐπὶ τῶν ἄλλων· ἐμφανίζειν δὲ δοκεῖ καὶ ὁ φίλος ἕτερος ὢν τοῦ
κόλακος, οὐκ οὖσαν ἀγαθὸν τὴν ἡδονήν· ἢ διαφόρους εἴδει· ὁ μὲν
γὰρ πρὸς τὸ ἀγαθὸν ὁμιλεῖν δοκεῖ· ὁ δὲ, πρὸς ἡδονήν· καὶ τὸ μὲν,
ὀνειδίζεται· τὸ δ' ἐπαινοῦσιν, ὡς πρὸς ἕτερα ὁμιλοῦντα· οὐδείς
τ' ἂν ἕλοιτο ζῆν παιδίου διάνοιαν ἔχων διὰ βίου· ἡδόμενος ἐφοῖς
τὰ παιδία ὡς οἷον ταιμάλιστα· οὐδὲ χαίρειν ποιῶν τι τῶν αἰ-
σχρῶν· μηδέποτε μέλλων λυπηθῆναι, περὶ πολλά τε πουδὴ μ
ποιησαίμεθα ἂν· καὶ εἰ μηδεμίαν ἐπιφέρει ἡδονήν· οἷον ὁρᾶν·
μνημονεύειν· εἰδέναι· τὰς ἀρετὰς ἔχειν· εἰ δ' ἐξανάγκης ἕπον-
ται τούτοις αἱ ἡδοναὶ, οὐδὲν διαφέρει· ἑλοίμεθα γὰρ ἂν ταῦτα, καὶ
εἰ μὴ γένοιτ' ἂν ἀπ' αὐτῶν ἡδονή· ὅτι μὲν οὖν οὔτε ἀγαθὸν ἡ ἡδο-
νή, οὔτε πᾶσα αἱρετὴ, δῆλον ἔοικεν εἶναι· καὶ ὅτι εἰσὶν αἱρεταί τι
νεσκαθ' αὐτὰς διαφέρουσαι τῷ εἴδει ἢ ἀφ' ὧν· τὰ μὲν οὖν λε-
γόμενα περὶ τῆς ἡδονῆς καὶ λύπης, ἱκανῶς εἰρήσθω· τί δ' ἐστίν, ἢ
ποῖόν τι, καταφανέστερον γένοιτ' ἂν ἀπ' ἀρχῆς ἀναλαβοῦσι· δο-
κεῖ γὰρ ἡ μὲν ὅρασις καθ' ὁντινοῦν χρόνον, τελεία εἶναι· οὐ γάρ ἐ-
στιν ἐν δεὴς οὐδενὸς, ὃ εἰς ὕστερον γενόμενον τελειώσει αὐτῆς τὸ
εἶδος· τούτῳ δ' ἔοικε καὶ ἡδονή· ὅλον γὰρ τί ἐστι· καὶ κατ' οὐδένα
χρόνον λάβοι τὶς ἂν ἡδονήν· ἧς ἐπιπλείω χρόνον γινομένης τε-
λειωθήσεται τὸ εἶδος· διόπερ οὐδὲ κίνησίς ἐστιν· ἐν χρόνῳ γὰρ πᾶ-
σα κίνησις καὶ τέλους τινὸς, οἷον ἡ οἰκοδομικὴ τελεία ὅταν τριή-
σῃ οὗ ἕνεται, ἢ ἐν ἅπαντι δὴ τῷ χρόνῳ φύτῳ· ἐν δὲ τοῖς μέρεσι
τοῦ χρόνου πᾶσαι ἀτελεῖς· καὶ ἕτεραι τῷ εἴδει τῆς ὅλης καὶ ἀλλή-
λων ἡ γὰρ τῶν λίθων σύνθεσις, ἑτέρα τῆς τοῦ κίονος ῥαβδώσε-
ως· καὶ αὗται τῆς τοῦ ναοῦ ποιήσεως· καὶ ἡ μὲν τοῦ ναοῦ τε-
λεία· οὐδενὸς γὰρ ἐνδεὴς πρὸς τὸ προκείμενον· ἡ δὲ τῆς κρη-

πῖδος

πῖδος καὶ τοῦ ζειτλύφου, ἀτελής· μέρους γὰρ ἑκατέρα· τῷ εἴδει οὖν διαφέρουσιν, καὶ οὐκ ἔστιν ἐν ὁτῳοῦν χρόνῳ λαβεῖν κίνησιν τελείαν τῷ εἴδει· ἀλλ' εἴπερ ἐν τῷ παντί· ὁμοίως δὲ καὶ ἐπὶ βαδίσεως καὶ τῶν λοιπῶν· εἰ γὰρ ἔστιν ἡ φορὰ κίνησις πόθεν ποῖ, καὶ ταύτης διαφοραὶ κατ' εἶδος· πτῆσις· βάδισις· ἅλσις, καὶ τὰ τοιαῦτα· οὐ μόνον δὲ οὕτως, ἀλλὰ καὶ ἐν αὐτῇ τῇ βαδίσει· τὸ γὰρ πόθεν ποῖ, οὐ ταυτὸν ἐν τῷ σταδίῳ καὶ τῷ μέρει καὶ ἐν ἑτέρῳ καὶ ἑτέρῳ μέρει· οὐ δὲ τὸ διεξιέναι τὴν γραμμὴν τὴν δὲ κἀκείνην· οὐ μόνον γὰρ γραμμὴν διαπορεύεται, ἀλλὰ καὶ ἐν τόπῳ οὖσαν· ἐν ἑτέρῳ δ' αὕτη ἐκείνης, δι' ἀκριβείας μὲν οὖν περὶ κινήσεως ἐν ἄλλοις εἴρηται· ἔοικε δ' οὐκ ἐν ἅπαντι χρόνῳ τελεία εἶναι, ἀλλ' αἱ πολλαὶ ἀτελεῖς καὶ διαφέρουσαι τῷ εἴδει, εἴπερ τὸ πόθεν ποῖ εἴδοποιόν· τὴν ἡδονῆς δ' ἐν ὁτῳοῦν χρόνῳ τέλειον τὸ εἶδος· δῆλον οὖν ὡς ἑτεραί τε ἂν εἶεν ἀλλήλων, καὶ τῶν ὅλων τι καὶ τελείων ἡ ἡδονή· δόξειε δ' ἂν τοῦτο καὶ ἐκ τοῦ μὴ ἐνδέχεσθαι κινεῖσθαι μὴ ἐν χρόνῳ, ἥδεσθαι δέ· τὸ γὰρ ἐν τῷ νῦν ὅλον τι· ἐκ τούτων δὲ δῆλον, καὶ ὅτι οὐ καλῶς λέγουσι κίνησιν ἢ γένεσιν εἶναι τὴν ἡδονήν· οὐ γὰρ πάντων ταῦτα λέγεται, ἀλλὰ τῶν μεριστῶν καὶ μὴ ὅλων· οὐ δὲν ὁράσεώς ἐστι γένεσις, οὐ δὲ στιγμῆς· οὐ δὲ μονάδος, οὐ δὲ τούτων οὐδὲν κίνησις· οὐ δὲ γένεσις· οὐ δὲ δὴ ἡδονῆς· ὅλον γάρ τι· αἰσθήσεως δὲ πάσης πρὸς τὸ αἰσθητὸν ἐνεργούσης, τελείως δὲ τῷ ἐν διακειμένης πρὸς τὸ κάλλιστον τῶν ὑπὸ τὴν αἴσθησιν κειμένων· τοιοῦτον γὰρ μάλιστ' εἶναι δοκεῖ ἡ τελεία ἐνέργεια· αὐτὴν δὲ λέγειν ἐνεργεῖν· ἢ ἐν ᾧ ἐστι, μηδὲν διαφερέτω· καθ' ἕκαστον δὲ βελτίστη ἐστὶν ἡ ἐνέργεια, τοῦ ἀρισταδιακειμένου πρὸς τὸ κράτιστον τῶν ὑφ' αὑτήν· αὕτη δ' ἂν τελειοτάτη εἴη καὶ ἡδίστη· κατὰ πᾶσαν γὰρ αἴσθησίν ἐστιν ἡ ἡδονή· ὁμοίως δὲ καὶ διάνοιαν καὶ θεωρίαν· ἡδίστη δὲ ἡ τελειοτάτη· τελειο-

τάτη δὲ ἡ τοῦ ὦ ἔχοντος πρὸς τὸ σπουδαιότατον τῶν ὑφαὐ
τῶν· τελειοῖ δὲ τὴν ἐνέργειαν ἡ ἡδονή· οὐ τὸν αὐτὸν δὲ τρόπον
ἥ, τε ἡδονὴ τελειοῖ καὶ τὸ αἰσθητόν τε καὶ ἡ αἴσθησις, σπουδαιάον-
τα· ὥσπερ οὐδὲ ἡ ὑγίεια καὶ ὁ ἰατρὸς ὁμοίως αἰτιά ἐστι τοῦ γιαί
νειν· καθ' ἑκάστην δ' αἴσθησιν ὅτι γίνεται ἡ ἡδονὴ δῆλον· φα-
μὲν γὰρ ὁράματα καὶ ἀκούσματα εἶναι ἡδέα· δῆλον γὰρ δὴ
καὶ ὅτι μάλιστα, ἐπειδὰν ἥ, τε αἴσθησις εἴη κρατίστη καὶ πρὸς
τοιοῦτον ἐνεργῇ· τοιούτων δὲ ὄντων τοῦ τε αἰσθητοῦ καὶ τοῦ
αἰσθανομένου, ἀεὶ ἔσται ἡδονή· ὑπάρχοντός γε τοῦ ποιήσοντος
καὶ τοῦ πεισομένου· τελειοῖ δὲ τὴν ἐνέργειαν ἡ ἡδονὴ, οὐχ ὡς ἕ-
ξις ἐνυπάρχουσα, ἀλλ' ὡς ἐπιγινόμενόν τι τέλος· οἷον τοῖς ἀκ
μαίοις ἡ ὥρα· ἕως δ' οὗ ἄν ποτε τὸ αἰσθητὸν ἢ νοητὸν ἢ οἷον
δεῖ, καὶ τὸ κρίνον καὶ θεωροῦν, ἔσται ἐν τῇ ἐνεργείᾳ ἡ ἡδονῇ· ὁ-
μοίων γὰρ ὄντων, καὶ πρὸς ἄλληλα τὸν αὐτὸν τρόπον ἐχόν-
των, τοῦ τε παθητικοῦ καὶ τοῦ ποιητικοῦ, τὸ αὐτὸ πέφυκε
γίνεσθαι· πῶς οὖν οὐδεὶς συνεχῶς ἥδεται ἢ κάμνει· πάντα
γὰρ τὰ ἀνθρώπεια ἀδυνατεῖ συνεχῶς ἐνεργεῖν· οὐ γίνεται
οὖν οὐδ' ἡδονή· ἕπεται γὰρ τῇ ἐνεργείᾳ· ἔνια δὲ τέρπει καὶ
νὰ ὄντα· ὕστερον δὲ οὐ ὁμοίως διὰ ταῦτα· τὸ μὲν γὰρ πρῶ-
τον παρακέκληται ἡ διάνοια καὶ διατεταμένας περὶ αὐ-
τὰ ἐνεργεῖ, ὥσπερ κατὰ τὴν ὄψιν οἱ ἐμβλέποντες· μετέπει
τα δὲ οὐ γίνεται τοιαύτη ἡ ἐνέργεια, ἀλλὰ παρημελημένη·
διὸ καὶ ἡ ἡδονὴ ἀμαυροῦται· ὀρέγεσθαι δὲ τῆς ἡδονῆς οἰηθείη τις
ἂν ἅπαντας· ὅτι καὶ τοῦ ζῆν ἅπαντες ἐφίενται· ἡ δὲ ζωὴ, ἐνέρ
γεια τίς ἐστι· καὶ ἕκαστος περὶ ταῦτα καὶ τούτοις ἐνεργεῖ, ἃ ἐκ μά-
λιστα ἀγαπᾶ· οἷον ὁ μὲν μουσικὸς, τῇ ἀκοῇ, περὶ τὰ μέλη·
ὁ δὲ φιλομαθὴς, τῇ διανοίᾳ περὶ τὰ θεωρήματα· οὕτω δὲ
καὶ τῶν λοιπῶν ἕκαστος· ἡ δὲ ἡδονὴ, τελειοῖ τὰς ἐνεργεί-
ας· καὶ τὸ ζῆν δὲ οὗ ὀρέγονται· εὐλόγως οὖν καὶ τῆς ἡδονῆς

ἐφίενται

ἐφίενται· τελειοῖ γὰρ ἑκάστῳ τὸ ζῆν αἱρετὸν ὄν· πότερον δὲ διὰ τὴν
ἡδονὴν τὸ ζῆν αἱρούμεθα, ἢ διὰ τὸ ζῆν τὴν ἡδονὴν, ἀφείσθω ἐν τῷ
παρόντι· συνεζεῦσθαι μὲν γὰρ ταῦτα φαίνεται, καὶ χωρισμὸν οὐ
δέχεσθαι· ἄνευ τε γὰρ ἐνεργείας, οὐ γίνεται ἡδονή· πᾶσαν τε γὰρ ἐνέρ-
γειαν τελειοῖ ἡ ἡδονή· ὅθεν δοκοῦσι καὶ τῷ εἴδει διαφέρειν· τὰ
γὰρ ἕτερα τῷ εἴδει, ὑφ' ἑτέρων οἰόμεθα τελειοῦσθαι· διαφέρουσι δὲ
αἱ τῆς διανοίας τῶν κατὰ τὰς αἰσθήσεις· τῶν γὰρ φαίνεται καὶ
τὰ φυσικὰ καὶ τὰ ὑπὸ τέχνης· οἷον, ζῶα καὶ δένδρα καὶ γρα-
φὴ· καὶ ἀγάλματα· καὶ οἰκία καὶ σκεῦος· ὁμοίως δὴ καὶ τὰς
ἐνεργείας τὰς διαφερούσας τῷ εἴδει ὑπὸ φερόντων τῷ εἴδει τε-
λειοῦσθαι· διαφέρουσι δὲ αἱ τῆς διανοίας τῶν κατὰ τὰς αἰ-
σθήσεις· καὶ αὗται ἀλλήλων κατ' εἶδος· καὶ αἱ τελειοῦσαι δὴ ἡ-
δοναί· φανείη δ' ἂν τοῦτο καὶ ἐκ τοῦ συνῳκειῶσθαι τῶν ἡδο-
νῶν ἑκάστην τῇ ἐνεργείᾳ ἣν τελειοῖ· συνάξει γὰρ τὴν ἐνέρ-
γειαν ἡ οἰκεία ἡδονή· μᾶλλον γὰρ ἕκαστα κρίνουσι καὶ ἐξακρι-
βοῦσιν οἱ μεθ' ἡδονῆς ἐνεργοῦντες· οἷον γεωμετροὶ καὶ γίνονται· οἱ
χαίροντες τῷ γεωμετρεῖν, καὶ κατανοοῦσιν ἕκαστα μᾶλλον· ὁμοί-
ως δὲ καὶ φιλόμουσι, καὶ φιλοικοδόμοι καὶ τῶν ἄλλων ἕκαστοι
ἐπιδιδόασιν εἰς τὸ οἰκεῖον ἔργον χαίροντες αὐτῷ· συναύξουσι δὲ
αἱ ἡδοναὶ· τὰ δὲ συναύξοντα οἰκεῖα· τοῖς ἑτέροις δὲ τῷ εἴδει,
καὶ τὰ οἰκεῖα ἕτερα τῷ εἴδει· ἔτι δὲ μᾶλλον τοῦτ' ἂν φανείη ἐκ
τοῦ τὰς ἀφ' ἑτέρων ἡδονὰς ἐμποδίους ταῖς ἐνεργείαις εἶναι· οἱ δὲ
φαῦλοι ἀδυναφοῦσι τοῖς λόγοις προσέχειν, ἐὰν κατακούσωσιν
αὐλοῦντος μᾶλλον· χαίροντες αὐλητικῇ τῆς παρούσης ἐνεργείας·
ἡ κατὰ τὴν αὐλητικὴν οὖν ἡδονὴ, τὴν περὶ τὸν λόγον ἐνέργειαν φθείρει·
ὁμοῖον δὲ τοῦτο καὶ ἐπὶ τῶν ἄλλων συμβαίνει, ὅταν ἅμα περὶ δύο ἐνερ-
γῇ· ἡ γὰρ ἡδίων τὴν ἑτέραν ἐκκρούει· καὶ ἐὰν πολὺ διαφέρῃ κα-
τὰ τὴν ἡδονὴν, μᾶλλον ὥστε μηδὲν ἐνεργεῖν κατὰ τὴν ἑτέ-
ραν· διὸ χαίροντες ὁτῳοῦν σφόδρα οὐ πάνυ δρῶμεν ἕτε-

ρον· καὶ ἄλλα ποιοῦμεν ἄλλοις ἠρέμα ἀρεσκόμενοι, οἷον καὶ ἐν
τοῖς θεάτροις οἱ τραγηματίζοντες· ὅταν φαῦλοι ἀγωνιζόμενοι
ὦσι τότε μάλιστα αὐτὸ δρῶσιν· ἐπεὶ δ' ἡ μὲν οἰκεία ἡδονὴ ἐξακρι
βοῖ τὰς ἐνεργείας καὶ χρονιωτέρας καὶ βελτίους ποιεῖ· αἱ δ' ἀλλό-
τριαι λυμαίνονται, δῆλον ὡς πολὺ διεστᾶσι· σχεδὸν γὰρ αἱ ἀλλό-
τριαι ἡδοναὶ ποιοῦσιν· ὅπερ αἱ οἰκεῖαι λύπαι· φέρουσι δὲ τὰς ἐνεργεί
ας αἱ οἰκεῖαι λύπαι· οἷον εἴ τῳ τὸ γράφειν ἀηδὲς καὶ ἀλλ' ἄλλο τι, ἢ τὸ λο-
γίζεσθαι, ὁ μὲν, οὐ γράφει· ὁ δὲ, οὐ λογίζεται· λυπηρᾶς οὔσης τῆς
ἐνεργείας· συμβαίνει δὴ περὶ τὰς ἐνεργείας τοὐναντίον ἀπὸ
τῶν οἰκείων ἡδονῶν τε καὶ λυπῶν· οἰκεῖαι δ' εἰσὶν, αἱ ἀλλὰ τῇ ἐνεργείᾳ
καθ' αὑτὴν τινόμεναι· αἱ δ' ἀλλότριαι ἡδοναὶ εἴρηνται, ὅτι πα
ραπλήσιόν τι τῇ λύπῃ τοιοῦσι· φθείρουσι δὲ, πλὴν οὐχ ὁμοῖ· δια
φερουσῶν δὲ τῶν ἐνεργειῶν ἀλλ' οἰκείᾳ καὶ φαυλότητι, καὶ τῶν μὲν,
αἱρετῶν οὐσῶν· τῶν δὲ φευκτῶν, τῶν δὲ, οὐδετέρων, ὁμοίως ἔχου
σι καὶ αἱ ἡδοναὶ· καθ' ἑκάστην γὰρ ἐνέργειαν οἰκεία ἡδονή ἐστιν· ἡ μὲν οὖν
τῇ σπουδαίᾳ οἰκεία ἀλλ' εἰκής· ἡ δὲ τῇ φαύλῃ μοχθηρά· καὶ γὰρ αἱ
ἀλλ' θυμίαι τῶν μὲν καλῶν, ἐπαινεταί· τῶν δ' αἰσχρῶν, ψεκταί· οἰ
κειότεραι δὲ ταῖς ἐνεργείαις, αἱ ἐν αὐταῖς ἡδοναὶ, τῶν ὀρέξεων· αἱ μὲν
γὰρ διωρισμέναι εἰσὶ καὶ τοῖς χρόνοις καὶ τῇ φύσει· αἱ δὲ, συνέγγυς
ταῖς ἐνεργείαις, καὶ ἀδιόριστοι οὕτως, ὥστ' ἔχειν ἀμφισβήτησιν
εἰ ταυτόν ἐστιν ἡ ἐνέργεια τῇ ἡδονῇ· οὐ μὴν ἔοικέ γε ἡ ἡδονὴ διάνοια εἶναι
οὐδ' ἡ αἴσθησις· ἄτοπον γὰρ· ἀλλὰ διὰ τὸ μὴ χωρίζεσθαι, φαίνεται
ταυτόν τισιν, ὥσπερ αἱ ἐνέργειαι ἕτεραι, καὶ αἱ ἡδοναί· διαφέρει δὲ
ἡ ὄψις ἁφῆς, καθαριότητι, καὶ ἀκοὴ καὶ ὄσφρησις, γεύσεως· ὁμοί-
ως δὲ διαφέρουσι, καὶ αἱ ἡδοναὶ, καὶ τούτων αἱ περὶ τὴν διάνοιαν
καὶ ἑκάτεραι ἀλλήλων· δοκεῖ δ' εἶναι ἑκάστῳ ζώῳ καὶ ἡδονὴ οἰκεία
ὥσπερ ἔργον· ἡ γὰρ κατὰ τὴν ἐνέργειαν καὶ ἐφ' ἑκάστῳ θεωροῦντι, τοῦ-
τ' ἂν φανείη· ἑτέρα γὰρ ἵππου ἡδονὴ καὶ κυνὸς καὶ ἀνοῦ καθά
περ ἡράκλειτός φησιν ὄνους σύρματα ἂν ἑλέσθαι μᾶλλον ἢ χρυσὸν

ἥδιον

ἥδιον γὰρ χρυσοῦ τροφὴ ὄνοις· αἱ μὲν οὖν τῶν ἑτέρων τῷ εἴδει διαφέρουσιν εἴδει· τὰς δὲ τῶν αὐτῶν, ἀδιαφόρους εὔλογον εἶναι· διαλλάττουσι δὲ οὐ μικρὸν ὡς γε τῶν ἀνθρώπων· τὰ γὰρ αὐτὰ, τοὺς μὲν λυπεῖ· τοὺς δὲ, τέρπει· καὶ τοῖς μὲν, λυπηρὰ καὶ μισητά ἐστι· τοῖς δὲ, ἡδέα καὶ φιλητά· καὶ ὡς λυκέων δὲ τοῦτο συμβαίνει· οὐ γὰρ τὰ αὐτὰ τῷ πυρέττοντι δοκεῖ καὶ τῷ ὑγιαίνοντι· οὐ δὲ θερμὸν εἶναι τῷ ἀσθενεῖ καὶ τῷ εὐεκτικῷ· ὁμοίως δὲ καὶ ἐφ' ἑτέρου τοῦτο συμβαίνει· δοκεῖ δ' ἐνάπασι τοῖς τοιούτοις εἶναι τὸ φαινόμενον τῷ σπουδαίῳ· εἰ δὲ τοῦτο καλῶς λέγεται, καθάπερ δοκεῖ καὶ ἐστί· καὶ ἑκάστου μέτρον ἡ ἀρετή· καὶ ὁ ἀγαθὸς ἢ τοιοῦτος· καὶ ἡδοναὶ εἶεν ἂν αἱ τούτῳ φαινόμεναι καὶ ἡδέα, οἷς οὗτος χαίρει· τὰ δὲ τούτῳ δυσχερῆ εἴτῳ φαίνεται ἡδέα, οὐδὲν θαυμαστόν· πολλαὶ καὶ φθοραὶ καὶ λύμαι ἀνῶν γίνονται· ἡδέα δ' οὐκ ἔστιν, ἀλλὰ τούτοις καὶ οὕτω διακειμένοις· τὰς μὲν οὖν ὁμολογουμένως αἰσχρὰς δῆλον ὡς οὐ φατέον ἡδονὰς εἶναι· πλὴν τοῖς διεφθαρμένοις· τῶν δ' ὡς εἰκὸς δοκοῦσιν εἶναι· ποίαν ἢ τίνα φατέον τοιαύτην εἶναι, ἢ ἐκ τῶν ἐνεργειῶν δῆλον· ταύταις γὰρ ἕπονται αἱ ἡδοναί· εἴτ' οὖν μία ἐστὶν εἴτε πλείους αἱ τοιγελοίου καὶ μακαρίου ἀνδρὸς αἱ ταύτας τελειοῦσαι ἡδοναί, κυρίως λέγοιντ' ἂν ἀνοῦ ἡδοναὶ εἶναι· αἱ δὲ λοιπαί, δευτέρως καὶ πολλοστῶς, ὥσπερ αἱ ἐνέργειαι· εἰρημένων δὲ τῶν περὶ τὰς ἀρετάς τε καὶ φιλίας καὶ ἡδονὰς, λοιπὸν περὶ εὐδαιμονίας τύπῳ διελθεῖν· ἐπεὶ δὴ τέλος αὐτὴν τίθεμεν τῶν ἀνθρωπίνων· ἀναλαβοῦσι δὴ τὰ προειρημένα, συντομώτερος ἂν εἴη ὁλόγος· εἴπομεν δ' ὅτι οὐκ ἔστιν ἕξις· καὶ γὰρ τῷ καθεύδοντι διὰ βίου ὑπάρχοι ἂν φυτοῦ ζῶντι βίον· καὶ τῷ δυστυχοῦντι τὰ μέγιστα· εἰ δὴ ταῦτα μὴ ἀρέσκει, ἀλλὰ μᾶλλον εἰς ἐνέργειαν τινὰ θετέον· καθάπερ ἐν τοῖς πρότερον εἴρηται· τῶν δ' ἐνεργειῶν αἱ μὲν εἰσιν ἀναγκαῖαι, καὶ δι' ἕτερα αἱρεταί· αἱ δὲ, καθ' αὑτὰς· δῆλον ὅτι τὴν εὐδαιμονίαν τῶν καθ' αὑτὰς αἱρετῶν τινα θετέον καὶ οὐ

τῶν δ' ἄλλο. οὐδενὸς γὰρ ἐνδεὴς ἡ εὐδαιμονία. ἀλλ' αὐτάρκης. καθ' αὑτὸν δ' εἰσὶν αἱρεταὶ, ἀφ' ὧν μηδὲν ἐπιζητεῖται παρὰ τὴν ἐνέργειαν. τοιαῦται δ' εἶναι δοκοῦσιν, αἱ κατὰ τὰς ἀρετὰς πράξεις. τὸ γὰρ καλὰ καὶ κατ' ἀρετὴν πράττειν, τῶν δι' αὐτὰ αἱρετῶν, καὶ τῶν ἀναφόβων δέ ἐστιν ἡδέα. οὐχὶ δὲ ἕτερα αὐτὰ τοῖς αἱρετοῖς ταῦτα. βλάπτοντα γὰρ ἂν αὐτῶν μᾶλλον ἢ ὠφελοῦντα ἂν εἴη τὰ μεμελδωτα τῶν σωμάτων καὶ φυτείας. καταφεύγουσι δὲ ἐπὶ τὰς τοιαύτας διαγωγὰς τῶν εὐδαιμονιζομένων οἱ πολλοί. διὸ παρὰ τοῖς τυράννοις οἱ ἐν τοῖς τοιούτοις διατρίβοντες εὐτράπελοι. ὧν γὰρ ἐφίενται, ἐν τούτοις παρέχουσι σφᾶς αὐτοὺς ἡδεῖς. δοκοῦσι δὲ τούτων. δοκεῖ μὲν εὐδαιμονικὰ ταῦτα εἶναι, διὰ τοὺς ἐν τοῖς δυνάσταις ἐν τούτοις ἀπορολαύειν. ὅδε δὲ ἴσως ἐστὶ μεμιγμένοι γὰρ τοιοῦτοί εἰσιν. ὁ γὰρ ἐν τῇ δυνάστῃ ἡ ἀρετὴ οὐδ' ὁμῶς. ἀφ' ὧν αἱ πονηραὶ ἐνέργειαι. οὐδ' εἰ ἀγωγοί οὗτοι ὅμοιοι ἢ σοφὸς εὐλυκειμῶσι καὶ ἐλευθερίου, ἐπὶ τοῖς σωματικὰς καταφύγουσι. διὰ τοῦτο ταύτας οἰκτίρομεν αἱρετωτέρας εἶναι. καὶ γὰρ οἱ παῖδες, τὰ παρ' αὐτοῖς τιμώμενα, κρατίστα οἴονται εἶναι. διὸ λογον δὴ ὥσπερ παισὶ καὶ ἀνδράσιν ἕτερα φαίνεται τίμια, ἅτερα καὶ φαύλοις καὶ ἐπιεικέσι. καθάπερ ὧν πολλάκις εἴρηται καὶ τίμια καὶ ἡδέα ἐστὶ τὰ τῷ σπουδαίῳ τοιαῦτα οὐτοι ἑκάστῳ δὲ κατὰ τὴν οἰκείαν ἕξιν, αἱρετώτατ' ἐνέργειαι. καὶ τῷ σπουδαίῳ δὲ κατὰ τὴν ἀρετήν. οὐκ ἐν παιδιᾷ ἄρα ἡ εὐδαιμονία. καὶ γὰρ ἄτοπον τὸ τέλος εἶναι παιδιάν, καὶ πράγματα καὶ κακοπαθεῖν τὸν βίον ἅπαντα σπουδάζειν χάριν. ἅπαντα δὴ ὡς εἰπεῖν ἕτερα χάριν αἱρόμεθα, πλὴν τῆς εὐδαιμονίας. τέλος γὰρ αὕτη. σπουδάζειν δὲ καὶ πονεῖν παιδιᾶς χάριν, ἢ λίαν φαίνεται καὶ λίαν παιδικόν. παίζειν δ' ὅπως σπουδάζῃ καὶ ἀνάπαυσιν, ὀρθῶς ἔχειν δοκεῖ. ἀναπαύσει γὰρ ἐοικεν ἡ παιδιά. ἀδυνατοῦντες δὲ συνεχῶς πονεῖν, ἀνάπαυσιν

σπουδῆς

παύσεως δέονται. οὐ δὴ τέλος ἡ ἀνάπαυσις· γίνεται γὰρ ἕνεκα τῆς ἐνεργείας. δοκεῖ δ' ὁ εὐδαίμων βίος κατ' ἀρετὴν εἶναι. οὗτος δὲ σπουδαῖος· ἀλλ' οὐκ ἐν παιδιᾷ. βελτίω δὲ λέγομεν τὰ σπουδαῖα τῶν γελοίων· καὶ μετὰ παιδιᾶς, καὶ τοῦ βελτίονος ἀεὶ μορίου καὶ ἀνθρώπου σπουδαιοτέραν τὴν ἐνέργειαν. ἡ δὲ τοῦ βελτίονος κρείττων καὶ εὐδαιμονικοτέρα ἡδὴ, ἀπολαύσει ἑτἂν τῶν σωματικῶν ἡδονῶν ὁ τυχὼν καὶ ἀνδράποδον οὐχ ἧττον τοῦ ἀρίστου. εὐδαιμονίας δ' οὐδεὶς ἀνδραπόδῳ μεταδίδωσιν, εἰ μὴ καὶ βίου. οὐ γὰρ ἐν ταῖς τοιαύταις διαγωγαῖς ἡ εὐδαιμονία ἀλλ' ἐν ταῖς κατ' ἀρετὴν ἐνεργείαις, καθάπερ πρότερον εἴρηται. Εἰ δ' ἔστιν ἡ εὐδαιμονία κατ' ἀρετὴν ἐνέργεια, εὔλογον κατὰ τὴν κρατίστην. αὕτη δ' ἂν εἴη τοῦ ἀρίστου, εἴτε δὴ νοῦς τοῦτο, εἴτε ἄλλο τι, ὃ δὴ κατὰ φύσιν δοκεῖ ἄρχειν καὶ ἡγεῖσθαι, καὶ ἔννοιαν ἔχειν περὶ καλῶν καὶ θείων, εἴτε θεῖον ὂν καὶ αὐτὸ, εἴτε τῶν ἐν ἡμῖν τὸ θειότατον ἡ τούτου ἐνέργεια κατὰ τὴν οἰκείαν ἀρετῆ εἴη δ' ἂν ἡ τελεία εὐδαιμονία. ὅτι δ' ἐστὶ θεωρητικὴ, εἴρηται. ὁμολογούμενον δὲ τοῦτ' ἂν δόξειεν εἶναι καὶ τοῖς πρότερον καὶ τῷ ἀληθεῖ. κρατίστη τε γὰρ αὕτη ἐστὶν ἡ ἐνέργεια. καὶ γὰρ ὁ νοῦς τῶν ἐν ἡμῖν καὶ τῶν γνωστῶν περὶ ἃ ὁ νοῦς. ἔτι δὲ συνεχεστάτη. θεωρεῖν τε γὰρ δυνάμεθα συνεχῶς μᾶλλον ἢ πράττειν ὁτιοῦν. οἰόμεθά τε δεῖν ἡδονὴν παραμεμίχθαι τῇ εὐδαιμονίᾳ. ἡδίστη δὲ τῶν κατ' ἀρετὴν ἐνεργειῶν ἡ κατὰ τὴν σοφίαν ὁμολογουμένως λ'. δοκεῖ γοῦν ἡ σοφία, θαυμαστὰς ἡδονὰς ἔχειν καθαριότητι καὶ τῷ βεβαίῳ, εὔλογον δὲ τοῖς εἰδόσι τῶν ζητούντων ἡδίω τὴν ἀγωγὴν εἶναι. ἡ τελεγομένη αὐτάρκεια περὶ τὴν θεωρητικὴν, μάλιστ' ἂν εἴη. τῶν μὲν γὰρ πρὸς τὸ ζῆν ἀναγκαίων, καὶ σοφὸς καὶ δίκαιος καὶ οἱ λοιποὶ δέονται. τοῖς δὲ τοιούτοις ἱκανῶς κεχώρηται μένων, ὁ μὲν δίκαιος δεῖται πρὸς οὓς δικαιοπραγήσει καὶ μεθ' ὧν. ὁμοίως δὲ καὶ ὁ σώφρων καὶ ὁ ἀνδρεῖος καὶ τῶν ἄλλων ἕκαστος. ὁ δὲ

σοφὸς καὶ καθ' αὑτὸν ὢν δύναται θεωρεῖν· καὶ ὅσω ἂν σοφὸς ᾖ
μᾶλλον· βέλτιον δ' ἴσως συνεργοὺς ἔχων· ἀλλ' ὅμως αὐταρκέ-
στατος· δόξει δ' ἂν αὐτὴ μόνη δι' αὑτὴν ἀγαπᾶσθαι· οὐδὲν γὰρ ἀπ'
αὐτῆς γίνεται παρὰ τὸ θεωρῆσαι· ἀπὸ δὲ τῶν πρακτῶν, ἢ πλεῖον
ἢ ἔλαττον περιπριούμεθα παρὰ τὴν πρᾶξιν· δοκεῖ τε ἡ εὐδαιμο-
νία ἐν τῇ σχολῇ εἶναι· ἀσχολούμεθα γὰρ ἵνα σχολάζωμεν, καὶ πολε-
μοῦμεν· ἵνα εἰρήνην ἄγωμεν· τῶν μὲν οὖν πρακτικῶν ἀρετῶν, ἐν τοῖς
πολιτικοῖς ἢ τοῖς πολεμικοῖς, αἱ ἐνέργειαι· αἱ δὲ περὶ ταῦτα πράξεις,
δοκοῦσιν ἄσχολοι εἶναι· αἱ μὲν οὖν πολεμικαί, καὶ παντελῶς· οὐδεὶς γὰρ
αἱρεῖται τὸ πολεμεῖν, τοῦ πολεμεῖν ἕνεκα· οὐδὲ παρασκευά-
ζειν πόλεμον· δόξαι γὰρ ἂν παντελῶς μιαιφόνος τὸς εἶναι· εἰ τοὺς
φίλους πολεμίους ποιοῖτο· ἵνα μάχαι καὶ φόνοι γίγνοιντο· ἔστι δὲ
καὶ ἡ τοῦ πολιτικοῦ ἄσχολος καὶ παρ' αὐτὸ τὸ πολιτεύεσθαι πε-
ριπριουμένη δυναστείας καὶ τιμάς· ἢ τὴν γε εὐδαιμονίαν αὐτῷ
καὶ τοῖς πολίταις ἑτέραν οὖσαν τῆς πολιτικῆς, ἣν καὶ ζητοῦμεν·
δῆλον ὡς ἑτέραν οὖσαν· εἰ δὲ τῶν μὲν κατὰ τὰς ἀρετὰς πράξε-
ων αἱ πολεμικαὶ καὶ πολιτικαὶ κάλλει καὶ μεγέθει προέχου-
σιν· αὗται δὲ ἄσχολοι καὶ τέλους τινὸς ἐφίενται, καὶ οὐδ' αὐτάς εἰ-
σιν αἱρεταί· ἡ δὲ τοῦ νοῦ ἐνέργεια σπουδῆ τε διαφέρειν δοκεῖ θεωρη-
τικὴ οὖσα, καὶ παρ' αὑτὴν οὐδενὸς ἐφίεσθαι τέλους· ἔχειν τε ἡ δο-
νὴν οἰκείαν· αὕτη δὲ συναύξει τὴν ἐνέργειαν· καὶ τὸ αὐταρκὲς δὴ
καὶ σχολαστικὸν καὶ ἄτρυτον ὡς ἀνθρώπινον, καὶ ὅσα ἄλλα τῷ
μακαρίῳ ἀπονέμεται, κατὰ ταύτην τὴν ἐνέργειαν φαίνεται
ὄντα· ἡ τελεία δὴ εὐδαιμονία αὕτη ἂν εἴη ἀνθρώπου ἀναλα-
βοῦσα μῆκος βίου τέλειον· οὐδὲν γὰρ ἀτελές ἐστι τῶν τῆς εὐ-
δαιμονίας· ὁ δὲ τοιοῦτος ἂν εἴη κρείττων βίος, ἢ κατὰ ἄν-
θρωπον· οὐ γὰρ ᾗ ἀνθρωπός ἐστιν, οὕτω βιώσεται, ἀλλ' ἢ θεῖόν-
τι ἐν αὐτῷ ὑπάρχει· ὅσω δὲ διαφέρει τοῦτο τοῦ συνθέτου.
τοσούτω καὶ ἡ ἐνέργεια τῆς κατὰ τὴν ἄλλην ἀρετήν·

εἰ δὴ

εἰ δὴ θεῖον ὁ νοῦς πρὸς τὸν ἄνθρωπον· καὶ ὁ κατὰ τοῦτον βίος θεῖος πρὸς τὸν ἀνθρώπινον βίον. χρὴ δ' οὐ κατὰ τοὺς παραινοῦντας ἀνθρώπινα φρονεῖν, ἀνθρώπου ὄντα, οὐδ' ἐθνητὰ τὸ θνητόν· ἀλλ' ἐφ' ὅσον ἐνδέχεται ἀθανατίζειν καὶ πάντα ποιεῖν πρὸς τὸ ζῆν κατὰ τὸ κράτιστον τῶν ἐν αὐτῷ· εἰ γὰρ καὶ τῷ ὄγκῳ μικρόν ἐστιν ἀλλὰ δυνάμει καὶ τιμιότητι πολὺ μᾶλλον ὑπερέχειν δόξειεν ἂν πάντων δὴ ἕκαστος εἶναι τοῦτο, εἰ περ καὶ ἐλάχιστον ἀμφισβητοῖτ' ἄν, εἰ μὴ τὸν αὐτοῦ βίον αἱροῖτο ἀλλά τινος ἄλλου, τὸ λεχθὲν πρότερον ἁρμόσει καὶ νῦν· τὸ γὰρ οἰκεῖον ἑκάστῳ τῇ φύσει κράτιστον καὶ ἥδιστον ἑκάστῳ· καὶ τῷ ἀνθρώπῳ δὴ ὁ κατὰ τὸν νοῦν βίος, εἴπερ μάλιστα τοῦτο ἄνθρωπος, οὗτος ἄρα καὶ εὐδαιμονέστατος· δεύτερος δ' ὁ κατὰ τὴν ἄλλην ἀρετήν· αἱ γὰρ κατὰ τοῦτον ἐνέργειαι, ἀνθρώπιναι· δίκαια γὰρ καὶ ἀνδρεῖα καὶ τὰ ἄλλα τὰ κατὰ τὰς ἀρετὰς πρὸς ἀλλήλους πράττομεν, συνάλλαγμασι καὶ χρείαις καὶ πράξεσι παντοίαις, ἔν τε τοῖς πάθεσι τὸ πρέπον ἑκάστῳ διαιροῦντες· ταῦτα δ' εἶναι φαίνεται πάντα ἀνθρώπινα· ἔνια δὲ καὶ σωματικὰ ἐπιδοκεῖν φαίνεται πολλὰ συμβαίνειν τοῖς πάθεσιν ὑπὸ τοῦ σώματος δοκεῖ· ἡ πολλὰ συνῳκειῶσθαι τοῖς πάθεσιν ἡ τοῦ ἤθους ἀρετὴ· συνέζευκται δὲ καὶ ἡ φρόνησις τῇ τοῦ ἤθους ἀρετῇ· καὶ αὕτη τῇ φρονήσει· εἰσὶ γὰρ αἱ μὲν φρονήσεως ἀρχαί, κατὰ τὰς ἠθικὰς εἰσιν ἀρεταί· τὸ δ' ὀρθοῦ τῶν ἠθικῶν κατὰ τὸν φρόνησιν· συνηρτῆσθαι μὲν αἱ δ' αὖται τοῖς πάθεσι δοκοῦσι· τὸ δὲ σύνθετον οὐκ εἶναι· αἱ δ' τοῦ συνθέτου ἀρεταί, ἀνθρώπιναι, ὁ βίος δὴ καὶ αὐτὸς καὶ ἡ εὐδαιμονία· ἡ δ' τοῦ νοῦ κεχωρισμένη· περὶ μὲν γὰρ ταύτης εἰρήσθω· διακριβοῦσθαι γὰρ μεῖζον τοῦ προκειμένου ἐστί· δόξειε δ' ἂν καὶ φαύλης χορηγίας ἐπιδεῖσθαι μικρὸν ἢ ἐπ' ἔλαττον ἡ εὐδαιμονία τῆς ἠθικῆς· τῷ μὲν γὰρ καὶ ἐκτὸς χορηγίας ἀφθόνου χρεία τὰ κατὰ δύναμιν ἐστὶν ἐν ἡμῖν ἀλλ' οὐ δοκοῦμεν εἶναι τὸ σῶμα ὁπλιτικὸν καὶ ὅσα τοιαῦτα· μικρὰ γοῦν ἂν τις διαφέρῃ· πρὸς δὲ τὰς ἐνεργείας, πολὺ διοίσει· τῷ μὲν γὰρ ἐλευθερίῳ, δι' ἧς εἰχημάτων, πρὸς τὸ πράττειν τὰ ἐλεύ

θέμις. καὶ τῷ δικαίῳ δὴ εἰς τὰς αὐτὰς δόσεις. αἱ γὰρ βουλήσεις, ἄδηλοι. προαιροῦνται δὲ καὶ οἱ μὴ δίκαιοι βούλεσθαι δίκαια πράττειν. τῷ ἀνδρείῳ δὲ ὁμοίως, εἰ περὶ τὰ τελεῖται τῶν κατὰ ἀρετὴν, ἢ ζημιοῦσθαι ἐλάττω. ὧν γὰρ δὴ λος ἔσται ἢ τοιοῦτος ἢ τῶν ἄλλων τίς. ἢ τεῖται δὲ, πότερον κυρίως τὴν φλαρετὴς ἢ προαίρεσις, ἢ καὶ πράξις. ὡς ἐν ἀμφοῖν δόξειε. τὸ δὲ τέλος ἀνδρὸς ἄλλον ὡς ἐν ἀμφοῖν αὐεῖν. πρὸς δὲ τὰς πράξεις, πολλῶν δεῖται. καὶ ὅσῳ ἂν μείζους ὦσι καὶ καλλίους, τοσούτῳ πλείονων. τῷ δὲ θεωροῦντι, ἀδενὸς τῶν τοιούτων πρόσεστιν πρὸς τὴν ἐνέργειαν χείρω δὲ ὡς εἰπεῖν καὶ ἐμποδίζονται, πρόσεστι τὴν θεωρίαν. ἢ δὲ ἀνδρὸς ὄντι καὶ πολλοῖς συζῆν αἱρεῖται τὰ κατὰ ἀρετὴν πράττειν. δεήσεται οὖν τῶν τοιούτων πρὸς τὸ ἀνθρωπεύεσθαι. ἡ δὲ τελεία εὐδαιμονία, ὅτι θεωρητική τις ὄντι ἐνέργεια καὶ ἐν τοῦτο ἂν φανείη. τοὺς θεοὺς γὰρ μάλιστα ὑπειλήφαμεν μακαρίους καὶ εὐδαίμονας εἶναι. πράξεις δὲ ποίας ἀπονεῖμαι χρεὼν αὐτοῖς; πότερα τὰς δικαίας, ἢ γελοῖοι φανοῦνται συναλλάττοντες μὴ παρακαταθήκας ἀποδιδόντες, καὶ ὅσα ἄλλα τοιαῦτα ἀλλὰ τοὺς ἀνδρείους ὑπομένοντας τὰ φοβερὰ καὶ κινδυνεύοντας ὅτι καλόν, ἢ τοὺς ἐλευθερίους. τίνι δὲ δώσουσιν; ἀργυρὸν δεῖ ἔσται αὐτοῖς νομισμάτων; εἰς σώφρονας, τί ἂν εἴη; ἢ φορτικὸς ὁ ἔπαινος ὅτι οὐκ ἔχουσι φαύλας ἐπιθυμίας. δεξιοῦσι δὲ πάντα φαίνοιτ' ἂν τὰ περὶ τὰς πράξεις, μικρὰ καὶ ἀνάξια θεῶν. ἀλλὰ μὴν ζῶντι τὸν πάντες ὑπειλήφασιν αὐτοὺς, εἶναι ἀργεῖν ἄρα. οὐχὶ δεῖ καθάπερ ὡς πρὸς ἐνδυμίωνα. τῷ δὲ ζῶντι τὸν πράττειν ἀφιερωμένῳ, ἔτι δὲ μᾶλλον τοποιεῖν, τί λείπεται πλὴν θεωρίας. ὥστε τὴν τοῦ θεοῦ ἐνέργειαν μακαριότητι διαφέρουσα θεωρητικὴν ἂν εἴη. τῶν ἀνθρωπίνων δὲ τὴν τοιαύτην συγγενεστάτην, εὐδαιμονικωτάτην. σημεῖον δὲ καὶ τὸ μὴ μετεῖναι τὰ λοιπὰ ζῷα εὐδαιμονίας· ἐστερημένα τελέως τοῖς μὲν θεοῖς, πᾶσα ὁ βίος μακάριος· τοῖς δὲ ἀνθρώποις, ἐφ' ὅσον ὁμοιώματι τοιαύτης ἐνεργείας ὑπάρχει. τῶν δ' ἄλλων ζώων οὐδὲν εὐδαιμονεῖ

νεῖ· ἐπεὶ δὴ οὐδὲν μᾶλλον κοινωνεῖ θεωρίας, ἐφ' ὅσον δὲ καὶ διατείνει ἡ θεωρία τοσοῦτον καὶ εὐδαιμονία, καὶ οἷς μᾶλλον ὑπάρχει τὸ θεωρεῖν, καὶ εὐδαιμονεῖν μὴ ᾗ κατὰ συμβεβηκὸς, ἀλλὰ κατὰ τὴν θεωρίαν· αὕτη γὰρ καθ' αὑτὴν τιμία· ὥστ' εἴη ἂν ἡ εὐδαιμονία θεωρία τις· δεήσει δὲ καὶ φιλεκτὸς εὐημερίας ἀνθρώπῳ ὄντι· οὐ γὰρ αὐτάρκης ἡ φύσις πρὸς τὸ θεωρεῖν· ἀλλὰ δεῖ καὶ τὸ σῶμα ὑγιαίνειν καὶ σοφίαν καὶ τὴν λοιπὴν θεραπείαν ὑπάρχειν· ἂν μὴν οἰητέον γε πολλῶν μὴ μελλόντων δεήσεσθαι τὸν εὐδαίμονα, εἰ μὴ ἐνδέχεται αὐτὸν τῶν ἐκτὸς ἀγαθῶν, μακάριον εἶναι· ἀγὰρ ἐν τῇ ὑπερβολῇ τὸ αὐτάρκες, οὐδ' ἡ πρᾶξις· δυνατὸν γὰρ καὶ μὴ ἄρχοντας τῶν καὶ θαλάττης πράττειν, τὰ καλά· καὶ γὰρ ἀπὸ μετρίων δύναιτο αὖ τις πράττειν τὰ κατὰ τὴν ἀρετήν· τοῦτο δ' ἔστιν ἰδεῖν ἐναργῶς· οἱ γὰρ ἰδιῶται τῶν δυνατῶν, οὐχ ἧττον δοκοῦσι τὰ ἀξιέπαινα πράττειν, ἀλλὰ μᾶλλον· ἱκανὸν δὲ τοσοῦτον ὑπάρχειν ἐφόδιον βίου εὐδαίμονα, τὸν κατὰ τὴν ἀρετὴν ζῶντα σύνεσιν· καὶ ὅλως δὲ τοὺς εὐδαίμονας ἴσως ἀποφαίνεται καλῶς εἰπὼν μετρίως τοῖς ἐκτὸς κεχορηγημένους· ὡς πράττοντας δὲ τὰ κάλλιστα ὡς οὐκ ἔστι βεβιωκότα σωφρόνως· οὐδὲ γὰρ μέτρια κεκτημένους, πράττειν ἂν δοκεῖ· ἔοικε δὲ καὶ ἀμαξαγόρας οὐ τυχόντα ἂν οἰόμενος πλουσίων εὐδαίμονα εἰπεῖν, τὸν εὐδαίμονα· εἰ δὲ τῶν ὅτι θαυμάσειεν εἴ τις ἀγαθὸς φανείη τοῖς πολλοῖς· ὅτι γὰρ κεῖνται οἱ τοιοῦτοι ἐκτὸς τοῦ τῶν καλῶν μόνον οἱ μοῦ· συμφωνεῖν ἢ τοῖς λόγοις ἔοικασιν αἱ τῶν σοφῶν δόξαι· ὡς ἐν μὲν ἅπασι τοιοῦτόν τι ἐνόντος τοῦ τέλους· τὰ ποιοῦντα τὰ ἔργα πιστὰ καὶ φίλα τοῖς ἐπαινοῦσιν· τὰ δὲ λεγόμενα πολλὰ πείθει διὰ τὴν ἀρχήν· ὡς καλὰς ἔχουσ

μᾶς· ἡγοῦνται γὰρ τοὺς μάλιστα φρονήσεως ἐπιτιμῶντας, αὐτὴν προσ-
ῳκειῶσθαι τοῖς φίλοις· αὐτοῖς δὲ μέλλουσιν ὀρθῶς τὴν καλὴν πρά-
ξειν ὅτι ἂν ταῦτα πάντα τῷ σοφῷ μάλιστα ὑπάρξει, οὐκ ἄδηλον
θεοφιλέστατος ἄρα· τοῦτο γὰρ ἂν δοκοίη μάλιστα μονέσαι. ὥστε καὶ
ὕτως εἶναι ὁ σοφὸς μάλιστ' ἂν δοκαίμων. ἆρ' οὖν εἰ πλείω τύχων καὶ
τὰ ἀρετὰ ἔτι ἢ ἡ φιλία καὶ ἡδονή, ἱκανῶς εἴη παρῖστ' ὕτως τέ-
λος ἐκεῖνο ἐκτὸν τῶν προαιρέσιν, ἢ καθάπερ λέγεται ὃ κ ὄστιν ἐν
τοῖς πρακτοῖς τέλος τὸ θεωρῆσαι ἕκαστα καὶ γνῶναι, ἀλλὰ μᾶλλον
τὸ πράττοντα αὐτά· ὃ δὲ δὴ πλεῖ ἀρετῆς ἱκανὸν τὸ εἰδέναι· ἀλλ' ἔχ'
καὶ χρῆσθαι πειρατέον· ἢ εἴ πως ἄλλως ἀγαθοὶ γινόμεθα· εἰ μὲν οὖν
ἦσαν οἱ λόγοι αὐτάρκεις πρὸς τὸ ποιῆσαι ἐπιεικεῖς, πολλοὺς ἂν μισθοὺς
καὶ μεγάλους δικαίως ἔφερον κ' ἔδει αὐτοὺς τυγχάνειν, νῦν δὲ
σαθρὸν φαίνονται προτρέψασθαι μὲν καὶ παρορμῆσαι τὸν νέον
τοὺς ἐλευθερίους ἴσως τε καὶ γενναίους ἦθος τι ὑπάρχειν, ἢ ὡς ἀληθῶς φιλόκαλον
ποιῆσαι ἂν κατακωχμένον ἀρετῆς· τύχοι δ' πολλοὺς ἀδύνατον
πρὸς καλοκαγαθίαν προτρέψασθαι· δικαίως φύσασιν ἀκούειν πειθαρ
χεῖν, ἀλλ' ἀφόβῳ· δὲ καὶ πέφυκεν τῷ φαύλῳ δι' ἀπόλαυσιν, ἀλλὰ δι'
τὰς τιμωρίας· καὶ φεύγειν γὰρ ζῶντες, τὰς οἰκείας ἡδονὰς διώκουσι·
καὶ διῶν αὐτοῖς ἔσονται φυγοῦσι δὲ τὰς αὐτικαμμένας λύπας· τοῦ
καλοῦ ὡς ἀληθῶς ἡδέος, ὃ δ' ἐννοίας ἔχουσιν ἀξιοῦντες· τοὺς
δὴ τοιούτους, τίς αὐ λόγος μεταρριθμίσαι· ὃ γὰρ οἷόν τε ἢ ὃ ἐξ ἀρχῆς οὐ καὶ
ἐκ παλαιᾶς τροφῆς ἤθεσι κατειλημμένα λόγῳ μεταστῆσαι· ἀγαθὸν
τ' δ' ἴσως ὅστις, εἰ καὶ μὴ τῶν τ' ὑπαρχόντων ἰδίων ἐπιεικὴς δοκοῖμεν
εἶναι, μετελάβοι μοι φιλαρετῆς· γένεσθαι δ' ἐθὲς οἷόν τε, οἱ
μὲν, φύσει· οἱ δ' ἔθει· οἱ δ' διδαχῇ· τὸ μὲν οὖν φιλοφύσεως, δῆλον ὡς
ὃ κ ἐφ' ἡμῖν ὑπάρχει, ἀλλὰ δι' ὅτινος θείας αἰτίας τοῖς ἀληθῶς
εὐτυχέσιν ὑπάρχει· ὁ δὲ λόγος ἢ ἡ διδαχὴ μήπου τὸ κ' ἐν ἅπασιν ἰ-
σχύει, ἀλλὰ δεῖ προδιῳρίσθαι τοῖς ἤθεσι τὴν τοῦ ἀκροατοῦς ψυχὴν
πρὸς τὸ καλῶ χαίρειν καὶ μισεῖν, ὥσπερ γῆν τὴν θρέψασιν τὸν σπέρ
μα· ὃ γὰρ ἂν ἀκούσεται λόγου παρ' ὅτου· ὃ δὲ ἂν συνιὼν κ' πάθος

ζῶν

ζῶν· τὸν δ' οὕτως ἐχόντα τῶν οἰκείων τιμᾶται μέτριος δ' οὐδὲ κεῖλόγων πείκειν τὸ πάθος, ἀμαθίᾳ. δεῖ δὴ τὸ ἦθος πρὸ ὑπάρχειν πῶς οἰκεῖον ἀρετῆς, ἔργον τὸ καλὸν καὶ δυσχεραίνον τὸ αἰσχρόν· ἐκ νέου δ' ἀγωγῆς ὀρθῆς τυχεῖν πρὸς ἀρετὴν, χαλεπὸν, μὴ ὑπὸ τοιούτοις ἐκτεθραμμένον νόμοις· τὸ γὰρ σωφρόνως ζῆν οὐχ ἡδὺ τοῖς πολλοῖς, ἄλλως τε καὶ νέοις· διὸ νόμοις δεῖ τεταῦτα καὶ τὸν βίον· οὐ γὰρ λυπηρὰ σωθήσεται, οὐχ ἑκὼν δὲ ἴσως πονοῦντας τροφῆς καὶ ὑπὸ μελείας τυχεῖν ὀρθῆς, ἀλλ' ἐπειδὴ καὶ ἀνδρωθέντας δεῖ ὑπὸ τὴν δύναμιν αὐτὰ καὶ ἐθίζεσθαι, καὶ περὶ ταῦτα δὲ οἰμεθ' αὖ νόμων· καὶ ὅλως δὴ περὶ πάντα τὸν βίον· οἱ γὰρ πολλοὶ ἀνάγκῃ μᾶλλον ἢ λόγῳ πειθαρχοῦσι καὶ ζημίαις ἢ τῷ καλῷ· διόπερ οἴονται τινὲς τοὺς νομοθετοῦντας δεῖν μὲν παρακαλεῖν ἐπὶ τὸ ἀρετὴ καὶ προτρέπεσθαι τοῦ καλοῦ χάριν ὡς ὑπακουσομένων τῶν ἐπιεικῶς τοῖς ἔθεσι προηγουμένως· ἀπειθοῦσι δὲ καὶ ἀφυέστέροις οὖσι, κολάσεις καὶ τιμωρίας ἐπιτιθέναι· τοὺς δ' ἀνιάτους ὅλως ἐξορίζειν· τὸν μὲν γὰρ ἐπιεικῆ καὶ πρὸς τὸ καλὸν ζῶντα τῷ λόγῳ πειθαρχήσειν, τὸν δὲ φαῦλον, ἡδονῆς ὀρεγόμενον, λύπης κολάζεσθαι ὡς πρὸς ζυγόν· διὸ φασὶ δεῖν τὰς τοιαύτας λύπας ἀντιτίθεσθαι αἳ μάλιστα ἐναντιοῦνται ταῖς ἀγαπωμέναις ἡδοναῖς· εἰ δ' οὖν καθάπερ εἴρηται τὸν μέσον μὲν ἀγαθὸν ἔσεσθαι καλῶς δὲ ἢ καὶ ἐθισθῆναι· εἶθ' ἕως ἂν ὑπὸ τὰ δύναμιν ὦσι καὶ μὴ τι ἀκούσιον μὴ τι εἰκὸς τὸν πράττωσιν ἀγαθὸν φαῦλα· ταῦτα δὲ γίνοιτ' ἂν βιουμένοις πως τοιαύτην οὖν καὶ τάξιν ὀρθὴν ἔχουσαν ἰσχύν· ἡ μὲν γὰρ ἔξις καὶ πρός τι ἐστὶν ἔχει γὰρ ἰσχύν· ὁ δὲ τὸ αἰτιατὸν οὐ δῆλον ὅλως ἢ ἐν μὲν βραχέσι λέγοντος, ἢ τίνος τοιούτου· οὐ γὰρ νόμος αἰτιατικὸν ἔχει δύναμιν, λόγος δ' ὢν ἀπό τινος φρονήσεως καὶ νοῦ· καὶ μὴ ἀνῶν ἐναντιοῦσθαι τοῖς ἐναντίως μὴ τοῖς ὀρθῶς, καὶ ὀρθῶς αὐτὸ δρῶσιν ὁ μὲν νόμος, ὃ κόσμος ἐστὶ παντάπασιν τὸ ὠφελεῖν· ὁ μόνη τῇ λακεδαιμονίων πόλει μεγάλην νομοθέτης ὢν μέλειν δοκεῖ περὶ πα-

αὐξησοφῆς τινὰ καὶ ὠφελήσειν τῶν μαθημάτων. ἐν δὲ ταῖς πλείσταις τῶν πόλεων, ὥσπερ καὶ μέλλοντος τοιούτων γίνεσθαι νομοθέτου, οὐκ ἂν ἐπιτρέψειεν ὁ τυχὼν ἐκάστοις ὡς βούλεται κινεῖν τὰ νόμιμα καὶ μεταδιδάσκειν τοὺς νέους. ἀλλὰ κρατίστου μὲν οὖν τοῦ γίνεσθαι κοινὰ τὰ μέλη ταῦτα καὶ ὀρθῶς· ἡδέως δ' ἂν καὶ τὰ ἄλλα αὐξήσειεν καὶ οὐ μόνον τῶν μελῶν, ἑκάστῳ δ' ἔξεστιν ἂν προσάπτειν χρῆσθαι τοῖς τέκνοις καὶ φίλοις εἰς ἀρετὴν συμβάλλεσθαι ἢ προαιρεῖται τις· μᾶλλον δ' αὐτὸ τοῦτο τὰ μαθήματα αὐξήσειεν ἂν ἐκ τῆς εἰρημένων νομοθετικὸς γιγνόμενος· αἱ μὲν γὰρ κοιναὶ τῶν μέλη δηλοῦσι διακείμενον γίνεσθαι τὴν ἕξιν· δεῖται δὲ παιδιᾶς τῶν ἀσυμβόλων γραμμάτων καὶ ἡ ἀγράφων, οὐδὲν ἂν δόξειε διαφέρειν, ὁ δὲ δεῖται εἰς ἣν πολλοὶ παιδευθήσονται, ὥσπερ τὸ δι' ὧν μουσικῆς καὶ γυμναστικῆς καὶ τἄλλα περὶ τὴν δυνάμεν τὸ. ὥσπερ γὰρ ἐν ταῖς πόλεσιν ἐνίοις ἐμφύεται νόμιμα καὶ τὰ ἤθη, οὕτω καὶ ἐν οἰκίαις, οἱ μὲν ἀξιοῦσι καὶ τὰ ἤθη καὶ ἔτι μᾶλλον διὰ τὸν συγγένειαν καὶ τὰς οὐσίας· πρὸς οὓς ἔχουσι γὰρ στέργουσι καὶ ὑπὸ φαθεῖς τῇ φύσει· ἔστι δ' οἷς διαφέρουσιν αἱ καθ' ἕκαστον παιδεῖαι τῶν κοινῶν, ὥσπερ ἐπὶ ἀξιῶν καθόλου μὲν γὰρ τῶν συμφέρει ἀεί τι καὶ ἡσυχίαν· τινὶ δέ, ἴσως, ὅ τι τῶν κτητικὸς ἴσως οὐ πᾶσι τὼ αὐτὼ μάχιμον ἐπιτήδειον· ἐξακριβῶσαι δὲ δόξειν ἂν μᾶλλον τὸ καθ' ἕκαστον ἰδίας φιλῶν μελέτης ἢ μόνης· μᾶλλον γὰρ τοῦ πρὸς φόρτου τυγχάνει ἕκαστος ἂν μὲν τῶν μεμαθηκὼς ἃ δεῖ καὶ ἐν τούτοις καθ' ἕν. ἰατρὸς δὲ καὶ γυμναστὴς καὶ πᾶς ἄλλος ὁ τὸ καθόλου εἰδὼς ὅτι πᾶσιν ἢ τοῖς τοιοῖσδε τοιοῦδέ τι λέγεται τί εἰσιν· οὐμὲν ἀλλὰ καὶ ἐνός τινὸς ἔδει μᾶλλον ἴσως κωλύει καλῶς ἐπιμεληθῆναι καὶ ἐπισήμονα εἶναι τὸν τὰ μὲν οὖν ἐκεῖ βῶστα συμβαίνει ταῦτα ἑκάστῳ δὲ ἐμπειρίαν, καθάπερ καὶ ἐν ἰατρικοῖς οἶδεν ἑαυτοῖς ἄριστοι εἶναι, ἑτέρῳ οὐδενὶ δυνάμενοι ἐπιστῆσαι, ἔδει δ' ἢ πολλοὶ ἴσως τῶν βουλομένων τυγχάνειν θεωρητικῶν τὸ καθόλου βασκέον εἶναι, δόξειν ἂν, κἀκεῖνο πιθανὸν ἐστὶν ὡς ἔνδεχεται· εἰρῆσθαι γὰρ ὅτι περὶ τοῦθ' αἱ ἐπιστῆμαι· τὰ καθ' ἕκαστα δὲ τῶν βουλομένων ἐπιμελείας βελτίους ποιεῖν, εἴτε πολλοὶ εἴτε ὀλίγοι συμνομοθετικῷ πειρατέον

ρα τέον μᾶλλον ἐθάς, εἰ διὰ νόμων ἀναθοὶ γενοίμεθα. οὐ τιμᾶς δὲ οὖν
ἀλλὰ τὸν προτιθέντα δεῖ ἀναθεῖναι καλῶς, ὀλίγος τοῦ τυχόντος ὁ ἀλεξίπορ
πινος, τοιοῦτος, ὡς πορ ἐπ' ἀστρικῆς ἂν τῶν λοιπῶν, ὧν ὅστιν ὠὴ-
μέλησέ τις ἂν φρόνησις. ἆρ' οὖν μετὰ τοῦ γοῶν σκεπτέον πόθεν
ἢ πῶς νομοθετικὸς γέγονεν αὐτὸς, ἢ καθάπερ ὠὴ τῶν ἄλλων ἕξις ἀρ
τῶν πολιτικῶν, μόνον δὲ δοκεῖ φιλοπολιτικῆς εἶναι, ἢ οὐχ ὁμοίως
φαίνεται ἐπὶ φιλοπολιτικῆς καὶ τῶν λοιπῶν ἐπιστημῶν τις δυνάμεω
ν· ἐν μὲν γὰρ τοῖς ἄλλοις, οἱ αὐτοὶ φαίνονται τὰς δυνάμεις ἔχειν
δύνασθαι καὶ ἐνεργεῖν ἃ παραδίδωσιν. οἷον ἰατροὶ γράφειν· τὰ δὲ πο-
λιτικὰ ἐπαγγέλλονται μὲν διδάσκειν οἱ σοφισταί· πράττειν δ' αὐτὰ
δόξειεν, ἀλλ' οἱ πολιτευόμενοι, οἱ δόξαιεν ἂν δυνάμεί τινι τοῦτο πράτ
τειν, ἐμπειρίᾳ μᾶλλον ἢ διανοίᾳ· οὔτε γὰρ γράφουσιν, οὔτε λέ
γουσι περὶ τοιούτων φαίνονται· καίτοι κάλλιον ἴσως, ἢ λόγους
δικανικοὺς τε καὶ δημηγορικούς· ἀλλ' αὖ πολιτικούς τε πειρικό-
τας, ῥυσφετέρους εἶναι, ἢ τινας ἑαυτῶν φίλους· ὑπολαμβάνειν ἂν
εἰ πειρεδύναντο· ὅτι γὰρ τὰς πόλεσιν ἄμφιον ὀθεῖν κατέλιπον
αὖ· οὐθὲν αὐτοῖς ὑπάρξαι προέλοιντ' ἂν μᾶλλον φίλοις αὐτοῖς δυ-
νάμεως· δῆλον δὲ τοῖς φιλοτάρισι· δῆλον μικρόν γε ἔοικεν ἡ ἐμπειρία
συμβάλλεσθαι· οὐδὲ τίνων τῶν δι' ἀφ πολιτικῶν συνηθείας μᾶλ-
λον πολιτικοί· διὸ τοῖς ἐθέλουσι μὲν περὶ πολιτικῶν εἰδέναι, προσδεῖν
ἔοικε τῆς ἐμπειρίας· τῶν δὲ σοφιστῶν οἱ ἐπαγγελλόμενοι, λίαν φαίνον
πόρρω εἶναι τοῦ διδάξαι· ὅλως δὲ δῆλον τίθεται· ἢ δὲ πειρῶνται ποιεῖν
σιν· ὅταν γὰρ μὴ τὰ αὐτὰ τῇ ἡρετικῇ, ἢ δὲ χείρω τίθεσαν· δι' αὐτὸ
ἔοικεν εἶναι τὸ νομοθετῆσαι συναγαγόντι τοὺς ὠδοκιμῶντας τὰ
μόμων· ἐκλέξαι γὰρ εἶναι τοὺς ἐπιστάμενους ὥσπερ δὲ τὴν ἐκλογὴν
δόσαν ξυνέσεως· καὶ τὸ κρῖναι ὀρθῶς μέσον ὥσπερ ἐν τοῖς κατὰ μέ
σικῶν· οἱ γὰρ ἔμπειροι περὶ ἕκαστα κρίνουσιν ὀρθῶς τὰ ἔργα·
καὶ δι' ὧν ἢ διὰ τῶν ἐπιτελεῖται ἃ δεῖ, συνίασι· καὶ πρῶτα πρὸς
συνάδει· τοῖς δ' ἀπείροις, ἀναστατὸν τὸ μὴ διαλανθάνειν εἰ
ὦ ἢ κακῶς πεποίηται τὸ ἔργον· ὥσπερ ἐπὶ γραφικῆς·

οἷς μόνοις τῆς πολιτικῆς ἔργοις ἐοίκασι. πῶς δ' ἂν ἐκ τούτων νομοθετικὸς γένοιτ' ἄν τις, ἢ τοὺς ἀρίστους κρίναι καὶ φαίνοιτ' ἂν οὐδ' ἱκανοὶ κατὰ τῶν συγγραμμάτων εἶναι δόξαι. καίτοι πειρῶμ' εἰπεῖν, οὐ μόνον τὰ θραττόμενα, ἀλλὰ καὶ ὡς ἀθεῖναι καὶ ὡς δεῖ θραττεύειν, ἑκάστου διελόμενοι τὰς ἐξεις. ταῦτα δὲ τοῖς μὲν ἐμπείροις ὠφέλιμα εἶναι δοκεῖ· τοῖς δ' ἀνεπιστήμοσιν ἀχρεῖα. ἴσως δ' ἂν εἴη τῶν νομοθετῶν καὶ τῶν πολιτειῶν αἰσθάνεσθαι καὶ συναγωγεῖ· τοῖς μὲν δυναμένοις θεωρῆσαι καὶ κρῖναι ταῦτα, καλῶς ἂν ἡγοῦμαι τὸν ἀντίον, ἢ περὶ ἃ πρίοις αἱρεῖσθαι· εὐχήσασθαι δ' εἶναι. τοῖς δ' αὐτῶν ἐξέως τὰ τοιαῦτα διεξιοῦσι, τὸ μὲν κρίνειν καλῶς, ὃ καὶ συνέσεως ἔχοι· εἰ μὴ ἄρα καὶ τοῦτο μάταιον· δύσσυνετώτεροι δ' εἰς ταῦτα τάχα ἂν γένοιντο. περὶ δὲ τῶν οὐκ ἐπιτετηρημένων, ἀνερεύνητον τὸ πῶς ἐκ φιλοσοφίας νομοθεσίας αὐτοῖς ἰδίᾳ σκέψασθαι μᾶλλον, βέλτιον ἴσως· ἁλόλως δὲ περὶ πολιτείας, ὅπως εἰς δύναμιν περὶ τοῦ ἀνθρωπίνου φιλοσοφίᾳ τελεωθῇ. πρῶτον μὲν οὖν εἴ τι κατὰ μέρος εἰρηται καλῶς ὑπὸ τῶν προγενεστέρων, πειραθῶμεν ἐπελθεῖν· εἶτα ἐκ τῶν συνηγμένων πολιτειῶν θεωρῆσαι τὰ πρὸς σῴζειν καὶ φθείρειν τὰς πόλεις, καὶ τὰ πρὸς ἑκάστους τῶν πολιτειῶν, ἃ διὰ τίνας αἰτίας, αἱ μὲν καλῶς αἱ δ' τοὐναντίον πολιτεύονται· θεωρηθέντων δὲ τούτων τάχα ἂν μᾶλλον συνίδοιμεν, ἡ ποίαν πολιτείαν ἁρμόσει καὶ πῶς ἑκάστην τὰς θείσας τοῖς νόμοις καὶ ἔθεσι χρωμένην.

λέγωμεν οὖν ἀρξάμενοι.

Τέλος τῆς ἐθικῆς νικομαχείων ἀριστοτέλους.

ΑΡΙΣΤΟΤΕΛΟΥΣ ΠΟΛΙΤΙΚΩΝ, ΤΟ Α



Πᾶσαν πόλιν ὁρῶμεν κοινωνίαν τινὰ οὖσαν, καὶ πᾶσαν κοινωνίαν ἀγαθοῦ τινος ἕνεκεν συνεστηκυῖαν, τοῦ γὰρ εἶναι δοκοῦντος ἀγαθοῦ χάριν, πάντα τὰ πράττουσι πάντες, δῆλον, ὡς πᾶσαι μὲν ἀγαθοῦ τινος στοχάζονται, μάλιστα δὲ τοῦ κυριωτάτου πάντων, καὶ πασῶν κυριωτάτη τε καὶ πάσας περιέχουσα τὰς ἄλλας· αὕτη δ' ἐστὶν ἡ καλουμένη πόλις, καὶ ἡ κοινωνία ἡ πολιτική. Ὅσοι μὲν οὖν οἴονται πολιτικὸν, καὶ βασιλικὸν, καὶ οἰκονομικὸν, καὶ δεσποτικὸν εἶναι τὸν αὐτὸν οὐκ ἀληθῶς λέγουσι· πλήθει δὲ καὶ ὀλιγότητι νομίζουσι διαφέρειν· ἀλλ' οὐκ εἴδει τοῦτ' ἔκαστον· οἷον ἂν μὲν ὀλίγων, δεσπότην· ἂν δὲ πλειόνων, οἰκονόμον· ἂν δ' ἔτι πλείόνων πολιτικὸν ἢ βασιλικόν· ὡς οὐδὲν διαφέρουσαν μεγάλωι οἰκίαν, ἢ μικρὰν πόλιν· καὶ πολιτικὸν δὲ καὶ βασιλικὸν ὅταν μὲν αὐτὸς ἐφεστήκῃ, βασιλικόν· ὅταν δὲ κατὰ λόγους τῶν ἐπιστημῶν τοιούτους, καὶ μέρος ἄρχων ἢ ἀρχόμενος πολιτικόν· ταῦτα δ' οὐκ ὀρθῶς ἀληθῆ. δῆλον δ' ἔσται τὸ λεγόμενον ἐπισκοποῦσι κατὰ τὴν ὑφηγημένην μέθοδον· ὥσπερ γὰρ ἐν τοῖς ἄλλοις τὸ σύνθετον μέχρι τῶν ἀσυνθέτων ἀναγκαῖον διαιρεῖν· οὕτω καὶ πόλιν ἐξ ὧν σύγκειται σκοποῦντες, ὀψόμεθα· καὶ περὶ τούτων μᾶλλον, τί τε διαφέρουσιν ἀλ-

λήλων, καὶ εἴ τι τεχνικὸν ἐνδέχεται λαβεῖν περὶ ἕκαστον τῶν
ῥηθέντων· εἰδήτις ἐξ ἀρχῆς τὰ πράγματα φυόμενα βλέψει-
εν· ὥσπερ ἐν τοῖς ἄλλοις καὶ τούτοις κάλλιστ' ἂν οὕτω θεωρή-
σειεν· ἀνάγκη δὴ πρῶτον συνδοιάζεσθαι τοὺς ἄνευ ἀλλήλων μὴ
δυναμένους εἶναι· οἷον, θῆλυ μὲν καὶ ἄρρεν τῆς γενέσεως ἕνεκεν,
καὶ τοῦτο, οὐκ ἐκ προαιρέσεως· ἀλλ' ὥσπερ καὶ ἐν τοῖς ἄλλοις
ζώοις καὶ φυτοῖς φυσικὸν τὸ ἐφίεσθαι, οἷον αὐτὸ τοιοῦτον κα-
ταλιπεῖν ἕτερον· ἄρχον δὲ φύσει καὶ ἀρχόμενον διὰ τὴν σω-
τηρίαν· τὸ μὲν γὰρ δύναμενον τῇ διανοίᾳ προορᾶν, ἄρχον φύ-
σει· καὶ δεσπόζον φύσει· τὸ δὲ δυνάμενον τῷ σώματι ταῦτα τοι-
εῖν, ἀρχόμενον καὶ φύσει δοῦλον· διὸ δεσπότῃ τε δούλῳ ταὐτὸ
συμφέρει· φύσει μὲν οὖν διώρισται τὸ θῆλυ, καὶ τὸ δοῦλον· οὐθὲν δὲ
ἡ φύσις ποιεῖ τοιοῦτον· οἷον, χαλκοτύποι τὴν μάχαιραν πενι-
χρῶς· ἀλλ' ἐν πρὸς ἕν· οὕτω γὰρ ἂν ἀποτελοῖτο κάλλιστα τῶν ὀρ-
γάνων ἕκαστον· μὴ πολλοῖς ἔργοις ἀλλ' ἑνὶ δουλεῦον· ἐν δὲ τοῖς
βαρβάροις τὸ θῆλυ καὶ δοῦλον τὴν αὐτὴν ἔχει τάξιν· αἴτιος δ'
ὅτι, τὸ φύσει ἄρχον οὐκ ἔχουσιν· ἀλλὰ γίνεται ἡ κοινωνία,
αὐτῶν, δούλης καὶ δούλου· διὸ φασὶν οἱ ποιηταὶ βαρβάρους
δ' ἕλληνας ἄρχειν εἰκός· ὡς ταὐτὸ φύσει βάρβαρον καὶ δοῦλον
ὄν· ἐκ μὲν οὖν τούτων τῶν δυοκοινωνιῶν, οἰκία πρώτη· καὶ ὀρ-
θῶς ἡσίοδος εἶπε ποιήσας· οἶκον μὲν πρώτιστα γυναῖκά τε βοῦν
τ' ἀροτῆρα· ὁ γὰρ βοῦς ἀντ' οἰκέτου τοῖς πένησιν ἐστίν· ἡ μὲν
οὖν εἰς πᾶσαν ἡμέραν συνεστηκυῖα κοινωνιακτῇ φύσιν, οἶκός ἐστιν·
οὓς χαρώνδας μὲν καλεῖ ὁμοσιπύους· ὑπὸ μενίδης δὲ ὁκρὴς,
ὁμοκάπους· ἡ δ' ἐκ πλειόνων οἰκιῶν κοινωνία πρώτη χρήσε-
ως ἕνεκεν μὴ ἐφημέρου, κώμη· μάλιστα δὲ κατὰ φύσιν ἔοικεν
ἡ κώμη ἀποικία οἰκίας εἶναι· οὓς καλοῦσι τινὲς ὁμογάλα-
κτας παῖδάς τε καὶ παίδων παῖδας· διὸ καὶ τὸ πρῶτον ἐ-
βασιλεύοντο αἱ πόλεις· καὶ νῦν ἔτι τὰ ἔθνη, ἐκ βασιλευομένων
γὰρ συνῆλθον· πᾶσα δὲ οἰκία βασιλεύεται ὑπὸ τοῦ πρεσβυτάτου·

ὥστε

ὥστε καὶ ἀρετὴ καὶ δικαιοσύνη συμφέρουσιν. Τοῦτο δὲ μάλιστ' ἂν λέγοι τις ὁ μηδὲν θεμιστεύειν ἕκαστος αὐτοῖς, ἢ δικαιοσύνην ἀποδέχων ἀποφαίνοιτο ἂν οὕτω τὸ ἄρχαιον ὠκοῦμεν. Ἔνιοι θεὸς ἢ διὰ τοῦτο πάντ' φασὶ βασιλεύεσθαι ὅτι καὶ αὐτοὶ οἱ μέν ποτε, οἱ δὲ τὸ ἀρχαῖον ἐβασιλεύοντο· ὥσπερ ἢ καὶ τοὺς εἴδη ἑαυτοῖς ἀφομοιοῦσιν οἱ ἄνθρωποι, οὕτω καὶ τοὺς θεούς· καὶ ἐκ πλείονων κωμῶν κοινωνία πόλις, πόλις· ἤδη πάσης ἐχούσης σχεδὸν τὰς αὐταρκείας ὡς ἔπος εἰπεῖν· σπουδὴν ἕνεκεν ἔσται τοῦ ζῆν ἕνεκεν ἔσται καὶ τοῦ εὖ ζῆν· διὸ πᾶσα πόλις φύσει, εἴπερ καὶ αἱ πρῶται κοινωνίαι· τέλος γὰρ αὕτη ἐκείνων, ἡ δὲ φύσις τέλος ἐστίν· οἷον γὰρ ἕκαστόν ἐστι τῶν γιγνομένων τελεωθέντων, τοῦτο φαμὲν τὴν φύσιν εἶναι ἑκάστου, ὥσπερ ἀνθρώπου, ἵππου, οἰκίας· ἔτι τὸ οὗ ἕνεκα καὶ τὸ τέλος, βέλτιστον· ἡ δὲ αὐτάρκεια καὶ τέλος καὶ βέλτιστον· ἐκ τούτων δὴ φανερὸν ὅτι τῶν φύσει ἡ πόλις ἐστίν· καὶ ὅτι ἄνθρωπος φύσει πολιτικὸν ζῷον· καὶ ὁ ἀπολις διὰ φύσιν, καὶ οὐδὲ διὰ τύχην, ἤτοι φαῦλός ἐστιν, ἢ κρείττων, ἢ ἄνθρωπος· ὥσπερ καὶ ὁ ὑφ' ὁμήρου λοιδορηθεὶς ἀφρήτωρ· ἀθέμιστος· ἀνέστιος· ἄμα φύσει τοιοῦτος καὶ πολέμου ἐπιθυμητής· ἄτιμος ὥσπερ ἐν πεττοῖς· διότι δὲ πολιτικὸν ἄνθρωπος ζῷον, παντὸς μᾶλλον ἀναγκαῖον ἀνθρώπους εἶναι φύσει· ὃν καὶ νῦν ἡ φύσις οὐδὲν ποιεῖ μάτην· λόγον δὲ μόνον ἄνθρωπος ἔχει τῶν ζώων· ἡ μὲν οὖν φωνὴ τοῦ λυπηροῦ καὶ ἡδέος ἐστὶ σημεῖον· διὸ καὶ τοῖς ἄλλοις ὑπάρχει ζώοις· μέχρι γὰρ τούτου ἡ φύσις αὐτῶν ἐλήλυθεν ὥστε αἰσθάνεσθαι τοῦ λυπηροῦ καὶ ἡδέος καὶ ταῦτα σημαίνειν αὐτὰ τοῖς ἄλλοις· ὁ δὲ λόγος ἐπὶ τοῦ δηλοῦν ἐστὶ τὸ συμφέρον καὶ τὸ βλαβερόν· ὥστε καὶ τὸ δίκαιον καὶ τὸ ἄδικον· τοῦτο δὲ πρὸς τὰ ἄλλα ζῷα ἴδιον ἀνθρώποις ἐστίν, τὸ μόνον ἀγαθοῦ καὶ κακοῦ καὶ δικαίου καὶ ἀδίκου καὶ τῶν ἄλλων αἰσθήσεως ἔχειν ἡ δὲ τούτων κοινωνία ποιεῖ οἰκίαν καὶ πόλιν· καὶ πρότερον δὴ τῇ φύσει πόλις ἢ οἰκία καὶ ἕκαστος ἡμῶν ἐστιν· τὸ δὲ ὅλον πρότερον ἀναγκαῖον εἶναι τοῦ μέρους· ἀναιρουμένου γὰρ τοῦ ὅλου οὐκέτι ἔσται πούς· οὐδὲ χεὶρ, εἰ μὴ ὁμωνύμως ὥσπερ εἴπερ τις λέγει τὴν λιθίνην ἀφθεῖσαν, ἔσεσθαι γὰρ αὐτὴν πάντα ἔοικε ἔργῳ ὠφελῆσαι· καὶ τῇ διανοίᾳ· ὥστε μηκέτι ποιοῦντα ὁμοίως, ὀλεκτέα.

τὰ αὐτὰ εἶναι· ἀλλ' ὁμώνυμα· ὅτι μὲν οὖν ἡ πόλις, καὶ φύσει
καὶ πρότερον ἢ ἕκαστος, δῆλον· εἰ γὰρ μὴ αὐτάρκης ἕκαστος χω-
ρισθεὶς ὁμοίως τοῖς ἄλλοις μέρεσιν, ἕξει πρὸς τὸ ὅλον· ὁ δὲ μὴ
δυνάμενος κοινωνεῖν· ἢ μηθὲν δεόμενος δι' αὐτάρκειαν, οὐθὲν
μέρος πόλεως· ὥστε ἢ θηρίον· ἢ θεός· φύσει μὲν οὖν ἡ ὁρμὴ ἐν
πᾶσιν ἐπὶ τὴν τοιαύτην κοινωνίαν· ὁ δὲ πρῶτος συστήσας,
μεγίστων ἀγαθῶν αἴτιος· ὥσπερ γὰρ καὶ τελεωθὲν βέλτιστον
τῶν ζώων ἄνθρωπός ἐστιν, οὕτω καὶ χωρισθὲν νόμου καὶ δίκης, χεί-
ριστον πάντων· χαλεπωτάτη γὰρ ἀδικία ἔχουσα ὅπλα· ὁ δ' ἄνος
ὅπλα ἔχων φύεται φρονήσει καὶ ἀρετῇ· οἷς ἐπὶ τἀναντία ἐστὶ
χρῆσθαι μάλιστα· διὸ ἀνοσιώτατον καὶ ἀγριώτατον ἄνευ ἀρε-
τῆς· καὶ πρὸς ἀφροδίσια καὶ ἐδωδὴν χείριστον· ἡ δὲ δικαιοσύνη,
πολιτικόν· ἡ γὰρ δίκη πολιτικῆς κοινωνίας τάξις ἐστίν· ἡ δὲ
δίκη τοῦ δικαίου κρίσις· Ἐπεὶ δὲ φανερὸν ἐξ ὧν μορίων ἡ πόλις
συνέστηκεν, ἀνάγκη περὶ οἰκονομίας εἰπεῖν πρότερον· πᾶσα γὰρ
πόλις ἐξ οἰκιῶν σύγκειται· οἰκονομίας μέρη, ἐξ ὧν αὖθις οἰκία συνί-
σταται· οἰκία δὲ τέλειος, ἐκ δούλων καὶ ἐλευθέρων· ἐπεὶ δ' ἐν-
τοῖς ἐλαχίστοις πρῶτον ἕκαστον ζητητέον· πρῶτα δὲ καὶ ἐλά-
χιστα μέρη οἰκίας, δεσπότης καὶ δοῦλος· καὶ πόσις· καὶ ἄλοχος·
καὶ πῆρ καὶ τέκνα· περὶ τριῶν ἂν τούτων σκεπτέον εἴη· τί ἕ-
καστον καὶ ποῖον δεῖ εἶναι· ταῦτα δ' ἐστὶ δεσποτική· καὶ γαμική·
καὶ γὰρ αὐτὴν οὐκ ὠνόμασται ἰδίῳ ὀνόματι· ἔστωσαν δ' αὗται τρεῖς
ἃς εἴπομεν· ἔστι δέ τι μέρος ὃ δοκεῖ τοῖς μὲν εἶναι οἰκονομία·
τοῖς δέ, μέγιστον μέρος αὐτῆς· ὅπως δ' ἔχει θεωρητέον· λέγω δὲ,
περὶ τῆς καλουμένης χρηματικῆς· πρῶτον δὲ, περὶ δεσπότου
καὶ δούλου εἴπωμεν· ἵνα τά, τε πρὸς τὴν ἀναγκαίαν χρείαν ἴδω-
μεν· κἂν εἴ τι πρὸς τὸ εἰδέναι περὶ αὐτῶν δυναίμεθα λαβεῖν
βέλτιον, τῶν νῦν ὑπολαμβανομένων· τοῖς μὲν γὰρ δοκεῖ ὑπ' ἐστήμη-
τέτις εἶναι ἡ δεσποτεία· καὶ ἡ αὐτὴ οἰκονομία καὶ δεσποτεία· καὶ
πολιτικὴ καὶ βασιλική· καθάπερ εἴπομεν ἀρχόμενοι· τοῖς δὲ

παρὰ

παρὰ φύσιν τὸ δεσπόζειν· νόμῳ γὰρ, τὸν μὲν δοῦλον εἶναι· τὸν δ' ἐλεύθερον, φύσει δ' οὐθὲν διαφέρειν· διόπερ οὐδὲ δίκαιον· βίαιον γὰρ· ἐπεὶ οὖν ἡ κτῆσις μέρος τῆς οἰκίας ἐστί· καὶ ἡ κτητικὴ μέρος τῆς οἰκονομίας· ἄνευ γὰρ τῶν ἀναγκαίων, ἀδύνατον καὶ ζῆν, καὶ εὖ ζῆν· ὥσπερ ταῖς ὡρισμέναις τέχναις ἀναγκαῖον ἂν εἴη ὑπάρχειν τὰ οἰκεῖα ὄργανα εἰ μέλλει ἀποτελεσθήσεσθαι τὸ ἔργον, οὕτω καὶ τῶν οἰκονομικῶν· τῶν δ' ὀργάνων, τὰ μὲν ἄψυχα· τὰ δὲ, ἔμψυχα· οἷον, τῷ κυβερνήτῃ, ὁ μὲν οἴαξ ἄψυχον· ὁ δὲ πρωρεὺς ἔμψυχον· ὁ γὰρ ὑπηρέτης ἐν ὀργάνου εἴδει ταῖς τέχναις ἐστὶν, οὕτω καὶ τὸ κτῆμα ὄργανον πρὸς ζωήν ἐστι· καὶ ἡ κτῆσις, πλῆθος ὀργάνων ἐστί καὶ ὁ δοῦλος κτῆμά τι ἔμψυχον· καὶ ὥσπερ ὄργανον πρὸ ὀργάνων πᾶς ὁ ὑπηρέτης· εἰ γὰρ ἠδύνατο ἕκαστον τῶν ὀργάνων κελευσθέν, ἢ προαισθανόμενον ἀποτελεῖν τὸ αὐτοῦ ἔργον, ὥσπερ τὰ δαιδάλου φασὶν, ἢ τοὺς τοῦ ἡφαίστου τρίποδας, οὓς φησιν ὁ ποιητὴς, αὐτομάτους θεῖον δύεσθαι ἀγῶνα, οὕτως αἱ κερκίδες ἐκέρκιζον αὗται· καὶ τὰ πλῆκτρα ἐκιθάριζεν, οὐδὲν ἂν ἔδει οὔτε τοῖς ἀρχιτέκτοσιν ὑπηρετῶν, οὔτε τοῖς δεσπόταις δούλων· τὰ μὲν οὖν λεγόμενα ὄργανα, ποιητικὰ ὄργανά ἐστι· τὸ δὲ κτῆμα, πρακτικὸν· ἀπὸ μὲν δὲ τῆς κερκίδος, ἕτερόν τι γίνεται παρὰ τὴν χρῆσιν αὐτῆς· ἀπὸ δὲ τῆς ἐσθῆτος καὶ τῆς κλίνης ἡ χρῆσις μόνον· ἔτι δ' ἐπεὶ διαφέρει ἡ πρίησις εἴδει καὶ ἡ πράξις· καὶ δέονται ἀμφότεραι ὀργάνων, ἀνάγκη καὶ ταῦτα τὴν αὐτὴν ἔχειν διαφοράν· ὁ δὲ βίος, πράξις οὐ πρίησίς ἐστι· διὸ καὶ ὁ δοῦλος ὑπηρέτης τῶν πρὸς τὴν πρᾶξιν· τὸ δὲ κτῆμα λέγεται, ὥσπερ καὶ τὸ μόριον· τό, τε δὲ μόριον, οὐ μόνον ἄλλου ἐστὶ μόριον, ἀλλὰ καὶ ὅλως ἄλλου· ὁμοίως δὲ καὶ τὸ κτῆμα· διὸ ὁ μὲν δεσπότης τοῦ δούλου δεσπότης μόνον· ἐκείνου δ' οὐκ ἐστιν· ὁ δὲ δοῦλος, οὐ μόνον δεσπότου δοῦλός ἐστιν, ἀλλὰ καὶ ὅλως ἐκείνου· τίς μὲν οὖν ἡ φύσις τοῦ δούλου· καὶ τίς ἡ δύναμις, ἐκ τούτων δῆλον· ὁ δὲ μὴ αὐτοῦ φύσει· ἀλλ' ἄλλου· ἄνος δέ, οὗτος φύσει δοῦλός ἐστιν· ἀλλ' οὐδ' ἔστιν ἄνος, ὃς ἂν κτῆμα ᾖ, ἄνος ὤν· κτῆμα δὲ, ὄργανον πρα-

κτικὸν καὶ χωριστόν· πότερον δ' ἐστί τις φύσει τοιοῦτος, ἢ οὔ, καὶ
πότερον βέλτιον καὶ δίκαιον τινὶ δουλεύειν, ἢ οὔ, ἀλλὰ πᾶσα
δουλεία παρὰ φύσιν ἐστὶ, μετὰ ταῦτα σκεπτέον· οὐχ ἅλε πὸν
δὲ καὶ τῷ λόγῳ θεωρῆσαι, καὶ ἐκ τῶν γινομένων καταμαθεῖν·
τὸ γὰρ ἄρχειν καὶ ἄρχεσθαι, οὐ μόνον τῶν ἀναγκαίων, ἀλλὰ καὶ
τῶν συμφερόντων ἐστί· καὶ εὐθὺς ἐκ γενετῆς ἐνία διέστηκε· τὰ
μὲν, ἐπὶ τὸ ἄρχεσθαι· τὰ δ' ἐπὶ τὸ ἄρχειν καὶ εἴδη πολλὰ τῆς
ἀρχόντων καὶ ἀρχομένων ἐστί· καὶ ἀεὶ βελτίων ἡ ἀρχὴ, ἡ τῶν
βελτιόνων καὶ ἀρχομένων· οἷον, ἀνοῦ, ἢ θηρίου· τὸ γὰρ ἀποτε
λούμενον ἀπὸ τῶν βελτιόνων, βέλτιον ἔργον· ὅπου δὲ τὸ μὲν,
ἄρχει· τὸ δ' ἄρχεται, ἔστι τι τούτων ἔργον· ὅσα γὰρ ἐκ πλειόνων
συνέστηκε καὶ γίνεται ἐν τι κοινὸν, εἴτε ἐκ συνεχῶν, εἴτε ἐκ διῃρη
μένων, ἐνάπασιν ἐμφαίνεται τὸ ἄρχον, καὶ τὸ ἀρχόμενον·
καὶ τοῦτο ἐκ τῆς ἁπάσης φύσεως ἐνυπάρχει τοῖς ἐμψύχοις·
καὶ γὰρ ἐν τοῖς μὴ μετέχουσι ζωῆς, ἔστι τις ἀρχὴ οἷον, ἁρμονίᾳ·
ἀλλὰ ταῦτα μὲν, ἴσως ἐξωτερικωτέρας ἢ σκέψεως· τὸ δὲ ζῶον,
πρῶτον συνέστηκεν ἐκ ψυχῆς, καὶ σώματος· ὧν τὸ μὲν, ἄρχον
ἐστὶ φύσει· τὸ δ' ἀρχόμενον· Δεῖ δὲ σκοπεῖν ἐν τοῖς κατὰ φύσιν
ἔχουσι μᾶλλον τὸ φύσει· καὶ μὴ ἐν τοῖς διεφθαρμένοις· διὸ τὸν
βέλτιστα διακείμενον καὶ κατὰ σῶμα καὶ κατὰ ψυχὴν ἄνθρωπον θεωρητέον· ἐν ᾧ
τοῦτο δῆλον· τῶν μοχθηρῶν ἢ μοχθηρῶς ἐχόντων, δόξειεν ἂν ἄρχειν πολ-
λάκις τὸ σῶμα τῆς ψυχῆς, διὰ τὸ φαύλως καὶ παρὰ φύσιν ἔχειν·
ἔστι δ' οὐκ ὡς πρὸς λέγομεν· πρῶτον ἐν ζώῳ θεωρῆσαι· καὶ δεσποτικὴν
ἀρχὴν καὶ πολιτικήν· ὁ δὲ νοῦς τῆς ὀρέξεως, πολιτικῆς τε βασιλικήν·
ἐν οἷς φανερόν ἐστιν, ὅτι κατὰ φύσιν καὶ συμφέρον, τὸ ἄρχεσθαι τῷ σώ-
ματι ὑπὸ τῆς ψυχῆς, καὶ τῷ παθητικῷ μορίῳ ὑπὸ τοῦ νοῦ καὶ τοῦ
μορίου τοῦ λόγον ἔχοντος· τὸ δ' ἐξ ἴσου, ἢ ἀνάπαλιν, βλαβερὸν
πᾶσι· πάλιν ἐν ἀνῷ καὶ τοῖς ἄλλοις ζώοις ὡσαύτως· τὰ μὲν τῆς
ἡμερα τῶν ἀγρίων βελτίω τὴν φύσιν· τούτοις δὲ πᾶσι βέλτιον
ἄρχεσθαι ὑπ' ἀνοῦ· τυγχάνει γὰρ σπίας οὕτως· ἔτι δὲ τὸ ἄρρεν,

πρὸς

πρὸς τὸ θῆλυ φύσει· τὸ μὲν κρεῖττον· τὸ δὲ, χεῖρον· τὸ μὲν, ἄρ-
χον, τὸ δὲ, ἀρχόμενον· τὸν αὐτὸν δὲ τρόπον ἀναγκαῖον εἶναι, καὶ
ἐπὶ πάντων ἀνθρώπων· ὅσοι μὲν οὖν τοσοῦτον διεστᾶσιν, ὅσον
ψυχὴ σώματος· καὶ ἄνθρωπος, θηρίου, διάκειν ται τοῦτον τὸν
τρόπον· ὅσων ἐστὶν ἔργον ἡ τοῦ σώματος χρῆσις, καὶ τοῦτ' ἔστ' ἀπ'
αὐτῶν βέλτιστον, οὗτοι μὲν εἰσι φύσει δοῦλοι· οἷς βέλτιον ἢ
ἄρχεσθαι ταύτην τὴν ἀρχὴν εἴπερ καὶ τοῖς εἰρημένοις· ἔστι γὰρ
φύσει δοῦλος, ὁ δυνάμενος ἄλλου εἶναι· διὸ καὶ ἄλλου ἐστί· καὶ
ὁ κοινωνῶν λόγου τοσοῦτον, ὅσον αἰσθάνεσθαι· ἀλλὰ μὴ ἔχειν· τὰ δὲ
ἄλλα ζῶα οὐ λόγου αἰσθανόμενα ἀλλὰ παθήμασιν ὑπηρετεῖ·
καὶ ἡ χρεία δὲ παραλλάττει μικρόν· ἡ γὰρ πρὸς τὰ ναγκαῖα τῷ
σώματι βοήθεια γίνεται παρ' ἀμφοῖν· παρά τε τῶν δούλων
καὶ παρὰ τῶν ἡμέρων ζώων· βούλεται μὲν οὖν ἡ φύσις· καὶ τὰ
σώματα διαφέροντα ποιεῖ τὰ τῶν ἐλευθέρων· καὶ τῶν δούλων·
τὰ μὲν ἰσχυρὰ, πρὸς τὴν ἀναγκαίαν χρῆσιν· τὰ δ' ὀρθὰ καὶ ἄχρηστα
πρὸς τὰς τοιαύτας ἐργασίας, ἀλλὰ χρήσιμα πρὸς πολιτι-
κὸν βίον· οὕτως δὲ καὶ γίνεται διῃρημένος εἴς τε τὴν πολεμικὴν
χρείαν, καὶ τὴν εἰρηνικήν· συμβαίνει δὲ πολλάκις καὶ τοὐναντίον·
τοὺς μὲν, τὰ σώματ' ἔχειν ἐλευθέρων· τοὺς δὲ, τὰς ψυχὰς ἐπεὶ
τοῦτό γε φανερὸν, ὡς εἰ τοσοῦτον γένοιντο διάφοροι τὸ σῶ-
μα μόνον, ὅσον αἱ τῶν θεῶν εἰκόνες, τοὺς ὑπολειπομένους
πάντες φαῖεν ἂν ἀξίους εἶναι τούτοις δουλεύειν· εἰ δ' ἐπὶ τοῦ σώ-
ματος τοῦτ' ἀληθὲς, πολὺ δικαιότερον ἐπὶ τῆς ψυχῆς τοῦτο
διωρίσθαι· ἀλλ' οὐχ ὁμοίως ῥᾴδιον ἰδεῖν τό, τε τῆς ψυχῆς κάλλος
καὶ τὸ τοῦ σώματος· ὅτι μὲν τοίνυν εἰσὶ φύσει τινὲς, οἱ μὲν ἐλεύ-
θεροι οἱ δὲ δοῦλοι, φανερὸν, οἷς καὶ συμφέρει τὸ δουλεύειν
καὶ δίκαιόν ἐστιν· ὅτι δὲ καὶ οἱ τἀναντία φάσκοντες τρόπον
τινὰ λέγουσιν ὀρθῶς, οὐχαλεπὸν ἰδεῖν· διχῶς δὲ λέγεται τὸ δου-
λεύειν καὶ ὁ δοῦλος· ἔστι γὰρ τις κατὰ νόμον δοῦλος, καὶ δουλεύων· ὃ δὲ
νόμος ὁμολογία τίς ἐστιν ἐνῷ τὰ κατὰ πόλεμον κρατού-

μᾶλλον τῶν κρατούντων εἶναι φασί· τοῦτο δὲ τὸ δίκαιον πολλοὶ τῶν ἐν τοῖς νόμοις, ὥσπερ ἐκ τοῦ γεγραμμένου παρανόμων ὡς δεινὸν εἰσφέρουσι βιάσασθαι δίκαιον μᾶλλον, ἢ κατὰ δίκαιον κρείττονος, ἐξουσιάζειν καὶ ἄρχειν τὸν βιασθέντα· ἢ τοῖς μὲν ὅτω δοκεῖ· τοῖς δ' ἐκείνως· ἢ τῶν σοφῶν· αἴτιον δὲ ταύτης φιλονεικίας ἐστὶν ἡ περὶ τοὺς λόγους ἐπιπλάττει, ὅτι τὸ μὲν ποτὲ μὲν ἀρετὴ τυγχάνουσα χορηγίας· καὶ βιάζεσθαι δύναται μᾶλλον· καὶ ὅτου ἐστὶν ἡ ἰσχὺς, ἐν ὑπεροχῇ τινος ὄντος· ὥστε δοκεῖ μὴ ἄνευ ἀρετῆς εἶναι τὴν βίαν· ἀλλὰ περὶ τοῦ δικαίου μόνον εἶναι τὴν ἀμφισβήτησιν· διὰ γὰρ τοῦτο, τοῖς μὲν, εὔνοια δοκεῖ τὸ δίκαιον εἶναι· φίλος δ' αὐτῷ φῶ δίκαιον, τὸν τὸν κρείττονα ἄρχειν· ἐπεὶ δ' ἀσαφῶν τε χωρὶς τούτων τῶν λόγων, οὔτ' ἰσχυρὸν οὐθὲν ἔχουσιν, οὔτε φαινόμενον ἄπτροι λόγοι· ὡς δεῖ τὸ βέλτιστον κατ' ἀρετὴν ἄρχειν καὶ διατείνειν· ὅλως δ' αὐτὸ τὸ μόριον τινός, ὡς οἴονται δικαίου τινὸς, ὁ γὰρ νόμος, δίκαιόν τι, τὴν κατὰ πόλεμον δουλείαν τιθέασι δικαίαν· ἅμα δ' οὐφασί· τὴν τε γὰρ ἀρχὴν ἐνδέχεται μὴ δικαίαν εἶναι τῶν πολέμων· καὶ τὸν ἀνάξιον δουλεύειν οὐδαμῶς ἂν φαίη τις δοῦλον εἶναι· εἰ δὲ μὴ, συμβήσεται τοὺς εὐγενεστάτους εἶναι δοκοῦντας, δούλους εἶναι· καὶ ἐκ δούλων, ἐὰν συμβῶσι πραθῶσι ληφθέντες· ὥστε ἂν τοὺς βαρβάρους, καὶ τοιούτους οὐβούλονται λέγειν δούλους· ἀλλὰ τοὺς βαρβάρους, καὶ τοιούτους τοῦτο λέγουσιν, οὐθὲν ἄλλο ζητοῦσιν, ἢ τὸ φύσει δοῦλον. ὅπερ ἐξ ἀρχῆς εἰπομεν· ἀνάγκη γὰρ εἶναι τινὰς φαύλους, τούτους μὲν, ὅπου καὶ χοῦ δούλους· τούσδ' ὅδε μοῦ· τὸν αὐτὸν δὲ τρόπον καὶ περὶ εὐγενείας· αὐτοὺς μὲν γὰρ, ἀ μόνον πρὸς αὐτοὺς εὐγενεῖς, ἀλλὰ παντὶ χοῦ νομίζουσι· τοὺς δὲ βαρβάρους οἰκοι μόνον· ὡς ὄν, τι τὸ μὲν ἁπλῶς εὐγενὲς ἐλεύθερον· τὸ δ' οὐχ ἁπλῶς· ὡς περ καὶ Θεοδέκτης ἐν Λένῃ φησί· θεῖον δ' ἂν πάμφοιν ἐκγόνοιν εἰζωμάτ'. τίς αὖ προσειπεῖν ἀξιώσειε λάτριν· ὅταν δὲ τοῦτο λέγωσι· οὐθενὶ, ἀλλ' ἢ ἀρετῇ καὶ κακίᾳ διορίζουσι τὸ δοῦλον καὶ ἐλεύθε-

ρον

ρον· καὶ τοὺς εὐγενεῖς καὶ τοὺς δυσγενεῖς· ἀξιοῦσι γὰρ ὡς πρὸς ἐξ ἀνοῦ ἄνων, καὶ ἐκθηρίων γίνεσθαι θηρίον, οὕτω καὶ ἐξ ἀγαθῶν ἀγαθόν· ἡ δὲ φύσις βούλεται μὲν τοῦτο ποιεῖν πολλάκις· οὐ μέν τοι δύναται· ὅτι μὲν οὖν ἔχει τινὰ λόγον ἡ ἀμφισβήτησις καὶ εἰσὶν οἱ μὲν φύσει δοῦλοι· οἱ δ' ἐλεύθεροι, δῆλον· καὶ ὅτι ἐν τισι διώρισθαι τὸ τοιοῦτον ὧν συμφέρει τοῦ μὲν, τὸ δουλεύειν· τῷ δὲ, δεσπόζειν· καὶ δίκαιον· καὶ δεῖ τὸ μὲν, ἄρχεσθαι, τὸ δ' ἄρχειν· ἢν πεφύκασιν ἀρχὴν ἄρχειν· ὥστε καὶ δεσπόζειν· τὸ δὲ κακῶς, ἀσυμφόρως ἐστὶν ἀμφοῖν· τὸ γὰρ αὐτὸ συμφέρει τῷ μέρει καὶ τοῦ ὅλῳ, καὶ σώματι καὶ ψυχῇ· ὁ δὲ δοῦλος, μέρος τί τοι δεσπότου· οἷον ἔμψυχόν τι τοι σώματος· κεχωρισμένον δὲ μέρος· διὸ καὶ συμφέρον ἐστί τι καὶ φιλία, δούλῳ καὶ δεσπότῃ πρὸς ἀλλήλους τοῖς φύσει τούτων ἠξιωμένοις· τοῖς δὲ μὴ τοῦτον τὸν τρόπον, ἀλλὰ κατὰ νόμον καὶ βιασθεῖσι, τοὐναντίον· φανερὸν δὲ καὶ ἐκ τούτων, ὅτι οὐταυτόν ἐστι δεσποτεία καὶ πολιτική· οὐδὲ πᾶσαι ἀλλήλαις αἱ ἀρχαὶ ὥσπερ τινές φασιν· ἡ μὲν γὰρ ἐλευθέρων φύσει· ἡ δὲ δούλων ἐστί· καὶ ἡ μὲν οἰκονομικὴ μοναρχία· μοναρχεῖται γὰρ πᾶς οἶκος· ἡ δὲ πολιτικὴ, ἐλευθέρων καὶ ἴσων ἀρχή· ὁ μὲν οὖν δεσπότης, οὐ λέγεται κατ' ἐπιστήμην, ἀλλὰ τῷ τοιός δ' εἶναι· ὁμοίως δὲ καὶ ὁ δοῦλος καὶ ὁ ἐλεύθερος· ἐπιστήμη δ' ἂν εἴη καὶ δεσποτικὴ καὶ δουλική· δουλικὴ μὲν, οἵαν περ ὁ ἐν συρακούσαις ἐπαίδευεν· ἐκεῖ γὰρ λαμβάνων τὶς μισθὸν, ἐδίδασκε τὰ ἐγκύκλια διακονήματα τοὺς παῖδας· εἴη δ' ἂν καὶ ἐπὶ πλεῖον τῶν τοιούτων μάθησις· οἷον ὀψοποιϊκή, καὶ τἄλλα τὰ τοιαῦτα γένητα διακονίας ἐστὶ γὰρ ἔργα ἑτέρῃ· τὰ μὲν, ἐντιμότερα ἔργα· τὰ δ' ἀναγκαιότερα· καὶ κατὰ τὴν παροιμίαν, δοῦλος πρὸ δούλου· δεσπότης, πρὸ δεσπότου· αἱ μὲν οὖν τοιαῦται πᾶσαι δουλικαὶ ἐπιστῆμαί εἰσι· δεσποτικὴ δ' ἐπιστήμη ἐστὶν, ἡ χρηστικὴ δούλων· ὁ γὰρ δεσπότης οὐκ ἐν τῷ κτᾶσθαι τοὺς δούλους, ἀλλ' ἐν τῷ χρῆσθαι δούλοις· ἐστὶ δ' αὕτη ἡ ἐπιστήμη, οὐδὲν μέγα ἔχουσα οὐδέ σεμνόν·

ἃ γὰρ τὸν δοῦλον ἐπίστασθαι δεῖ ποιεῖν, ἐκεῖνον δεῖ ταῦτα ἐπί-
στασθαι ἐπιτάττειν· διὸ ὅσοις ἐξουσία μὴ αὐτοὺς κακοπαθεῖν,
ἐπίτροπος λαμβάνει ταύτην τὴν τιμήν· αὐτοὶ δὲ πολιτεύον-
ται ἢ φιλοσοφοῦσιν· ἡ δὲ κτητικὴ ἑτέρα ἀμφοτέρων τού-
των· οἷον, ἡ δικαία· πολεμικήτις οὖσα ἢ θηρευτική· περὶ μὲν
οὖν δούλου καὶ δεσπότου τοῦτον διωρίσθω τὸν τρόπον· ὅλως
δὲ περὶ πάσης κτήσεως καὶ χρηματιστικῆς θεωρήσωμεν· κα-
τὰ τὸν ὑφηγημένον τρόπον· ἐπείπερ καὶ ὁ δοῦλος τῆς κτή-
σεως μέρος τι ἦν· πρῶτον μὲν οὖν ἀπορήσειεν ἄντις· πότε-
ρον ἡ χρηματιστικὴ, ἡ αὐτὴ τῇ οἰκονομικῇ ἐστιν, ἢ μέρος τι· ἢ ὑπηρε-
τική· καὶ εἰ ὑπηρετικὴ, πότερον ὡς ἡ κερκιδοποιϊκὴ, τῇ ὑφαν-
τικῇ· ἢ ὡς ἡ χαλκουργικὴ τῇ ἀνδριαντοποιΐα· οὐ γὰρ ὡσαύτως
ὑπηρετοῦσιν, ἀλλ' ἡ μὲν, ὄργανα παρέχει· ἡ δὲ τὴν ὕλην λέγω δὲ ὕλην, τὸ
ὑποκείμενον, ἐξ οὗτι ἀποτελεῖται ἔργον· οἷον, ὑφάντῃ μὲν, ἔρια· ἀν-
δριαντοποιῷ δὲ χαλκόν· ὅτι μὲν οὖν οὐχὶ αὐτὴ οἰκονομικὴ, τῇ
χρηματιστικῇ, δῆλον· τῆς μὲν γὰρ, τὸ πορίσασθαι· τῆς δὲ, τὸ χρήσα-
σθαι· τίς γὰρ ἔσται ἡ χρησομένη, τοῖς κατὰ τὴν οἰκίαν παρὰ τὴν
οἰκονομικήν· πότερον δὲ μέρος αὐτῆς ἐστί τι, ἢ ἕτερον εἶδος,
ἔχει διαμφισβήτησιν· εἰ γὰρ ἐστι τοῦ χρηματιστικοῦ θεωρῆσαι
πόθεν χρήματα καὶ κτῆσις ἔσται, ἡ δὲ κτῆσις πολλὰ περιείλη-
φεμέρη, καὶ ὁ πλοῦτος, ὥστε πρῶτον ἡ γεωργικὴ πότερον μέ-
ρος τί τῆς χρηματιστικῆς· ἢ ἕτερόν τι γένος· καὶ καθόλου ἡ περὶ
τὴν τροφὴν ἐπιμέλεια καὶ κτῆσις· ἀλλὰ μὴν εἴδη γε πολλὰ
τροφῆς· διὸ καὶ βίοι πολλοί· καὶ τῶν ζώων καὶ τῶν ἀνθρώπων
εἰσίν· οὐ γὰρ οἷόν τε ζῆν ἄνευ τροφῆς· ὥστε αἱ διαφοραὶ τῆς τρο-
φῆς, τοὺς βίους πεποιήκασι διαφέροντας τῶν ζώων· τῶν τε
γὰρ θηρίων, τὰ μὲν, ἀγελαῖα· τὰ δὲ, σπορᾶδικά ἐστιν ὁποτέ-
ρως συμφέρει πρὸς τὴν τροφὴν αὐτοῖς· διὰ τὸ τὰ μὲν, ζωοφάγα·
τὰ δὲ· καρποφάγα· τὰ δὲ, παμφάγα αὐτῶν εἶναι· ὥστε πρὸς
τὰς ῥᾳστώνας τῆς αἱρέσιν τῆς τούτων ἡ φύσις τοὺς βίους αὐτῶν διώ-

ρισεν, ἐπεὶ δ' οὐταν τὸ ἑκάστω ἡ δὺ κατὰ φύσιν, ἀλλὰ ἕτερα ἑ-
τέροις, ἢ αὐτῶν τῶν ζωοφάγων καὶ τῶν κατὰ τροφάγων οἱ βίοι πρὸς ἄλλη-
λα διεστᾶσιν. ὁμοίως δὲ τὸ τῶν ἀνθρώπων· πολλοὶ δὲ διαφέρουσιν
οἱ τούτων βίοι· οἱ μὲν οὖν ἀργότατοι, νομάδες εἰσὶν ἡ γὰρ ἀπὸ τῶν
ἡμέρων τροφὴ ζώων, ἄνευ πόνου γίνεται σχολάζουσιν· ἀναγκαίου
δ' ὄντος μεταβάλλειν τοῖς κτήνεσι διὰ τὰς νομὰς, καὶ αὐ-
τοὶ ἀναγκάζονται συνακολουθεῖν ὥσπερ γεωργίαν ζῶσαν
γεωργοῦντες· οἱ δ' ἀπὸ θήρας ζῶσιν· καὶ θήρας ἕτεροι ἑτέρας·
οἷον, οἱ μὲν, ἀπὸ λῃστείας· οἱ δ' ἀφαλιείας, ὅσοι λίμνας, καὶ ἕλη
καὶ ποταμοὺς ἢ θάλατταν τοιαύτην προσοικοῦσιν· οἱ δ' ἀπὸ ὀρ-
νίθων ἢ θηρίων ἀγρίων· τὸ δὲ πλεῖστον γένος τῶν ἀνθρώπων ἀπὸ
τῆς γῆς, ζῇ· καὶ τῶν ἡμέρων καρπῶν· οἱ μὲν οὖν βίοι τοσοῦτοι
σχεδὸν εἰσίν· ὅσοι γε αὐτόφυτον ἔχουσι τὴν ἐργασίαν· καὶ μὴ διὰ λ-
λαγῆς καὶ καπηλείας πορίζονται τὴν τροφὴν, νομαδικός· γεωρ-
γικός· λῃστρικός· ἁλιευτικός· θηρευτικός· οἱ δὲ, καὶ μιγνῦντες
ἐκ τούτων ἡδέως ζῶσι προσαναπληροῦντες τὸν ἐνδεέστατον
βίον ἢ τυγχάνει ἐλλείπων πρὸς τὸ αὐτάρκης εἶναι· οἷον· οἱ μὲν
νομαδικὸν ἅμα καὶ λῃστρικόν· οἱ δὲ γεωργικὸν καὶ θηρευτι-
κόν, ὁμοίως δὲ καὶ περὶ τοὺς ἄλλους ὡς ἂν ἡ χρεία συναναγ-
κάζη, τοῦτον τὸν τρόπον διάγουσιν· οἱ μὲν οὖν τοιαύτη κτῆ-
σις, ὑπαὐτῆς φαίνεται τῆς φύσεως διδομένη πᾶσιν, ὥσπερ
κατὰ τὴν πρώτην γένεσιν, εὐθὺς οὕτω καὶ τελειωθεῖσι καὶ γὰρ
κατὰ τὴν ἐξ ἀρχῆς γένεσιν τὰ μὲν, συνεκτίκτει τῶν ζώων, το-
σαύτην τροφὴν, ὡς ἱκανὴν εἶναι· μέχρις οὗ ἂν δύνηται αὐτὸ
αὑτῷ πορίζειν τὸ γεννηθέν· οἷον, ὅσα σκωληκοτοκεῖ, ἢ ὠοτοκεῖ
ὅσα δὲ ζωοτοκεῖ, τοῖς γενομένοις ἔχει τροφὴν ἐναὶ τοῖς μέ-
χρι τινὸς, τὴν τοῦ καλουμένου γάλακτος φύσιν· ὥστε ὁ-
μοίως δῆλον ὅτι καὶ γενομένοις, οἰητέον, τάτε φυτὰ τῶν
ζώων ἕνεκεν εἶναι· καὶ τὰ ἄλλα ζῶα τῶν ἀνθρώπων χάριν·
τὰ μὲν ἥμερα, καὶ διὰ τὴν χρῆσιν καὶ διὰ τὴν τροφήν· τῶν δ' ἀ-

γρίων εἰμὴ πάνυ τι, ἀλλὰ ταῖς πλείσταις προφῆς καὶ ἄλλης συνηθείας ἕνεκεν· ἵνα καὶ ἐαθῆς καὶ ἄλλα ὄργανα γίνηται ἐξ αὐτῶν· εἰσὶν ἡ φύσις μηθὲν, μήτε ἀτελὲς πρὶ εἰ μήτε μάτην, ἀναγκαῖον τ' ἀνθρώπων ἕνεκεν αὐτὰ πάντα πεποιηκέναι τὴν φύσιν· διὸ καὶ ἡ πολεμικὴ, φύσει κτητική πως ἔσται· ἡ γὰρ θηρευτικὴ μέρος αὐτῆς· ἃ δεῖ χρῆσθαι πρός τε τὰ θηρία καὶ τῶν ἀνθρώπων ὅσοι πεφυκότες ἄρχεσθαι μὴ θέλουσιν, ὡς φύσει δίκαιον τοῦτον ὄντα τὸν πόλεμον· ἡ μὲν οὖν εἰδος κτητικῆς κατὰ φύσιν, τ' οἰκονομικὸν μέρος ἐστίν· ὃ δεῖ ἢ πρυπάρχειν ἢ πρείζειν αὐτὴν ὅπως ὑπάρχῃ ὧν ἔστι θησαυρισμὸς χρημάτων, πρὸς ζωὴν ἀναγκαίων καὶ χρησίμων εἰς κοινωνίαν πόλεως ἢ οἰκίας· καὶ ἔοικεν ὄντως ἀληθινὸς πλοῦτος, ἐκ τούτων εἶναι· ἡ γὰρ φυσικὴ αὐτάρκεια πρὸς ἀγαθὴν ζωὴν, οὐκ ἄπειρος ἐστίν, ὥσπερ ὁ Σόλων φησί που ἡσὶ· πλοῦτου δ' οὐθὲν τέρμα τοῖς φασμένοις ἀνδράσι κεῖται· κεῖται γὰρ, ὥσπερ καὶ ταῖς ἄλλαις τέχναις· οὐδὲν γὰρ ὄργανον ἄπειρον ἐνδέχεται τῶν τέχνης· ὅτε πλήθει· ὅτε μεγέθει· ὁ δὲ πλοῦτος, ὀργάνων πλῆθος ἐστὶν οἰκονομικῶν καὶ πολιτικῶν· ὅτι μὲν οὖν ἐστὶ τις κτητικὴ κατὰ φύσιν τοῖς οἰκονόμοις καὶ τοῖς πολιτικοῖς καὶ δι' ἣν αἰτίαν, δῆλον· ἔστι δὲ εἶδος ἄλλο κτητικῆς· ὃ μάλιστα καλοῦσι· καὶ δίκαιον αὐτὸ καλεῖν χρηματιστικὸν· διὸ οὐδὲν δοκεῖ τέρας εἶναι πλοῦτον καὶ κτῆσιν· διὰ ὃς μίαν ἐστὶν αὐτοῖς τὴν ἀληθείαν· πολλοὶ νομίζουσι διὰ τὴν γειτνίασιν· ἔστι δ' ἔστιν αὐτὴ τῇ εἰρημένῃ· οὔτε πρόσω ἐκείνης· ἔστι δ' ἡ μὲν φύσει ἡ δὲ οὐ φύσει αὐτῶν· ἀλλὰ δι' ἐμπειρίας τινὸς καὶ τέχνης γίνεται μᾶλλον· λάβωμεν δὲ περὶ αὐτῆς τὴν ἀρχὴν ἐντεῦθεν· ἑκάστου κτήματος διττὴ ἡ χρῆσίς ἐστιν· ἀμφότεραι δὲ, καθ' αὑτὸ μὲν, ἀλλ' οὐχ ὁμοίως καθ' αὑτό· ἀλλ' ἡ μὲν, οἰκεία· ἡ δ' οὐκ οἰκεία τοῦ πράγματος· οἷον ὑποδήματος· ἥτε ὑπόδεσις καὶ ἡ μεταβλητική· ἀμφότεραι γὰρ ὑποδήματος χρήσεις· κἂν γὰρ ὁ ἀλλαττόμενος δέῃ μὴ τῷ ὑπο-

δήματος

μαρς, ἀντὶ νομίσμαρς ἢ τροφῆς χρῆται τῷ ὑποδήματι, ἢ ὑπόδη-
μα, ἀλλ' ὀυτὴν οἰκείαν χρῆσιν· ὀυ δὲ ἀλλὰ γῆς ἕνεκεν γέγονε· τὰ αὐτὰ
δὲ τρόπον ἔχει καὶ περὶ τῶν ἄλλων κτημάτων· ὄστι γὰρ ἡ μεταβλη-
τικὴ πάντων ἀρξαμένη τὸ μὲν πρῶτον ἐκ τοῦ κατὰ φύσιν· τὰ δὲ
τὰ μὲν, πλείω· τὰ δὲ ἐλάττω τῶν ἱκανῶν ἔχειν τοὺς ἀνθρώπους·
ἢ καὶ δῆλον ὅτι ὀυκ ὄστι φύσει τῆς χρηματιστικῆς ἡ καπηλική· ὅ-
σον γὰρ ἱκανὸν αὐτοῖς ἀναγκαῖον ἦν τρεῖσθαι τῆς ἀλλαγῆν· ἐν μὲν
οὖν τῇ πρώτῃ κοινωνίᾳ, τοῦτο δ' ἦν οἰκία, φανερὸν ὅτι ὀυδέν ὄστιν
ἔργον αὐτῆς, ἀλλ' ἤδη πλείονος τῆς κοινωνίας ὄσης· οἱ μὲν γὰρ
τῶν αὐτῶν ἐκοινώνουν πάντων· οἱ δὲ, κεχωρισμένοι πολλῶν πά-
λιν καὶ ἑτέρων, ὧν κατὰ τὰς δεήσεις ἀναγκαῖον ποιεῖσθαι τὰς
μεταδόσεις· καθάπερ ἔτι πολλὰ τρεῖ καὶ τῶν βαρβαρικῶν ἐθνῶν
κατὰ τὴν ἀμαγίαν· αὐτὰ γὰρ τὰ χρήσιμα πρὸς αὐτὰ καταλλάτ-
τονται· ἐπιπλέον δ' ὀυθέν· οἷον οἶνον πρὸς σῖτον διδόντες, καὶ λαμβά-
νοντες· καὶ τῶν ἄλλων τῶν τοιούτων ἕκαστον· ἡ μὲν οὖν τοιαύτη μεταβλη-
τικὴ, ὄυτε παρὰ φύσιν· ὄυτε χρηματιστικῆς· ὄστιν εἶδος ὀυδέν· εἰς ἀνα-
πλήρωσιν γὰρ τῆς κατὰ φύσιν αὐταρκείας ἦν· ἐκ μέντοι ταύ-
της, ἐγένετο ἐκείνη κατὰ λόγον· ξενικωτέρας γὰρ γινομένης
τῆς βοηθείας τῷ εἰσάγεσθαι ὧν ἐνδεεῖς καὶ ἐκπέμπειν ὧν ἐπλεόνα-
ζον, ἐξ ἀνάγκης ἡ τοῦ νομίσματος ἐπορίσθη χρῆσις· οὐ γὰρ εὐ-
βάστακτον ἕκαστον τῶν κατὰ φύσιν ἀναγκαίων· διὸ πρὸς τὰς
ἀλλαγὰς τοιοῦτόν τι συνέθεντο πρὸς σφὰς αὐτοὺς διδόναι·
καὶ λαμβάνειν· ὃ τῶν χρησίμων αὐτὸ ὄν, εἶχε τὴν χρείαν εὐμετα-
χείριστον πρὸς τὸ ζῆν· οἷον, σίδηρος· καὶ ἄργυρος, κἂν εἴ τι τοιοῦ-
τον ἕτερον· τὸ μὲν πρῶτον ἁπλῶς ὁρισθὲν μεγέθει καὶ σταθμῷ· τὸ δὲ
τελευταῖον καὶ χαρακτῆρα ἐπιβαλλόντων, ἵνα ἀπολύσῃ τῆς
μετρήσεως αὐτούς· ὁ γὰρ χαρακτὴρ ἐτέθη τοῦ ποσοῦ σημεῖον.
πορισθέντος οὖν ἤδη νομίσματος ἐκ τῆς ἀναγκαίας ἀλλαγῆς
θάτερον εἶδος τῆς χρηματιστικῆς ἐγένετο τὸ καπηλικόν· τὸ
μὲν πρῶτον ἁπλῶς ἴσως γινόμενον· εἶτα δὲ ἐμπειρίας, ἤδη

τεχνικώτερον, πόθεν καὶ πῶς μεταβαλλόμενον· πλεῖστον τριή-
σει κέρδος· διὸ δοκεῖ ἡ χρηματιστικὴ μάλιστα περὶ τὸ νόμισμα
εἶναι καὶ ἔργον αὐτῆς τὸ δύνασθαι θεωρῆσαι πόθεν ἔσται πλῆ-
θος χρημάτων· ποιητικὴ γὰρ εἶναι τοῦ πλούτου καὶ χρημάτων·
καὶ γὰρ τὸν πλοῦτον πολλάκις τιθέασι νομίσματος πλῆθος,
διὰ τὸ περὶ τοῦτ' εἶναι τὴν χρηματιστικὴν καὶ τὴν καπηλι-
κήν· ὅτι δὲ πάλιν, λῆρος εἶναι δοκεῖ τὸ νόμισμα καὶ εἷς νό-
μος παντάπασι· φύσει δ' οὐθέν· ὅτι μεταθεμένων τε τῶν χρω-
μένων, οὐθενὸς ἄξιον· οὔτε χρήσιμον πρὸς οὐδὲν τῶν ἀναγκαί-
ων ἐστί· καὶ νομίσματος πλουτῶν πολλάκις, ἀπορήσει τῶν
ἀναγκαίας τροφῆς· καίτοι ἄτοπον τοιοῦτον εἶναι πλοῦτον·
οὗ εὐπορῶν, λιμῷ ἀπολεῖται· καθάπερ καὶ τὸν μίδαν ἐκεῖ-
νον μυθολογοῦσι διὰ τὴν ἀπληστίαν τῶν εὐχῆς, πάντων σιτο-
μένων τῶν παρατιθεμένων χρυσῶν· διὸ ζητοῦσιν ἑτερόν τι
τὸν πλοῦτον καὶ τὴν χρηματιστικὴν, ὀρθῶς ζητοῦντες· ἔστι γὰρ
ἑτέρα ἡ χρηματιστικὴ, καὶ ὁ πλοῦτος ὁ κατὰ φύσιν· καὶ αὕτη
μὲν, οἰκονομική· ἡ δὲ καπηλικὴ, τριητικὴ χρημάτων, οὐ πάντως·
ἀλλ' ἡ διὰ χρημάτων μεταβολῆς· καὶ δοκεῖ περὶ τὸ νόμισμα
αὕτη εἶναι· τὸ γὰρ νόμισμα, στοιχεῖον καὶ πέρας τῶν ἀλλα-
γῆς ἐστι· καὶ ἄπειρος δὴ οὗτος ὁ πλοῦτος ὁ ἀπὸ ταύτης τῶν χρη-
ματιστικῆς· ὥσπερ γὰρ ἡ ἰατρικὴ τοῦ ὑγιαίνειν εἰς ἄπει-
ρόν ἐστι· καὶ ἑκάστη τῶν τεχνῶν τοῦ τέλους εἰς ἄπειρον, ὅτι
μάλιστα γὰρ ἐκεῖνο βούλονται ποιεῖν· τῶν δὲ πρὸς τὸ τέλος οὐκ
εἰς ἄπειρον· πέρας γὰρ τὸ τέλος πάσαις· οὕτω καὶ ταύτης τῶν
χρηματιστικῆς οὐκ ἔστι τοῦ τέλους πέρας· τέλος δὲ, ὁ τοιοῦτος πλοῦ-
τος καὶ χρημάτων κτῆσις· τῶν δ' οἰκονομικῆς, οὐ χρηματιστι-
κῆς ἐστι πέρας· οὐ γὰρ τοῦτο τῆς οἰκονομικῆς ἔργον· διὸ τῆ μὲν
φαίνεται ἀναγκαῖον εἶναι παντὸς πλούτου πέρας· ἐπὶ δὲ τῶν
γινομένων ὁρῶ συμβαῖνον τοὐναντίον· πάντες γὰρ εἰς ἄπειρον
αὔξουσιν οἱ χρηματιζόμενοι τὸ νόμισμα· αἴτιον δὲ τὸ συνεγγυς αὐτῶν

ἐπαλ-

ἐπαλλάττει ἡ χρῆσις τοῦ αὐτοῦ οὖσα ἑκατέρα τῆς χρηματι-
στικῆς· τῆς γὰρ αὐτῆς ἐστι χρήσεως κτῆσις· ἀλλ' οὐ κατὰ ταυ-
τὸν ἀλλὰ τῆς μὲν ἕτερον τέλος· τῆς δ' αὔξησις· ὥστε δοκεῖ τισι
τοῦτ' εἶναι τῆς οἰκονομικῆς ἔργον· καὶ διατελοῦσιν ἢ σώζειν
οἰόμενοι δεῖν· ἢ αὔξειν τὴν τοῦ νομίσματος οὐσίαν εἰς ἄπει-
ρον· αἴτιον δὲ ταύτης τῆς διαθέσεως, τὸ σπουδάζειν περὶ τὸ ζῆν·
ἀλλὰ μὴ τὸ εὖ ζῆν, εἰς ἄπειρον οὖν ἐκείνης τῆς ἐπιθυμίας
οὔσης, καὶ τῶν ποιητικῶν ἀπείρων ἐπιθυμοῦσιν· ὅσοι δὲ καὶ
τοῦ εὖ ζῆν ἐπιβάλλονται, τὸ πρὸς τὰς ἀπολαύσεις τὰς σωμα-
τικὰς ζητοῦσιν· ὥστ' ἐπεὶ καὶ τοῦτ' ἐν τῇ κτήσει φαίνεται ὑ-
πάρχειν, πᾶσα ἡ διατριβὴ περὶ τὸν χρηματισμόν ἐστι· καὶ τὸ
ἕτερον εἶδος τῆς χρηματιστικῆς διὰ τοῦτ' ἐλήλυθεν· ἐν ὑπερ-
βολῇ γὰρ οὔσης τῆς ἀπολαύσεως, τὴν τῆς ἀπολαυστικῆς ὑ-
περβολῆς ποιητικὴν ζητοῦσι· κἂν μὴ διὰ τῆς χρηματιστικῆς
δύνωνται πορίζειν, δι' ἄλλης αἰτίας τοῦτο πειρῶνται, ἑ-
κάστῃ χρώμενοι τῶν δυνάμεων οὐ κατὰ φύσιν· ἀνδρίας γὰρ
οὐ χρήματα ποιεῖν ἐστιν, ἀλλὰ θάρσος· οὐ δὲ στρατηγικῆς· καὶ ἰα-
τρικῆς, ἀλλὰ τῆς μὲν, νίκην· τῆς δ' ὑγίειαν· οἱ δὲ, πάσας ποιοῦσι
χρηματιστικὰς, ὡς τοῦτο τέλος ὄν· πρὸς δὲ τὸ τέλος ἅπαντα δέον
ἁπαντᾶν· περὶ μὲν οὖν τῆς τε μὴ ἀναγκαίας χρηματιστικῆς, καὶ
τίς, καὶ δι' αἰτίαν τίνα ἐν χρείᾳ ἐσμὲν αὐτῆς, εἴρηται· καὶ περὶ
τῆς ἀναγκαίας ὅτι ἑτέρα μὲν αὐτῆς· οἰκονομικὴ δὲ κατὰ
φύσιν· ἡ περὶ τὴν τροφήν· οὐχ ὥσπερ αὐτὴ ἄπειρος, ἀλλὰ
ἔχουσαν ὅρον· δῆλον δὲ καὶ τὸ ἀπορούμενον ἐξ ἀρχῆς· πότε-
ρον τοῦ οἰκονομικοῦ ἐπιτελεῖ τοῦ χρηματιστικὴ, ἢ οὔ· ἀλλὰ δεῖ
τοῦτο μὲν ὑπάρχειν, ὥσπερ γὰρ καὶ ἀνθρώπους οὐ τρεῖ ἡ πολιτική·
ἀλλὰ λαβοῦσα παρὰ τῆς φύσεως χρῆται αὐτοῖς, οὕτω καὶ τρο-
φὴν τὴν φύσιν δεῖ παραδοῦναι γῆν ἢ θάλατταν· ἢ ἄλλο τι· ἐκ
δὲ τούτων ὡς δεῖ ταῦτα διαθεῖναι προσήκει τὸν οἰκονόμον· οὐ γὰρ
τῆς ὑφαντικῆς ἔρια τριῆσαι· ἀλλὰ χρήσασθαι αὐτοῖς· ἐπιγνῶναι

δὲ, τὸ ποῖον χρηστὸν καὶ ἐπιτήδειον, ἢ φαῦλον, καὶ ἀνεπιτήδειον.
καὶ γὰρ ἀπορήσειεν ἄν τις. διὰ τί ἡ μὲν χρηματιστικὴ μόριον τῆς
οἰκονομίας. ἡ δ' ἰατρικὴ, οὐ μόριον. καίτοι δεῖ ὑγιαίνειν τοὺς κατὰ
τὴν οἰκίαν, ὥσπερ ζῆν. ἢ ἄλλο τι τῶν ἀναγκαίων. ἐπεὶ δ' ἔστι μὲν
ὡς τοῦ οἰκονόμου καὶ τοῦ ἄρχοντος καὶ περὶ ὑγείας ἰδεῖν, ἔστι
δ' ὡς οὔ. ἀλλὰ τοῦ ἰατροῦ, οὕτω καὶ περὶ τῶν χρημάτων, ἔστι
μὲν ὡς τοῦ οἰκονόμου. ἔστι δ' ὡς οὔ, ἀλλὰ τῆς ὑπηρετικῆς. μά-
λιστα δὲ καθάπερ εἴρηται πρότερον δεῖ φύσει τοῦτο ὑπάρ-
χειν. φύσεως γὰρ ἔστιν ἔργον, τροφὴν τῷ γεννηθέντι παρέχειν.
παντὶ γὰρ ἐξοῦ γίνεται τροφὴ τὸ λειπόμενον ἐστί. διὸ κατὰ
φύσιν καὶ ἡ χρηματιστικὴ πᾶσιν, ἀπὸ τῶν καρπῶν, καὶ τῶν ζώων. διπλῆς
δ' οὔσης αὐτῆς ὥσπερ εἴπομεν. καὶ τῆς μὲν καπηλικῆς, τῆς δ' οἰ-
κονομικῆς, καὶ ταύτης μὲν ἀναγκαίας καὶ ἐπαινουμένης. τῆς δὲ
μεταβλητικῆς ψεγομένης δικαίως. οὐ γὰρ κατὰ φύσιν, ἀλλ' ἀπ' ἀλ-
λήλων καὶ, εὐλογώτατα μισεῖται ἡ ὀβολοστατικὴ διὰ τὸ ἀπαὐτοῦ
τοῦ νομίσματος εἶναι τὴν κτῆσιν. καὶ οὐκ ἐφ' ὅπερ ἐπορίσθη.
μεταβολῆς γὰρ ἐγένετο χάριν. ὁ δὲ τόκος αὐτὸ τοιεῖ πλέον. ὅθεν καὶ
τοὔνομα τοῦτ' εἴληφεν. ὅμοια γὰρ τὰ τικτόμενα τοῖς γεννῶσιν
αὐτά ἐστιν. ὁ δὲ τόκος, γίνεται νόμισμα νομίσματος. ὥστε καὶ μάλιστα
παρὰ φύσιν οὗτος τῶν χρηματισμῶν ἐστιν. ἐπεὶ δὲ τὰ πρὸς τὴν
γνῶσιν διωρίκαμεν ἱκανῶς, τὰ πρὸς τὴν χρῆσιν δεῖ διελθεῖν.
πάντα δὲ τὰ τοιαῦτα, τὴν μὲν θεωρίαν ἐλεύθερον ἔχει. τὴν
δ' ἐμπειρίαν, ἀναγκαίαν. ἔστι δὲ χρηματιστικῆς μέρη χρήσιμα,
τὸ περὶ τὰ κτήματα ἔμπειρον εἶναι. ποῖ ἄλυσι τελέστατα.
καὶ ποῦ. καὶ πῶς. οἷον, ἵππων κτῆσις. ποῖάτις. ἢ βοῶν. ἢ προ-
βάτων. ὁμοίως δὲ καὶ τῶν λοιπῶν ζώων. δεῖ γὰρ ἔμπειρον εἶναι.
πρὸς ἀλληλάτε τοῦτ' τίνα λυσιτελέστατα, καὶ ποῖα ἐν ποίοις τόποις.
ἄλλα γὰρ ἐν ἄλλαις εὐθηνεῖ χώραις, ἢ περὶ γεωργίας. καὶ ταύτης
ἡ δηψιλῆς τε καὶ πεφυτευμένης. καὶ μελιττουργίας, καὶ τῶν ἄλλων
ζώων τῶν πλωτῶν. ἢ πτηνῶν, ἀφ' ὅσων ἔστι τυγχάν βοηθείας. τῆς μὲν οὖν

οἰκειο-

οἱ κεῖ ὁ τάτης χρηματιστικῆς, ταῦτα μόρια καὶ πρῶτα. τῆς δὲ
μεταβλητικῆς, μέγιστον μὲν ἐμπορία· καὶ ταύτης μέρη τρία·
ναυκληρία· φορτηγία· παράστασις· διαφέρει δὲ τούτων ἕ-
τερα ἑτέρων· τῷ τὰ μὲν, ἀσφαλέστερα εἶναι· τὰ δὲ, πλείω πο-
ρίζειν τὴν ἐπικαρπίαν· δεύτερον δὲ, τοκισμός· τρίτον δὲ μι-
σθαρνία· ταύτης δ' ἡ μὲν, τῶν βαναύσων τεχνῶν· ἡ δὲ, τῶν ἀτέ-
χνων καὶ τῷ σώματι μόνῳ χρησίμων· τρίτον δὲ εἶδος χρηματι-
στικῆς μεταξὺ ταύτης καὶ τῆς πρώτης· ἔχει γὰρ καὶ τῆς κατὰ
φύσιν τὶ μέρος· καὶ τῆς μεταβλητικῆς, ὅσα ἀπὸ γῆς καὶ τῶν
ἀπὸ γῆς γινομένων, ἀκάρπων μὲν· χρησίμων δὲ· οἷον, ὑλο-
τομία τε, καὶ πᾶσα μεταλλευτική· αὕτη δὲ, πολλὰ ἤδη περι-
είληφε γένη· πολλὰ γὰρ εἴδη τῶν ἐκ γῆς μεταλλευομένων ἐστὶ·
περὶ ἑκάστου δὲ τούτων, καθόλου μὲν εἴρηται καὶ νῦν· τὸ δὲ κατὰ
μέρος ἀκριβολογεῖσθαι, χρήσιμον μὲν πρὸς τὰς ἐργασίας·
φορτικὸν δὲ τὸ ἐνδιατρίβειν· εἰσὶ δὲ τεχνικώταται μὲν τῶν
ἐργασιῶν, ὅπου ἐλάχιστον τύχης· βαναυσόταται δὲ ἐν αἷς
τὰ σώματα λωβῶνται μάλιστα· δουλικώταται δὲ, ὅπου
τοῖς σώματος πλεῖσται χρήσεις· ἀγενέσταται δὲ, ὅπου ἐλάχιστος
προσδεῖ ἀρετῆς· ἐπεὶ δ' ἐστὶν ἐνίοις γεγραμμένα περὶ τού-
των· οἷον Χάρητι δὲ τῷ παρίῳ, καὶ Ἀπολλοδώρῳ τῷ λιμνίῳ
περὶ γεωργίας· καὶ ψιλῆς καὶ πεφυτευμένης· ὁμοίως δὲ
καὶ ἄλλοις περὶ ἄλλων· ταῦτα μὲν ἐκ τούτων θεωρείτω ὅτῳ
ἐπιμελές· ἔτι δὲ καὶ τὰ λεγόμενα πορράδην· δι' ὧν ἐπιτετυ-
χήκασιν ἔνιοι χρηματιζόμενοι, δεῖ συλλέγειν· πάντα γὰρ ὠ-
φέλιμα ταῦτ' ἐστὶ τοῖς τιμῶσι τὴν χρηματιστικήν· οἷον καὶ
τὸ θάλεω τοῦ μιλησίου· τοῦτο γὰρ ἐστὶ κατανόημά τι χρηματι-
στικόν· ἀλλ' ἐκείνῳ μὲν διὰ τὴν σοφίαν προσάπτουσι· τύγχάνει
δὲ καθόλου τὶ ὄν· ὀνειδιζόντων γὰρ αὐτῷ διὰ τὴν πενίαν ὡς ἀνω-
φελοῦς τῆς φιλοσοφίας οὔσης, κατανοήσαντά φασιν αὐτὸν ἐλαι-
ῶν φορὰν ἐσομένην ἐκ τῆς ἀστρολογίας, ἔτι χειμῶνος ὄντος, ὑπορή-

σαντα χημάτων ὀλίγων· ἀρραβῶνας δεδοῦναι τὸ ἐλαιουργείων· τῶν τε γὰρ λητῶ καὶ χίῳ πάντων· ὀλίγου μισθωσάμενον· ἐπεὶ δὲ οὐθενὸς ἐπιβάλλοντος· ἐπεὶ δὲ καιρὸς ἦκε· πολλῶν ζητουμένων ἅμα καὶ ἐξαίφνης ἐκμισθοῦνται· ὃν τρόπον ἠβούλετο πολλὰ χήματα συλλέξαντος· ὡς δεῖξαι ὅτι ἔστιν ὅτε πλουτεῖν τοῖς φιλοσόφοις οὐ βούλονται· ἀλλ' οὐ τοῦτ' ἐστὶ· περὶ ὃ σπουδάζουσι· Θαλῆς μὲν οὖν λέγεται· τοῦτον μὲν τρόπον ἐπίδειξιν ποιήσασθαι σοφίας· ἔστι δ' ὥσπερ εἰπομεν καθόλου τὸ περὶ χρηματιστικόν· ἐπὶ τῆς δουλείας μονοπωλίαν αὐτῷ κατασκευάζειν· διὸ καὶ τῶν πόλεων ἔνιαι· τοῦτον ποιοῦνται τὸν πόρον· ὅταν ἀπορῶσι χρημάτων· μονοπωλίαν γὰρ τῶν ὠνίων ποιοῦσιν· ἐνίοις δὲ τις τῶν ἑταίρων παρ' αὐτῷ μομίσμα ρς· (ὥσπερ ἱαρπάντ τὸ σίδηρ)· ἐκ τοῦ σιδηρεῖ· μετὰ ταῦτα ὡσαύτως εἰκὸς τοὺς ἐμπορευομένους ἐμπόρους· ἐπωλοῦμεν· ὅτι πολλὰ πριήσασθε ὑπερβολὴ τιμῆς· ἀλλ' ὅμως ἐπὶ τοῖς πεντήκοντα ταλάντοις· ἐπέλαβεν ἑκατόν· τοῦτον μὲν οὖν ὁ Διονύσιος ἀθόμβους· τὰ μὲν χήματα ἐκέλευσεν ἐκκομίσασθαι· μὴ μέντοι γε ἔτι μένειν ἐν Συρακούσαις· ὡς πόρους ἐξευρίσκοντας· τοῖς αὐτοῦ πράγμασιν ἀσυμφόρους· τὸ μέντοι ὅραμα θαλῆς· καὶ τοῦτο ταυτόν ἐστιν· ἀμφότεροι γὰρ ἑαυτοῖς ἐτέχνασαν μονοπωλίαν· χρήσιμον δὲ νομίζειν ταῦτα καὶ τοῖς πολιτικοῖς· πολλαῖς γὰρ πόλεσι δεῖ χρηματισμοῦ· καὶ τοιούτων πόρων· ὡσπερ οἰκίαν· μᾶλλον δέ· ὅσων τινὲς καὶ λειτουργοῦνται τῶν πολιτευομένων ταῦτα μόνον· ἐπεὶ δὲ τρία φροίκονομικῆς ἐστιν· ἢ μὲν δεσποτικὴ περὶ ἧς εἰρηται πρότερος· ἡ δὲ πατρική· τρίτον δὲ γαμική· καὶ γὰρ γυναικὸς ἄρχειν ἐλεύθερον μὲν ἀμφοῖν· οὐχὶ αὐτὸν ἕνεκα ἀρχῆς· ἀλλὰ γυναικὸς μὲν πολιτικῶς· τέκνων δὲ βασιλικῶς· τὸ γὰρ ἄρρεν φύσει τοῦ θήλεος ἡγεμονικώτερον· εἰ μή που συνίστηκεν παρὰ φύσιν· καὶ τὸ πρεσβύτερον καὶ τέλειον

τοῦ

τὸ μεσοτέρως ἀπὸ τῶν ἄκρων, ὡμὲν ὂν ταῖς πολιτικαῖς ἀρχαῖς τὸ πλέον μεταβάλλει τὸ ἄρχον καὶ ἀπὸ ἀρχομένου ἐξίσου καὶ εἶναι βέλτιον τὴν φύσιν καὶ διαφορὰν μηδεμίαν, ὅμως ἔστι τὸ μὲν ἀρχὴ τὸ δ' ἀρχή. ζητεῖται διαφορὰ εἶναι ἐν χρήμασι καὶ λόγοις ἢ τιμῇ· ὥσπερ ἐν ἁπασι εἴπερ τι περὶ τὸν πολιτικὸν ἐπιστήμη λόγον· τὸ δ' ἄρρεν ἀεὶ πρὸς τὸ θῆλυ τοῦτον ἔχει τὸν τρόπον. καὶ τὸ τέκνου ἀρχή, βασιλικὴ· τὸ δὲ γεννήσαν ἐν πολιτείαν ἀρχὴν, καὶ πατρικὴ προσβεβλημένον· ὅπερ ἐστὶ βασιλικῆς εἶδος ἀρχῆς. διὸ καλῶς ὁ Ὅμηρος τὸν δι' ἀπροσηγορίαν εἰρῶν· πατὴρ ἀνδρῶν τε θεῶν τε τὸν βασιλέα τῶν ἁπάντων. φύσει δὲ τὸν βασιλέα διαφορὰν μὲν δεῖ τῷ γένει δ' εἶναι τὸν αὐτὸν, ὅπερ πέπονθε τὸ πρεσβύτερον πρὸς τὸ νεώτερον καὶ ὁ γεννήσας πρὸς τὸ τέκνον. φανερὸν οὖν ὅτι βελτίων κατοῦδὲ τὴν οἰκονομίαν βελτίστη αὐτὸς, ἢ περὶ τὸν τῶν ἀψύχων κτῆσιν. καὶ περὶ τὴν ἀρετὴν τούτων· ἢ περὶ τὴν κτῆσιν, οἷον καλοῦμεν πλοῦτον καὶ τῶν ἐλευθέρων μᾶλλον, ἢ δούλων. πρῶτον μὲν οὖν περὶ δούλων ἀπορήσειεν ἄν τις· πότερον ἐστὶν ἀρετή τις δούλου παρὰ τὰς ὀργανικὰς καὶ διακονικὰς ἄλλη τις βελτίων τούτων· οἷον, σωφροσύνη καὶ ἀνδρία καὶ δικαιοσύνη καὶ τὴν ἄλλων τῶν τοιούτων ἕξεων, ἢ οὐκ ἔστιν ἀλλὰ μία παρὰ τὰς σωματικὰς ὑπηρεσίας· ἔχει γὰρ ἀπορίαν ἀμφοτέρως· εἴτε γὰρ ἔστι, τί ἂν οἴσουσι τὰ ἐλευθέρων· εἴτε μὴ, ὄντων αὐτῶν καὶ λόγου κοινωνούντων ἄρτιον· σχεδὸν δὲ καὶ περὶ τούτου ἔστι τὸ ζητούμενον καὶ περὶ γυναικὸς καὶ παιδὸς πότερα καὶ τούτων εἰσὶν ἀρεταί, καὶ δεῖ τὴν γυναῖκα εἶναι σώφρονα καὶ ἀνδρείαν καὶ δικαίαν· καὶ παῖς ἔστὶ καὶ ἀκόλαστος καὶ σώφρων, ἢ οὔ· καὶ καθόλου δὴ, τοῦτ' ἔστιν ἐπισκεπτέον, περὶ ἄρχοντος φύσει καὶ ἄρχοντος· πότερον ἡ αὐτὴ ἀρετὴ ἢ ἑτέρα. εἰ μὲν γὰρ δεῖ ἀμφοτέρους μετέχειν καλοκἀγαθίας, διὰ τί τὸν μὲν, ἄρχειν δέοι ἄν· τὸν δὲ ἄρχεσθαι καθάπαξ· οὐδὲ γὰρ τὸν μᾶλλον καὶ ἧττον, οἷόν τι διαφέρειν· τὸ μὲν γὰρ ἄρχεσθαι ἢ ἄρχειν, εἶδει διαφορά· τὸ δὲ μᾶλλον καὶ ἧττον, οὐδὲν εἶναι δοκεῖ τὸν μὲν δεῖ· τὸν δὲ μὴ, θαυμαστόν· εἴτε γὰρ ὁ ἄρχων μὴ ἔσται σώφρων μηδὲ δίκαιος,

πῶς ἀρξῃ καλῶς· εἰθ' ὁ ἀρχόμενος· πῶς ἀρχθήσεται καλῶς· ἀ-
κόλαστος γὰρ ὢν πᾶς δοῦλος, ὅδεν ποιήσει τῶ προσηκόντων· φα-
νερὸν τοίνυν ὅτι ἀνάγκη μὲν μετέχειν ἀμφοτέρους ἀρετῆς· τού-
τους δεῖναι διαφοράς· ὥσπερ καὶ τῶν φύσει ἀρχόμενων· καὶ
τοῦ τὸ διάνοιαν ὑφήγηται τοιαύτην ἐν ταύτῃ γὰρ ὄντι φύσει·
τὸ μὲν ἄρχον, τὸ δὲ ἀρχόμενον· ὧν ἑτέραν φαμὲν εἶναι ἀρε-
τήν· οἷον, τοῦ λόγου ἔχοντος καὶ τοῦ ἀλόγου· δῆλον τοίνυν, ὅτι
τ' αὐτὸν τρόπον ἔχει καὶ ἐπὶ τῶν ἄλλων· ὥστε φύσει τὰ πλείω
ἄρχοντα καὶ ἀρχόμενα· ἄλλου γὰρ τρόπον τὸ ἐλεύθερον τοῦ δού-
λου ἄρχει· ἢ τὸ ἄρρεν τοῦ θήλεος, καὶ ἀνὴρ παιδὸς ἢ τελείως μὲν
ἔχει μᾶλλον, τὰ μέρη ἀφ' ἑνὸς· ἀλλ' οὐ πάντως διαφόρως· ὁ-
μοίως γὰρ δοῦλος ὅλως οὐκ ἔχει τὸ βουλευτικόν· τὸ δὲ θῆλυ, ἔχει
μέν, ἀλλ' ἄκυρον· ὁ δὲ παῖς, ἔχει μὲν ἀλλ' ἀτελές· ὁμοίως τοί-
νυν ἀναγκαῖον ἔχειν καὶ περὶ τὰς ἠθικὰς ἀρετάς· ὑπολαμβάνειν
δεῖν μέν, μετέχειν πάντας· ἀλλ' ὄντων αὐτῶν τρόπον, ἀλλ' ὅσον
ἑκάστῳ, πρὸς τὸ αὐτοῦ ἔργον· διὸ τὸν μὲν ἄρχοντα τελείαν ἔχειν
δεῖ τὴν ἠθικὴν ἀρετήν· τὸ γὰρ ἔργον ὅλον ἁπλῶς τοῦ ἀρχιτέ-
κτονος ἐστι· ὁ δὲ λόγος ἀρχιτέκτων· τὰ δ' ἄλλα ἕκαστον ὅσον ἐπιβάλ-
λει αὐτοῖς· ὥστε φανερὸν ὅτι δεῖ τινα ἠθικὴν ἀρετὴν τῶν εἰρημένων
πάντων· καὶ οὐχ ἁπλῶς σωφροσύνη γυναικὸς καὶ ἀνδρός· δόξειε γὰρ
ἂν ἀνδρεία καὶ δικαιοσύνη καθάπερ ᾤετο Σωκράτης· ἀλλ' ἡ μὲν, ἀρ-
χικὴ ἀνδρία· ἡ δὲ σωφροσύνη ἑρμηνευτική· ὁμοίως δ' ἔχει καὶ περὶ τὰς ἄλλας·
δῆλον δὲ τοῦτο κατὰ μέρος μᾶλλον ἐπισκοποῦσι· καθόλου
γὰρ οἱ λέγοντες ἐξαπατῶσιν ἑαυτούς· ὅτι τὸ δοῦ ἔχειν τὴν ψυχὴν
ἀρετή· ἢ τὸ ὀρθοπραγεῖν· ἢ τι τῶν τοιούτων· πολὺ γὰρ ἄμεινον
λέγουσιν οἱ ἀριθμοῦντες τὰς ἀρετὰς ὥσπερ Γοργίας· τοῦ δεῖ
ὁμοίως· διὸ δεῖ ὥσπερ ὁ ποιητὴς εἰρηκε περὶ γυναικὸς οὕτω νομί
ζειν ἔχειν περὶ αὐτῶν· γυναικὶ κόσμος ἡσυχὴ φορεῖν· ἀλλ' ἀνδρὶ οὐκέτι
πρέπει· ἐπεὶ δ' ὁ παῖς ἀτελής, δῆλον ὅτι οὐχ ἡ αὐτοῦ μὲν ἡ ἀρετή, ἀλ-
λὰ πρὸς τὸν τέλειον ἢ γὰρ ἡγεμονικὸν μᾶλλον.

ὁμοίως

ὁμοίως δὲ καὶ δοῦλος πρὸς δεσπότην ἐθισμὸς πρὸς τὰν ἀναγκαίαν χρήσιμον εἶναι τὸν δοῦλον· ὥστε δῆλον ὅτι καὶ ἀρετῆς δεῖται μικρᾶς καὶ τοσαύτης, ὅσως μήτε διὰ ἀκολασίαν, μήτε διὰ δειλίαν ἐλλείψῃ τῶν ἔργων. Ἀπορήσειε δ' ἄν τις ἰδὼν εἰρημένων· εἰ ἀληθὲς, ἆρα καὶ τοὺς τεχνίτας δεήσει ἔχειν ἀρετὴν· πολλάκις γὰρ διὰ ἀκολασίαν ἐλλείπουσι τῶν ἔργων. Ἢ δοκεῖ μηδὲν διαφέρειν τοῦτο λεῖσον· ὁ μὲν γὰρ δοῦλος κοινωνὸς ζωῆς· ὁ δὲ βάναυσος τεχνίτης, οὐ φύσει μᾶλλον τινὰ ἔχει δουλείαν. Εἰ δὲ μὴ δοῦλος τῶν φύσει· καὶ τοῦτο μόσος δ' ἀθεὶς, οὐ τῶν ἄλλων τεχνιτῶν. Φανερὸν τοίνυν ὅτι τῆς τοιαύτης ἀρετῆς αἴτιον εἶναι δεῖ τῷ δούλῳ τὸν δεσπότην· ἀλλ' οὐ τὴν δι' ἧς καλὴν ἔχει τῶν ἔργων δεσποτικήν· διὸ λέγουσιν οὐκ ἀλῶς, οἱ λόγους δοῦλος ἀποστεροῦντες, μὴ φάσκοντες ἐπιτάξειν μόνον· νουθετητέον μᾶλλον τοὺς δούλους ἢ τοὺς παῖδας· ἀλλ' ὡσπερὶ μὴ τούτων, διωρίσθω μὲν πρότερον φύσει· περὶ δ' ἀνδρὸς καὶ γυναικὸς καὶ τέκνων καὶ πατρὸς, τίνα περὶ ἕκαστον αὐτῶν ἀρετὴν, καὶ τῆς πρὸς σφᾶς αὐτοὺς ὁμιλίας, τί γὰρ καλῶς καὶ μὴ καλῶς ἔχει, καὶ πῶς δεῖ, τὸ μὲν ἐπιδιώκειν· τὸ δὲ κακῶς φεύγειν, ἀνάγκη περὶ τούτων πᾶσι τοῖς πολιτείας ἀναγκαῖον ἐπελθεῖν· ἐπεὶ δὲ οἰκία μὲν ἅπασα, μέρος πόλεως, ταῦτα δ' οἰκίας· τὸ δὲ μέρους πρὸς τὸ ὅλου δεῖ βλέπειν ἀρετὴ, ἀναγκαῖον πρὸς τὴν πολιτείαν βλέποντα, πᾶσι δοῦλοι καὶ τοῖς παισὶ καὶ τοῖς γυναιξὶ καὶ τοῖς γυναῖκας· εἰ μέν τι διαφέρει πρὸς τὴν πόλιν εἶναι τοῦτον δίκαιον, καὶ γυναῖκα καὶ παῖδα εἶναι τοῦτον δικαίους· καὶ τοῖς γυναῖκας τοῦτον δικαίους· ἀναγκαῖον ἢ διαφέρειν· αἱ μὲν γὰρ γυναῖκες, ἥμισυ μέρος τῶν ἐλευθέρων· ἐκ δὲ τῶν παίδων, οἱ κοινωνοὶ τίνον ταῖς πολιτείας· ὥστε περὶ μὲν τούτων διωρίσθω· περὶ δὲ τῶν λοιπῶν ἐν ἄλλοις λεκτέον ἀφέντας ὡς τέλος ἔχοντας τοῖς νῦν λόγους· ἄλλην ἀρχὴν ποιησάμενοι, λέγωμεν· καὶ πρῶτον ὧν ἐφόμεθα, περὶ τῶν ἀποφηναμένων περὶ τῆς πολιτείας τῆς ἀρίστης·

Τέλος τοῦ α'. μμμμ

ἈΡΙΣΤΟΤΈΛΟΥΣ ΠΟΛΙΤΙΚΩ̂Ν ΤῸΒ΄.



Ἐπεὶ δὲ προαιρούμεθα θεωρῆσαι περὶ τῆς κοινωνίας τῆς πολιτικῆς, ἣ κρατίστη πασῶν τοῖς δυναμένοις ζῆν ὁτιμάλιστα κατ' εὐχὴν, δεῖ καὶ τὰς ἄλλας ἐπισκέψασθαι πολιτείας· αἷς τε χρῶνταί τινες τῶν πόλεων τῶν εὐνομεῖσθαι λεγομένων· κἂν εἴτινες ἕτεραι τυγχάνωσιν ὑπότινων εἰρημέναι· καὶ δοκοῦσαι καλῶς ἔχειν· ἵνα γὰρ, ὀρθῶς ἔχον ὀφθῇ καὶ τὸ χρήσιμον· ἔτι δὲ τὸ ζητεῖν τι περὶ αὐτὰς ἕτερον, μὴ δοκῇ πάντως εἶναι σοφίζεσθαι βουλομένων· ἀλλὰ διὰ τὸ μὴ καλῶς ἔχειν ταύτας τὰς νῦν ὑπαρχούσας, διὰ τοῦτο ταύτῃ δοκῶμεν ἐπὶ βαλέσθαι τὴν μέθοδον· ἀρχὴν δὲ πρῶτον ποιητέον, ἥπερ πέφυκεν ἀρχὴ ταύτης τῆς σκέψεως· ἀνάγκη δὴ τοι πάντας πάντων κοινωνεῖν τῆς πολίτας, ἢ μηδενὸς ἢ τινῶν μὲν τινῶν δὲ μὴ· τὸ μὲν οὖν μηδενὸς κοινωνεῖν, φανερὸν ὡς ἀδύναγον· ἡ γὰρ πολιτεία, κοινωνία τίς ἐστι· καὶ πρῶτον ἀνάγκη τοῦ τόπου κοινωνεῖν· ὁ μὲν γὰρ τόπος, ἰσότης μιᾶς πόλεως· οἱ δὲ πολῖται, κοινωνοὶ τῆς μιᾶς πόλεως· ἀλλὰ πότερον ὅσων ἐνδέχεται κοινωνῆσαι, πάντων βέλτιον κοινωνεῖν τῆς μέλλουσαν οἰκήσεσθαι πόλιν καλῶς· ἢ τινῶν μὲν τινῶν δ' οὐ βέλτιον· ἐνδέχεται γὰρ καὶ τέκνων καὶ γυναικῶν· καὶ κτημάτων

κοινωνεῖν

κοινωνεῖν τοὺς πολίτας ἀλλήλοις· ὥσπερ ἐν τῇ πολιτείᾳ τοῦ
πλάτωνος· ἐκεῖ γὰρ ὁ σωκράτης φησὶ δεῖν κοινὰ τὰ τέκνα
καὶ τὰς γυναῖκας εἶναι καὶ τὰς κτήσεις· τοῦτο δὴ πότερον
ὡς νῦν οὕτω βέλτιον ἔχειν, ἢ κατὰ τὸν ἐν τῇ πολιτείᾳ γεγραμ-
μένον νόμον· ἔχει δὴ δυσχερείας ἄλλας τὲ πολλὰς τὸ πάν-
των εἶναι τὰς γυναῖκας κοινὰς· καὶ δι' ἣν αἰτίαν φησὶ δεῖν νενομο-
θετῆσθαι τὸν τρόπον τοῦτον ὁ σωκράτης, οὐ φαίνεται συμ-
βαῖνον ἐκ τῶν λόγων· ἔτι δὲ πρὸς τὸ τέλος ὅφησι τῇ πόλει δεῖν
ὑπάρχειν, ὡς μὲν εἴρηται νῦν, ἀδύνατον· πῶς δὲ δεῖ διελεῖν,
οὐδὲν διώρισται· λέγω δὲ τὸ μίαν εἶναι τὴν πόλιν πᾶσαν, ὡς ἄρι-
στον ὅτι μάλιστα· λαμβάνει γὰρ ταύτην ὑπόθεσιν ὁ σωκράτης·
καίτοι φανερόν ἐστιν ὡς προϊοῦσα καὶ γινομένη μία μᾶλλον,
οὐδὲ πόλις ἔσται· πλῆθος γάρ τι τὴν φύσιν ἐστὶν ἡ πόλις· γινο-
μένη τὲ μία μᾶλλον οἰκία μὲν ἐκ πόλεως· ἄνθρωπος δὲ ἐξ οἰκί-
ας ἔσται, μᾶλλον γὰρ μίαν τὴν οἰκίαν τῆς πόλεως φαίη μὲν ἄν·
καὶ τὸν ἕνα τῆς οἰκίας· ὥστε εἴ καὶ δυνατός τις εἴη τοῦτο δρᾶν,
οὐ ποιητέον· ἀναιρήσει γὰρ τὴν πόλιν· οὐ μόνον δ' ἐκ πλειόνων ἀν-
θρώπων ἐστὶν ἡ πόλις, ἀλλὰ καὶ ἐξ εἴδει διαφερόντων· οὐ γὰρ
γίνεται πόλις ἐξ ὁμοίων· ἕτερον γὰρ συμμαχία καὶ πόλις· τὸ
μὲν γὰρ τῷ ποσῷ χρήσιμον· κἂν ᾖ τὸ αὐτὸ τῷ εἴδει· βοηθείας
γὰρ χάριν ἡ συμμαχία πέφυκεν· ὥσπερ ἂν εἰ σταθμὸς πλεῖον
ἑλκύσῃ· διοίσει δὲ τῷ τοιούτῳ καὶ πόλις ἔθνους· ὅταν μὴ κατὰ
κώμας ὦσι κεχωρισμένοι τὸ πλῆθος· ἀλλ' οἷον ἀρκάδες· ἐξ ὧν
δὲ δεῖ ἓν γενέσθαι, εἴδει διαφέρει· διόπερ τὸ ἴσον τὸ ἀντιπεπον-
θὸς σώζει τὰς πόλεις· ὥσπερ ἐν τοῦ ἠθικοῦ εἴρηται πρότερον· ἐπεὶ καὶ ἐν
τοῖς ἐλευθέροις καὶ ἴσοις, ἀνάγκη τοῦτ' εἶναι· ἅμα γὰρ οὐχ οἷόν τε πάντας
ἄρχειν· ἀλλ' ἢ κατ' ἐνιαυτὸν, ἢ κατά τινα ἄλλ' τάξιν ἢ χρόνον· καὶ συμ-
βαίνει δὴ τὸν τρόπον τοῦτον, ὥστε πάντ' ἄρχ'· ὥσπερ ἂν εἰ μετέβαλλον
οἱ σκυτεῖς καὶ οἱ τέκτονες, καὶ μὴ οἱ αὐτοὶ ἀεὶ σκυτρόμοι καὶ τέκτονες
ἦσαν· ἐπεὶ τοῦ βέλτιον οὕτως ἔχειν καὶ τὰ περὶ τὴν κοινωνίαν τὴν πολιτικὴν,

δῆλον ὡς τοὺς αὐτοὺς ἀεὶ βέλτιον ἄρχειν εἰδυνατόν· ἐνοῖς δὲ μὴ δυνατὸν διὰ τὸ τὴν φύσιν ἴσους εἶναι πάντας· ἅμα δὲ καὶ δίκαιον, εἴτε παθὸν εἴτε φαῦλον τὸ ἄρχειν, πάντας αὐτοῦ μετέχειν· ἐν ἑνὶ δὲ μιμεῖσθαι τὸ ἐν μέρει τοὺς ἴσους εἶκειν ὁμοίους τοῖς ἐξ ἀρχῆς· οἱ μὲν γὰρ, ἄρχουσιν· οἱ δ' ἄρχουσι κατὰ μέρος· ὥς περ οὖν ἄλλοι γε ὀμνύουσι τὸ αὐτὸν δὴ τρόπον ἀρχόντων ἕτεροι ἑτέρας ἄρχουσιν ἀρχάς· φανερὸν τοίνυν ἐκ τούτων, ὡς οὔτε τῶν φύσει μία οὕτως εἶναι τὴν πόλιν ὡς περ λέγουσί τινες· καὶ τὸ λεχθὲν ὡς μέγιστον ἀγαθὸν ἐν ταῖς πόλεσιν, ὅτι τὰς πόλεις ἀναιρεῖ· καίτοι γε ἑκάστου ἀπολλυμένου σῴζεί ἕκαστον· ὅτι δὲ καὶ κατ' ἄλλον τρόπον φανερὸν, ὅτι τὸ λίαν ἑνοῦν ζητεῖν τὴν πόλιν, οὐκ ὄντα ἄμεινον· οἰκία μὲν γὰρ αὐταρκέστερον ἐνός· πόλις δ' οἰκίας· καὶ βούλεται γ' ἤδη γίνεσθαι πόλις, ὅταν αὐτάρκησις συμβαίνῃ τῇ κοινωνίᾳ ἧν αἱρούμεθα πλήθους· εἰ περ οὖν αἱρετώτερον τὸ αὐταρκέστερον τοῦ ἧττον ἐν, δῆλον ἔτι μᾶλλον αἱρετώτερον· ἀλλὰ μὴν οὐδ' εἰρῦφάλεισόν ὅτι τὸ μίαν ὅτι μάλιστα εἶναι τὴν κοινωνίαν· οὐδὲ τοῦτο ποδείκνυσθαι φαίνεται κατὰ τὸν λόγον, ἐὰν πάντες ἅμα λέγωσι τὸ ἐμὸν καὶ μὴ ἐμόν· τοῦτο γὰρ οἶδε Σωκράτης σημεῖον εἶναι, τοῦ τὴν πόλιν τελέως εἶναι μίαν· τὸ γὰρ πάντες, δύο πού· εἰ μὲν οὖν ὡς ἕκαστος τάχ' ἂν εἴη μᾶλλον, ὃ βούλεται ποιεῖν Σωκράτης· ἕκαστος γὰρ ἴδιον ἂν ἑαυτοῦ φήσειεν υἱὸν ἂν καὶ γυναῖκα δὴ τὴν αὐτὴν· καὶ περὶ τῆς οὐσίας· καὶ ὡσαύτως ἕκαστον δὴ τῶν συμβαινόντων· νῦν δ' οὐχοὕτως φήσουσιν οἱ κοινοποιοῦντες γυναῖκας καὶ παῖδας τοῖς τέκνοις· ἀλλὰ πάντες μὲν· οὐχ ὡς ἕκαστος δ' αὐτῶν· ὁμοίως δὲ καὶ τὴν οὐσίαν πάντες μὲν· οὐχ ὡς ἕκαστος δ' αὐτῆς· ὅτι μὲν οὖν παραλογισμός τίς ἐστι τὸ λέγειν πάντας, φανερόν· τὸ δὲ πάντες ἢ ἀμφοτέρως, καὶ περιττὰ καὶ ἄρτια δυνατὸν ἔστιν, ἐνίοις λογισμοῖς εἰσκρούσασθαι παραλογισμούς· διὸ δῆλον ἐστὶ τὸ πάντας.

τὸ αὐτὸ

τὸ αὐτὸ λέγειν· ὡδὶ μὲν, καλὸν· ἀλλ' οὐδὲν ὁμονοητικὸν· πρὸς δὲ τούτοις, ἕτερον ἔχει βλάβην τὸ λεγόμενον· ἴσα γὰρ ἐπιμελείας τυγχάνει τὸ πλείστων κοινόν· τῶν γὰρ ἰδίων μάλιστα φροντίζουσι, τῶν δὲ κοινῶν ἧττον· ἢ ὅσον ἑκάστῳ ὧν βάλλει· πρὸς γὰρ τοῖς ἄλλοις ὡς ἑτέρου φροντίζοντος, ὀλιγωροῦσι μᾶλλον, ὥσπερ ἐν ταῖς διακονίαις, οἱ πολλοὶ θεράποντες χεῖρον ὑπηρετοῦσι τῶν ἐλαττόνων. εἶναι τε δὲ ἑκάστῳ χιλίους τῶν πολιτῶν φησὶ· καὶ οὗτοι, οὐχ ὡς ἑκάστου, ἀλλὰ τοῦ τυχόντος ὁμοίως ἔσται φησὶν ὁ δὲ ὡς τοιούτους ἑκάστους ἐμοὶ λέγειν ἐστὶν οὐ πρᾶττον τὰ τῶν πολιτῶν· ἢ κακῶς ὁπόσους τυγχάνει τὸν ἀριθμόν· οἷον, ἐμοὶ τοῦδε εἶναι· τοῦτον μὲν τρόπον λέγων καθ' ἕκαστον τῶν χιλίων· ἢ ὅσων ἡ πόλις ἐστί· καὶ τοῦτο δυσχεραίνω· ἄδηλον γὰρ ᾧ συμβήσεται γενέσθαι τέκνον, καὶ σωθῆναι γενόμενον· καί τοι πότερον οὕτω κρεῖττον τὸ ἐμὸν λέγειν ἕκαστον τὸ αὐτὸ μὲν προσαγορεύοντας δισχιλίων καὶ μυρίων, ἢ μᾶλλον ὡς νῦν ἐν ταῖς πόλεσι τὸ ἐμὸν λέγουσιν· ὃν μὲν, ἢ υἱὸν αὐτῷ· ὃν δὲ ἀδελφὸν αὐτῷ προσαγορεύειν αὐτὸν· ὃν δ' ἀνεψιόν· ἢ κατ' ἄλλην τινὰ συγγένειαν· ἢ πρὸς αἷμα τοσόν· ἢ κατὰ τὴν οἰκειότητα τοῦ καὶ κηδεῖαν αὐτοῦ πρῶτον ἢ τῶν αὐτοῦ· πρὸς δὲ τούτοις, ἕτερον φράττοντα φυλέτην· κρεῖττον γὰρ ἴσως ἀνεψιὸν εἶναι· ἢ τὸν τρόπον τοῦτον υἱόν· οὐ μὴν ἀλλ' οὐδὲ διαφυγεῖν δυνατὸν τὸ μὴ τινὰς ὑπολαμβάνειν ἑαυτῶν ἀδελφούς τε καὶ παῖδας καὶ πατέρας καὶ μητέρας· κατὰ γὰρ τὰς ὁμοιότητας αἱ σύνοιαι τοῖς τέκνοις πρὸς τοὺς γεγονότας, ἀναγκαῖον λαμβάνειν περὶ ἀλλήλων τὰς φύσεις· ὅπερ φασί τινες συμβαίνειν τὰς τῆς γῆς περιόδους πραγματευομένους· εἶναι γάρ τισιν ἀπωλιβύων κοινὰς τοὺς γυναῖκας· τὰ μὲν γιγνόμενα τέκνα δυσαρεστεῖσθαι κατὰ τὰς ὁμοιότητας· εἰσὶ δέ τινες ἐγχωρίαις καὶ τῶν ἄλλων ζώων οἷον, ἵπποι καὶ βόες· αἰσθάνεται γὰρ ἑκάστη συνομοιάζουσα

τὰ τέκνα τοῖς γονεῦσιν· ὥσπερ ἡ γῆ φαρσάλῳ κληθεῖσα δικαίως· ἔτι δὲ καὶ τὰς τοιαύτας δυσχερείας οὐξάδιον βίᾳ λαβυθῶν αὐτοῖς ταύτην κατασκευάζουσι τὴν κοινωνίαν· οἷον αἰκίας καὶ φόνους ἀκουσίους· τοὺς δὲ ἑκουσίους· καὶ μάχας καὶ λοιδορίας· ὧν οὐδὲν ὅσιόν ἐστι γίνεσθαι πρὸς πατέρας· καὶ μητέρας· καὶ τοὺς μὴ πόρρω τῆς συγγενείας ὄντας· ὥσπερ πρὸς τοὺς ἄποθεν· ἀλλὰ καὶ πολεῖον συμβαίνει αὐτὰ γιγνόμενα· ἢ γνωριζόντων· καὶ ξενομιζόντων· τῶν μὲν γνωριζόντων ἐνδέχεται τοὺς νομιζομένας γίνεσθαι λύσεις· τῶν δὲ μηδεμίαν· ἄτοπον δὲ καὶ τὸ κοινοὺς ποιήσαντα τοὺς γάμους· τὸ σωθῆναι μόνον ἀφελεῖν τῶν ἐρώντων· τοὺς δ' ἔρωτας μὴ κωλῦσαι· μὴ δὲ τὰς χρήσεις τὰς ἄλλας ἃς πατρὶ πρὸς υἱὸν εἶναι πάντων ἐστὶν ἀπρεπέστατον· καὶ ἀδελφῷ πρὸς ἀδελφόν· ἐπεὶ καὶ τὸ ἔρωτας μόνον· ἄτοπον δὲ καὶ τὸ τὴν οὐσίαν ἀφελεῖν· διὰ ἄλλην δ' αἰτίαν μηδεμίαν· ἀνωφελίαν δὲ ἰσχυρὰς τὰς ἡδονὰς ποιούσης· ὅτι δ' ὁμοῦ πατὴρ ἢ υἱὸς· οἱ δὲ ἀδελφοὶ ἀλλήλων· μηθὲν οἰέσθαι διαφέρειν· ἔοικε δὲ μᾶλλον τοῖς γεωργοῦσιν εἶναι χρήσιμον τὸ κοινὰς εἶναι τὰς γυναῖκας καὶ τοὺς παῖδας· ἢ τοῖς φυλάττουσιν· ἦττον γὰρ ἔσται φιλία· κοινῶν ὄντων τῶν τέκνων ἢ τῶν γυναικῶν· δεῖ δὲ ἐριούργους εἶναι τοὺς ἀρχομένους πρὸς τὸ πιθαρχεῖν· καὶ μὴ νεωτερίζειν· ὅλως δὲ συμβαίνειν ἀναγκαίως τοῦτο διὰ τὸν τοιοῦτον νόμον· ὧν προσήκοντας ὀρθῶς κατὰ μὲν τὸν νόμον αἰτίους γίνεσθαι· κατὰ δὲ ἀναίτιαν ὅσον κράτησ' ἄν τις οἴεσθαι δεῖν τοιοῦτον τὸ περὶ τὰ τέκνα καὶ τὰς γυναῖκας· φιλίαν τε δοῖ μεγάλην μέσον εἶναι τῶν ἀγαθῶν ταῖς πόλεσιν· ὥστε καὶ σπουδαιάζοιμεν· καὶ τὸ μίαν εἶναι τὴν πόλιν ἐπαινετὸν μάλιστ' ὅσον κράτησ· οὐ δοκεῖ κατὰ κεῖνο εἶναι φησὶ τῆς φιλίας ἔργον· καθάπερ ἐν τοῖς ἐρωτικοῖς λόγοις ἐλέγομεν λέγοντα τὸν Ἀριστοφάνη, ὡς τῶν ἐρώντων διὰ τὸ σφόδρα φιλεῖν ἀλλήλων μόντων συμφῦναι· καὶ γενέσθαι ἐκ δύο ὄντων ἀμφοτέρους ἕνα· ἐνταῦθα μὲν οὖν ἀναγκαῖον ἀμφοτέρους ἐφθάρθαι·

ἢ τὸν

ἢ τὸν ἕνα· ἐν δὲ τῇ πόλει τὴν φιλίαν ἀναγκαῖον ὑδαρῆ γίνεσθαι
διὰ τὴν κοινωνίαν τὴν τοιαύτην· καὶ ἥκιστα λέγειν τὸν ἐμὸν
ἢ ἡδὺ πρᾶ· ἢ πρᾶ ἡδὺ· ὥσπερ γὰρ μικρὸν γλυκὺ εἰς πολὺ ὕ-
δωρ μιχθὲν ἀναίσθητον ποιεῖ τὴν κρᾶσιν, οὕτω συμβαίνει
καὶ τὴν οἰκειότητα τὴν πρὸς ἀλλήλους τὴν ἀπὸ τῶν ὀνομά-
των τούτων διαφροντίζειν· ἥκιστα ἀναγκαῖον ὂν, ἐν τῇ πολι
τείᾳ τῇ τοιαύτῃ· ἢ πατέρα ὡς ἡγῶν· ἢ ἡδὺ ὡς παῖδος· ἢ ὡς ἀδελ
φοὺς ἀλλήλων· δύο γὰρ ἔστιν ἁμάλιστα ποιεῖ κήδεσθαι τοὺς
ἀνοῦς καὶ φιλεῖν· τό τε ἴδιον καὶ τὸ ἀγαπητόν· ὧν οὐδέτερον
οἷόν τε ὑπάρχειν τοῖς οὕτω πολιτευομένοις· ἀλλὰ μὴν καὶ πε-
ρὶ τοῦ μεταφέρειν τὰ γινόμενα τέκνα· τὰ μὲν ἐκ τῶν γεωρ-
γῶν καὶ τεχνιτῶν, εἰς τοὺς φύλακας· τὰ ἐκ τούτων εἰς ἐκεί
νους, πολλὴν ἔχει ταραχὴν τίνα ἔσται τρόπον· καὶ γινώσκειν
ἀναγκαῖον τοὺς διδόντας καὶ μεταφέροντας τίσι τίνας δι
δόασιν· ἔτι δὲ καὶ τὰ πάλαι λεχθέντα μᾶλλον ἐπὶ τούτων ἀνα
γκαῖον συμβαίνειν· οἷον, αἰκίας· ἔρωτας· φόνους· οὐ γὰρ ἔτι
προσαγορεύουσιν ἀδελφοὺς, καὶ τέκνα· καὶ πατέρας· καὶ μητέρας
τοὺς φύλακας· οἵτε εἰς τοὺς ἄλλους πολίτας δοθέντες· καὶ
πάλιν οἱ παρὰ τοῖς φύλαξιν εἰς τοὺς ἄλλους πολίτας· ὥστε τὴν
λαβεῖσθαι τῶν τοιούτων τὶ πράττειν διὰ τὴν συγγένειαν· Περὶ μὲν οὖν τῆς
περὶ τὰ τέκνα καὶ τὰς γυναῖκας κοινωνίας, διωρίσθω τὸν τρόπον
τοῦτον· ἐχόμενον δὲ τούτων ἐστὶν ἐπισκέψασθαι περὶ τῆς κτήσεως, τί
να τρόπον δεῖ κατασκευάζεσθαι τοῖς μέλλουσι πολιτεύεσθαι τὴν ἀρί
στην πολιτείαν· πότερον κοινὴν, ἢ μὴ κοινὴν εἶναι τὴν κτῆσιν· τοῦτο
δ' ἄν τις καὶ χωρὶς σκέψαιτο ἀπὸ τῶν περὶ τὰ τέκνα καὶ τὰς γυναῖκας
νενομοθετημένων· λέγω δὲ τὰ περὶ τὴν κτῆσιν· πότερον κἂν
ᾖ ἐκεῖνα χωρὶς· καθ' ὃν νῦν τρόπον ἔχει πᾶσι· τὰς τε κτήσεις κοινὰς
εἶναι βέλτιον καὶ τὰς χρήσεις· οἷον, τὰ μὲν γήπεδα, χωρὶς· τοὺς δὲ
καρποὺς εἰς τὸ κοινὸν φέροντας ἀναλίσκειν, ὅπερ ἔνια ποιεῖ τῶν
ἐθνῶν· ἢ τοὐναντίον· τὴν μὲν γῆν, κοινὴν εἶναι καὶ γεωργεῖν κοινῇ·

τοὺς δὲ καρποὺς διαιρεῖσθαι πρὸς τὰς ἰδίας χρήσεις. λέγονται δέ τινες, καὶ τοῦτον τὸν τρόπον κοινωνεῖν τῶν βαρβάρων, ἢ καὶ τὰ σήπεδα καὶ τοὺς καρποὺς κοινούς. ἕτερον μὲν οὖν ὄντων τῶν γεωργούντων, ἄλλος ἂν εἰη τρόπος καὶ ῥᾴων. αὐτῶν δ' αὐτοῖς διαπονούντων, τὰ περὶ τὰς κτήσεις πλείους ἂν παρέχοι δισκολίας. καὶ γὰρ ἐν ταῖς ἀπολαύσεσι καὶ ἐν τοῖς ἔργοις μὴ γινομένων ἴσων, ἀναγκαῖον ἐγκλήματα γίνεσθαι πρὸς τοὺς ἀπολαύοντας πολλά, ὀλίγα δὲ πονοῦντας. τοῖς ἐλάττω μὲν λαμβάνουσι, πλείω δὲ πονοῦσιν. ὅλως δὲ τὸ συζῆν καὶ κοινωνεῖν, τῶν ἀνθρωπικῶν πάντων χαλεπόν. καὶ μάλιστα τῶν τοιούτων. δηλοῦσι δ' αἱ τῶν συναποδήμων κοινωνίαι. σχεδὸν γὰρ οἱ πλεῖστοι διαφερόμενοι, ἐκ τῶν ἐν ποσὶ τὰ ἐκμικρῶν προσκρούοντες ἀλλήλοις. ἔτι δὲ τῶν θεραπόντων τούτοις μάλιστα προσκρούομεν, οἷς πλεῖστα προσχρώμεθα πρὸς τὰς διακονίας τὰς ἐγκυκλίους. τὸ μὲν οὖν κοινὰς εἶναι τὰς κτήσεις, ταύτας τε καὶ ἄλλας τοιαύτας ἔχει δυσχερείας. ὃν δὲ νῦν τρόπον ἔχει, καὶ ἐπικοσμηθὲν ἤθεσι καὶ τὰ ξεινόμων ὀρθῶν, οὐμικρὸν ἂν διενέγκαι. ἕξει γὰρ τὸ ἐξ ἀμφοτέρων ἀγαθόν. λέγω δὲ τὸ ἐξ ἀμφοτέρων, τὸ ἐκ τοῦ κοινὰς εἶναι τὰς κτήσεις. καὶ τὸ ἐκ τοῦ ἰδίας. δεῖ γὰρ πῶς μὲν εἶναι κοινάς. ὅλως δ' ἰδίας. αἱ μὲν γὰρ ἐπιμέλειαι διῃρημέναι. τὰ ἐγκλήματα πρὸς ἀλλήλους οὐποιήσουσι. μᾶλλον δ' ἐπιδώσουσιν. ὡς πρὸς ἴδιον ἑκάστου προσεδρεύοντος. διὰ ἀρετὴν δ' ἔσται πρὸς τὸ χρῆσθαι κατὰ τὴν παροιμίαν κοινὰ τὰ φίλων. ἔστι δὲ καὶ νῦν τὸν τρόπον τοῦτον ἐνενίαις πόλεσιν οὕτως ὑπογεγραμμένον, ὡς οὐκ ὂν ἀδύνατον. καὶ μάλιστα ἐν ταῖς καλῶς οἰκουμέναις. τὰ μὲν ἐστὶ τὰ ἢ, γένοιτ' ἂν. ἰδίαν γὰρ ἕκαστος τὴν κτῆσιν ἔχων, τὰ μὲν, χρήσιμα ποιεῖ τοῖς φίλοις. τοῖς ἢ, χρῆται κοινοῖς. οἷον καὶ ἐν λακεδαίμονι. τοῖς τε δούλοις χρῶνται τοῖς ἀλλήλων ὡς εἰπεῖν ἰδίοις. ἔτι δ' ἵπποις καὶ κυσί. κἂν δεηθῶσιν ἐφοδίων ἐν τοῖς ἀγροῖς κατὰ τὴν χώραν.

Φανερὸν

φανερὸν τοίνυν ὅτι βέλτιον εἶναι μὲν ἰδίας τὰς κτήσεις· τῇ δὲ χρήσει ποιεῖν κοινὰς, ὅπως δὲ γίνωνται τοιοῦτοι, τοῦ νομοθέτου τοῦτ' ἔργον ἴδιόν ἐστιν· ἔτι δὲ καὶ πρὸς ἡδονὴν ἀμύθητον· ὅσον διαφέρει τὸ νομίζειν ἴδιόν τε· μὴ γὰρ οὐ μάτην τὴν πρὸς αὑτὸν αὐτὸς ἔχει φιλίαν ἕκαστος· ἀλλ' ἔστι τοῦτο φυσικόν· τὸ δὲ φίλαυτον εἶναι, ψέγεται δικαίως· οὐκ ἔστι δὲ τοῦτο τὸ φιλεῖν ἑαυτὸν· ἀλλὰ τὸ μᾶλλον, ἢ δεῖ φιλεῖν, καθάπερ τὸν φιλοχρήματον· ἐπεὶ φιλοῦσι γε πάντες ὡς εἰπεῖν ἕκαστος τῶν τοιούτων· ἀλλὰ μὴν καὶ τὸ χαρίσασθαι καὶ τὸ βοηθῆσαι φίλοις ἢ ξένοις ἢ ἑταίροις· ἥδιστον ὁ γίνεται τῆς κτήσεως ἰδίας οὔσης· ταῦτά τε δὴ οὐ συμβαίνει τοῖς λίαν ἓν ποιοῦσι τὴν πόλιν· καὶ πρὸς τούτοις ἀναιροῦσιν ἔργα δυοῖν ἀρεταῖν φανερῶς· σωφροσύνης μὲν, τὸ περὶ τὰς γυναῖκας· ἔργον γὰρ καλὸν ἀλλοτρίας οὔσης ἀπέχεσθαι διὰ σωφροσύνην· ἐλευθεριότητος δὲ, τὸ περὶ τὰς κτήσεις· οὔτε γὰρ ἔσται φανερὸς ἐλευθέριος ὢν, οὔτε πράξει πρᾶξιν ἐλευθέριον οὐδὲ μίαν· ἐν γὰρ τῇ χρήσει τῶν κτημάτων τὸ τῆς ἐλευθεριότητος ἔργον ἐστίν· ὡ πρόσωπος μὲν οὖν ἤτοι αὐτὴν νομοθεσία· καὶ φιλάνθρωπος ἂν εἶναι δόξειεν· ὁ γὰρ ἀκροώμενος ἅς μενος ἀποδέχετο νομίζων ἔσεσθαι φιλίαν τινὰ θαυμαστὴν πᾶσι πρὸς ἅπαντας· ἄλλως τε καὶ ὅ τ' ἀνακατηγορῆτις τῶν νῦν ὑπαρχόντων ἐν ταῖς πολιτείαις κακῶν ὡς γινομένων, διὰ τὸ μὴ κοινὴν εἶναι τὴν οὐσίαν· λέγω δὲ δίκας τὲ πρὸς ἀλλήλους περὶ συμβολαίων καὶ ψευδομαρτυριῶν κρίσεις· καὶ πλουσίων κολακείας ὧν οὐδὲν γίνεται διὰ τὴν ἀκοινωνησίαν· ἀλλὰ διὰ τὴν μοχθηρίαν· ἐπεὶ καὶ τοὺς κοινὰ κεκτημένους καὶ κοινωνοῦντας, πολλῷ διαφερομένους μᾶλλον ὁρῶμεν· ἢ τοὺς χωρὶς τὰς οὐσίας ἔχοντας· ἀλλὰ θεωροῦμεν ὀλίγους τῶν ἐκ τῶν κοινωνιῶν διαφερομένους πρὸς πολλοὺς συμβάλλοντες τοὺς κεκτημένους ἰδίας τὰς κτήσεις· ἔτι δὲ δίκαιον

μὴ μόνον λέγειν ὅσων στέρησον τοῦ κακῶν κοινωνῆσαντες, ἀλλὰ καὶ ὅσων ἀγαθῶν. φαίνεται δ' εἶναι τοῦ μὲν ἀδύνατος ὁ βίος· αἴτιον δὲ, τῶν σωκράτει τῆς παρακρούσεως χρὴ νομίζειν τὴν ὑπόθεσιν οὐκ οὖσαν ὀρθήν. δεῖ μὲν γὰρ εἶναί πως μίαν καὶ τὴν οἰκίαν καὶ τὴν πόλιν· ἀλλ' οὐ πάντως· ὅταν μὲν γὰρ ὡς οὐκ ἔσται προϊοῦσα πόλις· ὅταν δ' ὡς ἔσται μὴ· ἐπὶ σὺ δ' οὖσα τοῦ μὴ πόλις εἶναι, χείρων πόλις· ὡς περ καὶ εἴ τις τὴν συμφωνίαν ποιήσειεν ὁμοφωνίαν· ἢ τὸν ῥυθμὸν βάσιν μίαν· ἀλλὰ δεῖ πολλῆς ὄν ὡς περ εἴρηται πρότερον διὰ τὴν παιδείαν κοινὴν καὶ μίαν ποιεῖν· καὶ τὸν τε μέλοντα παιδείαν εἰσάγειν νομίζοντα διὰ ταύτης ἐσεσθαι τὴν πόλιν σπουδαίαν, ἅμα τὴν τοῖς τοιούτοις οἰεσθαι διορθοῦν· ἀλλὰ μὴ τοῖς ἔθεσι· καὶ τῇ φιλοσοφίᾳ· καὶ τοῖς νόμοις· ὥσπερ τὰ περὶ τὰς κτήσεις ἐν λακεδαίμονι καὶ κρήτῃ τοῖς συσσιτίοις ὁ νομοθέτης ἐκοίνωσε· δεῖ δὲ μὴ δὲ τοῦτο αὐτὸ ἀγνοεῖν, ὅτι χρὴ προσέχειν τῷ πολλῷ χρόνῳ καὶ τοῖς πολλοῖς ἔτεσιν, οἷς οὐκ ἂν ἐλάθεμεν εἰ ταῦτα καλῶς εἶχε· πάντα γὰρ δὸν εὑρῆται μὲν· ἀλλὰ τὰ μὲν, οὐσιωθῆκεται· τοῖς δ' οὐχ ὧν ταυτὶ μὲν ὁτιοῦν μᾶλλον δ' αὖ γνώριμον τοφανερόν, εἴτις τοῖς ἔργοις ἰδοι τὴν τοιαύτην πολιτείαν καταστασιαζομένην· δὴ δωνήσεται μὴ μεῖζον αὐτὴν χωρίζων τῆσαι τὴν πόλιν· τὰ μὲν, εἰς συσσίτια· τὰ δὲ, εἰς φατρίας καὶ φυλάς· ὥστε οὐδὲν ἄλλο συμβήσεται νεμομοθετημένον, πλὴν μηχωρεῖν τοὺς φύλακας· ὅπερ καὶ νῦν λακεδαιμόνιοι ποιεῖν ὠνχειροῦσιν· οὐμὴν ἀλλ' οὐδὲ πρόπος τῆς ὅλης πολιτείας πρέσεσαι τοῖς κοινωνοῦσιν, οὐτεῖρηκεν ὁσωκράτης, οὐτε ῥᾴδιον εἰπεῖν· καίτοι χρὴν γέ πλῆθος τῆς πόλεως, τὸ τῶν ἄλλων πολιτῶν εἶναι τὸ πλῆθος· πλὴν ὧν οὐδὲν διώρισαι, πότερον καὶ τοῖς γεωργοῖς κοινὰς εἶναι δεῖ τὰς κτήσεις· ἢ καὶ καθ' ἕκαστον ἰδίας· ἔτι δὲ καὶ γυναῖκας καὶ παῖδας ἰδίους ἢ κοινούς· εἰ μὲν γὰρ τὸν αὐτὸν τρόπον κοινὰ πάντα τῶν πάντων, τί

διοίσουσιν

διοίσουσιν οὗτοι ἐκείνων τῶν φυλάκων· ἢ τι πλεῖον τοῖς ὑπο
μένουσι τὴν ἀρχὴν αὐτῶν· ἢ τι μαθόντες ὑπομένουσι τὴν ἀρ-
χήν, ἐὰν μήτι σοφίζωνται τοιοῦτον· οἷον κρῆτες· ἐκεῖνοι γὰρ
τἄλλα ταυτὰ τοῖς δούλοις ἐφέντες, μόνον ἀπειρήκασι τὰ
γυμνάσια· καὶ τὴν τῶν ὅπλων κτῆσιν· εἰ δὲ καθάπερ ἐν ταῖς ἄλ
λαις πόλεσι καὶ παρ' ἐκείνοις ἔσται τὰ τοιαῦτα, τίς ὁ τρόπος
ἔσται τῆς κοινωνίας· ἐν μιᾷ δὲ πόλει δύο πόλεις ἀναγκαῖον εἶναι· καὶ ταύ
τα ὑπεναντίας ἀλλήλαις· τοιεῖ γὰρ τοὺς μὲν φύλακας,
οἷον φρουρούς· τοὺς δὲ γεωργούς· καὶ τοὺς τεχνίτας· καὶ τοὺς
ἄλλους πολίτας· ἐγκλήματα δὲ καὶ δίκαι· καὶ ὅσα ἄλλα ταῖς
πόλεσιν ὑπάρχ φησὶ κακά, πάνθ' ὑπάρξει καὶ τοῦτο· καὶ τοιλέγει
ὁσωκράτ· ὡς οὐ πολλῶν δεήσοντ νομίμ διὰ τὴν παιδείαν· οἷον ἀστυ
νομικῶν καὶ ἀγρανομικῶν· καὶ τῶν ἄλλων τοιούτων, ἀποδιδοὺς μόνον
τὴν παιδείαν τοῖς φύλαξιν· ἔτι δὲ κυρίους τοιεῖ τῶν κτημά-
των τοὺς γεωργοὺς ἀποφορὰν φέροντας· ἀλλὰ πολὺ μᾶλλον εἰκὸς
εἶναι χαλεποὺς καὶ φρονημάτων πλήρεις, ἢ τὰς πρὸς ἐνίοις εἰλω
τείας τε καὶ πενεστείας καὶ δουλείας· ἀλλὰ γὰρ εἴτ' ἀναγκαῖα
ταῦθ' ὁμοίως εἴτε μὴ, νῦν γ' οὐδὲν διώρισται· καὶ περὶ τῶν ἐχομέ-
νων τίς ἡ τούτων τε πολιτεία καὶ παιδεία, καὶ νόμοι τίνες· ὅστι δ' οὐ
θ' εὑρεῖν ῥᾴδιον, οὔτε τὸ διαφέρον μικρόν, τὸ τοιούς τινὰς εἶ-
ναι τούτους πρὸς τὸ σώζεσθαι τὴν τῶν φυλάκων κοινωνίαν· ἀλ
λὰ μὴν εἴγε τὰς μὲν γυναῖκας τοιήσει κοινάς, τὰς δὲ κτήσεις
ἰδίας, τίς οἰκονομήσει· ὥσπερ τὰ πρὸς τῶν ἀγρῶν οἱ ἄνδρες αὐ
τῶν· κἂν εἰ κοιναὶ αἱ κτήσεις, καὶ αἱ τῶν γεωργῶν γυναῖκες· ἄτο
πον δὲ καὶ τὸ ἐκ τῶν θηρίων τοιεῖσθαι τὴν παραβολήν· ὅτι δεῖ τὰ
αὐτὰ πρὸς τοιδεύειν τὰς γυναῖκας τοῖς ἀνδράσιν· οἷς οἰκονομί-
ας οὐδὲν μέτεστιν· πρὸς φαλὲς δὲ καὶ τοὺς ἄρχοντας ὡς καθίστη
σιν ὁσωκράτης· ἀεὶ γὰρ τοιεῖ τοὺς αὐτοὺς ἄρχοντας· τοῦτο δὲ
στάσεως αἴτιον γίνεται· καὶ παρὰ τοῖς μηδὲν ἀξίωμα κεκτη
μένοις· ἤτου θεν δὴ παράγεθυ μοειδέσι καὶ πολεμικοῖς ἀνδράσιν·

ὅτι δ' ἀναγκαῖον αὐτῷ ποιεῖν τοὺς αὐτοὺς ἄρχοντας φανερὸν· οὐδὲ
ὁ τὲ μὲν, ἄλλοις· ὁ τὲ δὲ, ἄλλοις μέμικται ταῖς ψυχαῖς ὁ-
παρὰ τοῦ θεοῦ χρυσὸς, ἀλλ' ἀεὶ τοῖς αὐτοῖς· φησὶ δὲ, τοῖς μὲν,
εὐθὺ γινομένοις μίξαι χρυσὸν· τοῖς δ' ἄργυρον· χαλκὸν δὲ καὶ
σίδηρον τοῖς τεχνίταις μέλλουσιν ἔσεσθαι καὶ γεωργοῖς·
ἔτι δὲ καὶ τὴν εὐδαιμονίαν ἀφαιρούμενος τῶν φυλάκων, ὅ-
λην φησὶ δεῖν εὐδαίμονα ποιεῖν τὴν πόλιν τὸν νομοθέτην· ἀ-
δύνατον δὲ εὐδαιμονεῖν ὅλην μὴ τῶν πλείστων ἢ μὴ πάντων με-
ρῶν· ἢ τινῶν ἐχόντων τὴν εὐδαιμονίαν· οὐ γὰρ τῶν αὐτῶν τὸ εὐδαι-
μονεῖν, ὧν περ τὸ ἄρτιον· τοῦτο μὲν γὰρ ἐνδέχεται τῷ ὅλῳ ὑ-
πάρχειν· τῶν δὲ μερῶν, μηδετέρῳ· τὸ δὲ εὐδαιμονεῖν ἀδύνα-
τον· ἀλλὰ μὴν εἰ οἱ φύλακες μὴ εὐδαίμονες, τίνες ἕτεροι·
οὐ γὰρ δὴ οἱ γε τεχνῖται καὶ τὸ πλῆθος, τὸ τῶν βαναύσων· ἡ μὲν
οὖν πολιτεία περὶ ἧς ὁ σωκράτης εἴρηκε, ταύτας τὲ τὰς ἀ-
πορίας ἔχει· καὶ τούτων οὐκ ἐλάττους ἑτέρας· σχεδὸν δὲ πα-
ραπλησίως καὶ περὶ τοὺς νόμους ἔχει τοὺς ὕστερον γραφέν-
τας· διὸ καὶ περὶ τῆς ἐνταῦθα πολιτείας, ἐπισκέψασθαι μι-
κρὰ βέλτιον· καὶ γὰρ ἐν τῇ πολιτείᾳ περὶ ὀλίγον πάμπαν
διώρικεν ὁ σωκράτης· περὶ τε γυναικῶν καὶ τέκνων καὶ κοινωνίας
πῶς ἔχειν δεῖ καὶ περὶ κτήσεως· καὶ τῆς πολιτείας τὴν τά-
ξιν· διαιρεῖται γὰρ εἰς δύο μέρη τὸ πλῆθος τῶν οἰκούντων· τὸ μὲν
εἰς τοὺς γεωργοὺς, τὸ δὲ, εἰς τὸ προπολεμοῦν μέρος· τρίτον
δ' ἐκ τούτων τὸ βουλευόμενον καὶ κύριον τῆς πόλεως· περὶ δὲ τῶν
γεωργῶν καὶ τῶν τεχνιτῶν πότερον οὐδεμιᾶς ἢ μετέχουσι τινὸς ἀρ-
χῆς· καὶ πότερον ὁ πλαδεῖκε κτῆσθαι καὶ τούτους, καὶ συμπολεμεῖν, ἢ
μὴ, περὶ τούτων οὐδὲν διώρικεν ὁ σωκράτης, ἀλλὰ τὰς μὲν γυ-
ναῖκας οἴεται δεῖν συμπολεμεῖν, καὶ παιδείας μετέχειν τῆς αὐτῆς
τοῖς φύλαξι· τὰ δ' ἄλλα τοῖς ἔξωθεν λόγοις πεπλήρωκε τὸν λόγον·
καὶ περὶ τῆς παιδείας τρίαντινα δεῖ γίνεσθαι τῶν φυλάκων· τῶν δὲ νόμων

τὸ μὲν

τὸ μὲν πλεῖστον μέρος, νόμοι τυγχάνουσιν ὄντες. ὀλίγα δὲ, περὶ
τῆς πολιτείας εἴρηκε· καὶ ταύτην βουλόμενος κοινοτέραν τοι
εἶν ταῖς πόλεσι· κατὰ μικρὸν περιάγει πάλιν πρὸς τὴν ἑτέραν
πολιτείαν. ἔξω γὰρ τῆς τῶν γυναικῶν κοινονίας καὶ τῆς
κτήσεως· τὰ ἄλλα ταυτὰ δίδωσιν ἀμφοτέραις ταῖς πο-
λιτείαις· καὶ γὰρ παιδείαν τὴν αὐτὴν καὶ τὸ τῶν ἔργων τῶν
ἀναγκαίων ἀπεχομένους ζῆν· καὶ περὶ συσσιτίων ὡσαύτως·
πλὴν ἐν ταύτῃ φησὶ δεῖν εἶναι συσσίτια καὶ γυναικῶν· καὶ τὴν
μὲν, χιλίων τῶν ὁπλακεκτημένων· ταύτην δὲ πεντακις χι-
λίων· τὸ μὲν οὖν περιττὸν ἔχουσι πάντες οἱ τοῦ σωκράτους λό-
γοι· καὶ τὸ κομψὸν, καὶ τὸ καινοτόμον· καὶ τὸ ζητητικὸν· καλῶς δὲ πάν-
τα ἴσως χαλεπὸν· ἐπεὶ καὶ τὸ νῦν εἰρημένον πλῆθος, δεῖ μὴ λαν-
θάνειν· ὅτι χώρας δεήσει τοῖς τοσούτοις βαβυλωνίας· ἥτινος
ἄλλης ἀπεραίνου τὸ πλῆθος, ἐξ ἧς ἀργοὶ πεντακισχίλιοι θρέ-
ψονται· καὶ περὶ τούτους γυναικῶν, καὶ θεραπόντων ἕτερος ὄχλος πολλα-
πλάσιος· δεῖ μὲν οὖν ὑποτίθεσθαι κατ' εὐχὴν μηδὲν μέν τοι ἀδύνα-
τον· λέγεται δὲ ὡς δεῖ τὸν νομοθέτην πρὸς δύο βλέποντα τι-
θέναι τοὺς νόμους· πρός τε τὴν χώραν καὶ τοὺς ἀνθρώπους· ἔτι δὲ καλῶς
ἔχει προτεθεῖναι καὶ πρὸς τοὺς γειτνιῶντας τόπους· εἰ δεῖ τὴν πόλιν ζῆν
βίον πολιτικόν· ὀνήσιμον ἀναγκαῖόν ἐστιν αὐτὴν τοιούτοις χρῆσθαι
πρὸς τὸν πόλεμον ὅπλοις, ἃ χρήσιμα κατὰ τὴν οἰκείαν χώραν ἐστίν.
ἀλλὰ καὶ πρὸς τοὺς ἔξω τόπους· εἰ δέ τις μὴ τοιοῦτον ἀποδέχεται βί-
ον, μήτε τὸν ἴδιον, μήτε τὸν κοινὸν τῆς πόλεως, ὅμως οὐδὲν ἧττον
δεῖ φοβερούς εἶναι τοῖς πολεμίοις· μὴ μόνον ἐλθοῦσιν εἰς τὴν χώραν.
ἀλλὰ καὶ ἀπελθοῦσι· καὶ τὸ πλῆθος δὲ τῆς κτήσεως ὁρᾶν δεῖ· μήτο-
τε βέλτιον ἑτέρως διορίσαι· τῷ σαφῶς μᾶλλον· τοσαύτην δεῖναί
φησι δεῖν, ὡς τε ζῆν σωφρόνως· ὡς περ ἀνεῖ τις εἰπὲν ὡς τε ζῆν εὖ·
τοῦτο γὰρ ἐστι καθόλου μᾶλλον· ἔτι δ' ἐστὶ σωφρόνως μὲν, ταλαι-
πόρως δὲ ζῆν· ἀλλὰ βελτίων ὅρος τὸ σωφρόνως καὶ ἐλευθε-
ρίως· χωρὶς γὰρ ἑκάτερον· τὸ μὲν, τῶ τρυφᾶν ἀκολουθήσει·

ἡ δὲ τῷ ὠὴ πόνως· ἐπεὶ μόναι εἰσὶν ἕξεις ἀρεταὶ περὶ τὴν τῆς οὐσίας χῆσιν αὗται· οἷον, οὐσίας πράως ἢ ἀνδρείως χῆσθαι· οὐκ ἔστι· σωφρόνως δὲ καὶ ἐλευθερίως ἐστίν· ὥστε καὶ τὰς χήσεις ἀναγκαῖον περὶ αὐτὴν εἶναι ταύτας· ἄρτιον δ' ἐστὶ τὰς κτήσεις ἰσάζοντα, τὸ περὶ τὸ πλῆθος τῆς πόλεως μὴ κατασκευάζειν, ἀλλ' ἀφεῖναι τὴν τεκνοποιΐαν ἀόριστον· ὡς ἱκανῶς ἂν ὁμαλιθησομένων εἰς τὸ αὐτὸ πλῆθος διὰ τὰς ἀτεκνίας. ὁ σῶν οὖν γινωσκόντων, ὅτι δοκεῖ τοῦτο καὶ νῦν συμβαίνειν περὶ τὰς πόλεις· δεῖ δὲ τοῦτο ὁμοίως ἀκριβῶς ἔχειν περὶ τὰς πόλεις τότε καὶ νῦν· νῦν μὲν γὰρ οὐδεὶς ἀπορεῖ διὰ τὸ μεῖζεσθαι τὰς οὐσίας εἰς ὁποσονοῦν πλῆθος· τότε δὲ ἀδιαιρέτων οὐσῶν, ἀνάγκη τοὺς παραζύγας μηδὲν ἔχειν· ἐὰν τε λάβῃς ὡσιὶ πλῆθος· ἐάν τε πλείους· μᾶλλον δὲ δεῖν ὑπολαβεῖν τὴν αὐξῆσαι τῆς οὐσίας τὴν τεκνοποιΐαν· ὥστε ἀριθμοῦ τινος μὴ πλείονα γίγνεσθαι· τοῦτο δὲ τίθεναι τὸ πλῆθος ἀποβλέποντα πρὸς τὰς τύχας αὐ συμβαίνει τελευτῶν τινὰς τῶν γεννηθέντων· καὶ πρὸς τὴν τῶν ἄλλων ἀτεκνίαν· τὸ δ' ἀφεῖσθαι καθάπερ ἐν ταῖς πλείσταις πόλεσι· πηρίας ἀναγκαῖον αἴτιον εἶναι τοῖς πολίταις· ἡ γὰρ πηρία, σάσιν ἐμποιεῖ καὶ ταραχήν· φεύδων μὲν οὖν ὁ κορίνθιος νομοθέτης τὰ ἀρχαιότατα τῶν νῦν οἴκους ἴσους ὑπῆρχε δεῖν μένειν· ὁ δὲ πλῆθος τῶν πολιτῶν· εἰ τὸ πρῶτον τοὺς κλήρους ἀνίσους εἶχον πάντες καὶ παμέγεθος· ἐνδέχεται νόμοις τοῦτο, τὸν ἀντίον ὅτι· ἀλλὰ περὶ μὲν τούτων πῶς οἰόμεθα βέλτιον ἂν ἔχειν, λεκτέον ὕστερον· ἐπεὶ δὲ πάντες νόμοις τάξις (καὶ τὸ περὶ τὰς ἀρχὰς τὸ πῶς ἔσονται) διαφέροντες τὰ ἀρχομένων· φησὶ δεῖν ὡς περὶ ἑξήκοντα μόνιον ἐρίουσίνεσθαι τῆς κρίσεως· ἅπαντας ἀρχόντας· ἔχειν δεῖν πρὸς τὰς ἀρχομένας· ἐπεὶ δὲ τὴν πᾶσαν οὐσίαν ἐφίεσθαι μείζονα μέχρι πεντα πλασίας· διατί τοῦτον καὶ εἰπὲ τὴν γῆς μέχρι τινὸς·

καὶ τὴν

πολιτείαν· εἰ περοῦν ὅτι πολείωπολιτείας εἴδη δῆλον, ὡς οὐκ ἐνδέχεται τὸν ἀγαθὸν ἀνδρὰ πολίτην μίαν ἀρετὴν εἶναι τὴν τελείαν· ὅτι μὴν οὖν ἐνδέχεται πολίτην ὄντα ἀγαθὸν, μὴ κεκτῆσθαι τὴν ἀρετὴν, καθ' ἣν ἀγαθὸς ἀνήρ, φανερόν· ἀμφοῖν, ἀλλὰ καὶ κατ' ἄλλον τρόπον ὅτι διαιροῦντας ἐπελθεῖν τὸν αὐτὸν λόγον περὶ τῆς ἀρίστης πολιτείας· εἰ γὰρ ἀδύνατον ἐξ ἀγαθῶν ἀνδρῶν ἀγαθοὺς εἶναι πολίτας· ἐκεῖνο δὲ ἕκαστον τὸ καθ' αὐτὸν ἔργον ἐστὶν ἴδιον· τοῦτο δ' ἀρετῆς· ἐπεὶ δ' ἀδύνατον ὁμοίους εἶναι πάντας τοὺς πολίτας, ἀλλ' εἰ μία ἀρετὴ πολίτου καὶ ἀνδρὸς ἀγαθοῦ· τὴν μὲν τοῦ ἀγαθοῦ πολίτου, δεῖ πᾶσιν ὑπάρχειν· ἀδύνατον γὰρ ἀρίστην αἰτίαν καὶ ὁμοίαν εἶναι τὴν πόλιν· τὴν δὲ τοῦ ἀνδρὸς τοῦ ἀγαθοῦ ἀδύνατον μίαν, εἰ μὴ πάντας ἀναγκαῖον ἀγαθοὺς εἶναι· τὸς δ' ἐν τῇ ἀμείνονι πόλει πολίτας· ἔτι ἐπεὶ ἐξ ἀνομοίων ἡ πόλις ὥσπερ ζῴων βύθυσ ἐκ ψυχῆσ καὶ σώματος καὶ ψυχὴ ἐκ λόγου καὶ ὀρέξεως· καὶ οἰκία ἐξ ἀνδρὸς καὶ γυναικός· καὶ κτῆσις ἐκ δεσπότου καὶ δούλου, τὸν αὐτὸν δὲ τρόπον καὶ πόλισ ἐξ ἁπάντων τῶν τοιούτων· ἔστι δὲ τοῦτο ἐξ ἄλλων ἀνομοίων συνεστηκὸς εἰδῶν· ἀνάγκη μὴ μίαν εἶναι τὴν τοῦ πολίτου πάντων ἀρετήν· ὡς περ δὴ τοῦ χορευτοῦ κορυφαίου καὶ παρασάρυ· διό τι μὲν οὖν ἄλλως ἔχει ἡ αὐτὴ, φανερὸν ἐκ τούτων· ἀλλ' ἆρα ἔστι τισὶ καὶ ἡ αὐτὴ ἀρετὴ πολίτου τινὸς καὶ ἀνδρὸς ἀγαθοῦ, φαμὲν δὴ τὸν ἄρχοντα τὸν ἀγαθὸν εἶναι φρόνιμον· τὴν γὰρ πολιτικὴν, ἀναγκαῖον εἶναι φρόνιμον· τὴν δὲ παιδείαν δοῦλον εἶναι λέγουσί τινες ἄρχοντος· ὥσπερ καὶ φαίνονται τοῖς βασιλέων υἱεῖς· ἱππικὴν γὰρ πολιτικὴν ὥσπερ δή φησι μάλιστα ποιεῖν Θεόγνις μιμοῦνται καὶ ἐν ταῖς πόλεσι οὕτως οὐσαύτην ἀνάγκη ἄρχοντος παιδείαν· εἰ δὴ αὐτὴ ἀρετὴ ἄρχοντος τε ἀγαθοῦ καὶ ἀνδρὸς ἀγαθοῦ· πολίτης δ' ἐστὶ καὶ ὁ ἄρχόμενος, οὐχ ἡ αὐτὴ ἁπλῶς ἂν εἴη πολίτου καὶ ἀνδρός· τίνος μὲν τοι πολίτου οὐχ ἡ αὐτὴ ἄρχοντος καὶ πολίτου· ἴσως δὲ τοῦτ' ἴσως ἐάσωμεν· ἔφη γὰρ ἴσως τιμὴν τυραννοῖ· ὡς οὐκ ἐπισάμενος ἰδιώτης εἶναι· ἀλλὰ μὴν

ἐστιν εἶναι τοίνυν τὸ δικαιοῦσθαι ἄρχειν ἢ ἄρχεσθαι πολιτικὸν μὲν ἦν ἀρετὴ εἶναι τὸ δικαιοῦσθαι καὶ ἄρχειν καὶ ἄρχεσθαι καλῶς· εἰ δὴ τῶν μὲν τοῦ ἀγαθοῦ ἀνδρὸς τίθει μὲν ἀρχικὸν τὸν δὲ τοῦ πολίτου ἀμφω, δικαίως εἴη ἀμφω ἐπαινετὰ ὁμοίως· ἐπεὶ οὖν τὴν δυκεῖ ἀμφότερα καὶ οὕτω τοῦ δεῖν τὸν ἄρχοντα μανθάνειν καὶ τὸν ἀρχόμενον, τὸν ἢ πολίτην ἀμφότερ' ἐπίστασθαι καὶ μετέχειν ἀμφοῖν, ἐκ τοῦθεν αὖ καιρίδοιτις· ὅτι γὰρ ἀρχὴ δεσποτική· ταύτην δὲ τὴν περὶ τὰν ἀναγκαῖα λεχθέντα, περὶ εἰδέναι τὸν ἄρχειν τ' οὐκ ἀναγκαῖον· ἀλλὰ χρῆσθαι μᾶλλον· θάτερον δὴ ἀνδραποδώδης· λέγω δὲ θάτερον, τὸ δικάζεσθαι καὶ ὑπηρετεῖν τοῖς δικανικοῖς πράξεσι· δοῦλος δ' εἰδικῶς λέχθη μὲν καὶ δέσποτοι αἰκιλείους· ὧν ἐμμέρος κατέχουσιν οἰχερνῆτις· οὗτοι δ' εἰσὶν ὅσπερ σημαίνει καὶ τὸνομα τοὺς, οἰζῶντις ἀπὸ τῶν χειρῶν· οἷοῖς ὁβάναυσος τυγχάνει ὢν· διὸ παρ' ἔνιοις οὐμετεῖχον οἱ δημιουργοὶ τὸ παλαιὸν ἀρχῶν, πρὶν δῆμον γενέσθαι τὸν ἔσχατον· τοὺς μὲν οὖν ἔργους τῶν ἀρχομένων, οὕτως οὐδεὶς τὸν ἀγαθὸν, οὐδὲ τὸν πολιτικὸν· οὐδὲ τὸν πολίτ' ἀναγκαῖον μανθάνειν· εἰ μή τις χρείας χάριν αὐτῷ πρὸς αὐτὸν· ὑπάρξει δὲ τισυμβαίνει πάντα. τὸν μὲν, δεσπότην· τὸν δὲ, δοῦλον· ἀλλ' ἔστι τις ἀρχὴ καθ' ἣν ἄρχει τῶν ὁμοίων τῷ γένει, καὶ τῶν ἐλευθέρων· ταύτην γὰρ λέγομεν εἶναι τὴν πολιτικὴν ἀρχὴν, ἣν δεῖ τὸν ἄρχοντα ἀρχόμενον μαθεῖν· οἷον, ἱππαρχεῖν ἱππαρχηθέντα· στρατηγεῖν στρατηγήσαντα· ἢ ταξιαρχῆσαν τα· ἢ λοχαγήσαντα· διὸ λέγεται καλῶς· ὡς οὐκ ὄστιν ὧ ἄρξαι, μὴ ἀρχθέντα· τούτων δὲ, ἀρετὴ μὲν ἑτέρα· δεῖ δὲ τὸν πολίτην τὸν ἀγαθὸν, ἐπίστασθαι καὶ δύνασθαι, ἢ ἄρχειν, καὶ ἄρχεσθαι· καὶ αὕτη ἀρετὴ πολίτου, τὸ τῶν ἐλευθέρων ἀρχὴν ἐπίστασθαι ἀμφότερα· καὶ ἀνδρὸς δὴ ἀγαθοῦ ἄμφω· καὶ εἴ ἕτερον εἶδος σωφροσύνης καὶ δικαιοσύνης ἀρχικῆς· καὶ γὰρ ἄρχομένου μὲν· ἐλευθέρου δὲ, δῆλον ὅτι οὐμία αὐ εἴη τοῦ ἀγαθοῦ ἀρετὴ· οἷον δικαιοσύνη, ἀλλ' εἰδικέχουσα

καθ' ἃ

καθ' ἃ ἄρξει καὶ ἄρξετ'. ὥσπερ ἀνδρὸς καὶ γυναικὸς ἑτέρα σωφρο
σύνη καὶ ἀνδρία· δόξαι δ' ἂν εἶναι δειλὸν ἀνήρ, εἰ οὕτω ἀνδρεῖος εἴη, ὥσ
περ γυνὴ ἀνδρεία· καὶ γυνὴ ἄλλη εἰ οὕτω κοσμία εἴη, ὥσπερ ὁ ἀνὴρ
ὁ ἀγαθὸς· ἐπεὶ καὶ οἰκονομία ἑτέρα ἀνδρὸς καὶ γυναικός· τοι
μὲν δὲ κτᾶσθαι· τῆς δ' φυλάττειν ἔργον ἐστὶν· ἡ δὲ φρόνησις ἄρχον
τος ἴδιος ἀρετὴ μόνη· τὰς δ' ἄλλας ἔοικεν ἀναγκαῖον εἶναι κοι
νὰς καὶ τῶν ἀρχομένων καὶ τῶν ἀρχόντων· ἀρχομένου δέ γε οὐκ ἔστιν ἀρετὴ
φρόνησις· ἀλλὰ δόξα ἀληθής· ὥσπερ αὐλοποιὸς δ' ὁ ἀρχόμενος· ὁ δ'
ἄρχων αὐλητὴς ὁ χρώμενος· πότερον μὲν οὖν ἡ αὐτὴ ἀρετὴ
ἀνδρὸς ἀγαθοῦ, καὶ πολίτου σπουδαίου, ἢ ἑτέρα· καὶ πῶς ἡ αὐτὴ
καὶ πῶς ἑτέρα, φανερὸν ἐκ τούτων· περὶ δὲ τὸν πολίτην ἔτι λέ
πεταί τις τῶν ἀπορίων· ὡς ἀληθῶς γὰρ, πότερον πολίτης ἐστὶν,
ᾧ κοινωνεῖν ἔξεστιν ἀρχῆς, ἢ καὶ τοὺς βαναύσους πολίτας θετέον·
εἰ μὲν οὖν καὶ τούτους θετέον οἷς μὴ μέτεστιν ἀρχῶν, οὐχ οἷόν τε παν-
τὸς εἶναι πολίτου, τὴν τοιαύτην ἀρετὴν· οὗτος γὰρ πολίτης· εἰ δὲ
μηδεὶς τῶν τοιούτων πολίτης ἐν τινι μέρει θετέος ἕκαστος, οὐδὲ γὰρ
μέτοικος· οὐδὲ ξένος· ἢ διὰ γε τοῦτον τὸν λόγον, οὐδὲν φήσομεν συμ
βαίνειν ἄτοπον· οὐδὲ γὰρ οἱ δοῦλοι τῶν εἰρημένων οὐδὲν οὐδοὶ ἀπελεύθε-
ροι· τοῦτο δ' ἀληθὲς ὡς οὐ πάντας θετέον πολίτας, ὧν ἄνευ οὐκ ἂν εἴ
η πόλις· ἐπεὶ οὐδ' οἱ παῖδες οὐσαύτως πολῖται καὶ οἱ ἄνδρες· ἀλλ'
οἱ μὲν ἁπλῶς· οἱ δ' ἐξ ὑποθέσεως· πολῖται μὲν γὰρ εἰσιν· ἀλλ' ἀτε
λεῖς· ἐν μὲν οὖν τοῖς ἀρχαίοις χρόνοις· παρ' ἐνίοις ἦν δοῦλον, τὸ βά-
ναυσον ἢ ξενικόν· διόπερ οἱ πολλοὶ τοιοῦτοι καὶ νῦν· ἡ δὲ βελτίστη πό-
λις, οὐ τοιήσει βάναυσον πολίτην· εἰ δὲ καὶ οὗτος πολίτης, ἀλλὰ πο-
λίτου ἀρετὴν ἢν εἴπομεν, λεκτέον οὐ παντὸς, οὐδ' ἐλευθέρου μό-
νον· ἀλλ' ὅσοι τῶν ἔργων εἰσὶν ἀφειμένοι τῶν ἀναγκαίων· τῶν δ' ἀ
ναγκαίων οἱ μὲν ἐνὶ λειτουργοῦντες τὰ τοιαῦτα, δοῦλοι· οἱ δὲ κοι-
νοὶ, βάναυσοι καὶ θῆτες· φανερὸν δὲ ἐντεῦθεν μικρὸν ὑπόσκεψα-
μένοις, πῶς ἔχει περὶ αὐτῶν· αὐτὸ γὰρ φανὲν τὸ λεχθὲν τοιεῖ δῆ-
λον· ἐπεὶ δὲ πλείους εἰσὶν αἱ πολιτεῖαι, καὶ εἴδη πολίτου ἀναγκαῖον

εἶναι πολείω· μὴ μάλιστα τοῦ ἀρχομένου πολίτου· ὥστ' ἐν μέν τινι πολιτείᾳ τὸν βάναυσον ἀναγκαῖον εἶναι· καὶ γὰρ θῆται πολίται· ἐν τισὶ δ' ἀδύνατον· οἷον, εἴ τις ὄχλος ἐστὶν, ὡς καλοῦσιν Ἀριστοκρατικῶς· ἐν ᾗ καὶ ἀρετῇ καὶ τιμαὶ δίδονται· ἢ κατ' ἀξίαν· ὃ δ' οἷόν τε ὥστε διδοῦσαι τὰς ἀρετὰς ζῶντα βίον βάναυσον ἠθικὸν· ἐν ταύταις ὀλιγαρχίαις, θῆται μὲν οὐδέποτε εἶναι πολίτ· ἀλλὰ τιμημάτων μακρῶν, αἱ μετέξουσι τῆς ἀρχῆς· βάναυσον δ' ἐνδέχεται· πλουτοῦσι γὰρ οἱ πολλοὶ τῶν τεχνιτῶν· ἐν Θήβαις ἦν νόμος ἦν γὰρ δέκα ἔτη μὴ ἀπεχημονοῦντα τῆς ἀγορᾶς, μὴ μετέχειν ἀρχῆς· ἐν πολλαῖς δὲ πολιτείαις προσῆκε· τῶν ξένων νόμος· οὐδὲ κ πολίτιδος, ἐν τισὶ δημοκρατίαις πολίτης ὁ υἱὸς· τὸν αὐτὸν δὲ τρόπον ἔχει καὶ περὶ τοὺς νόθους· παρὰ πολλοῖς· ἀμφισβητεῖται δὲ πολίτας τοὺς τρίτους· διὰ δὲ ὀλιγανθρωπίαν οὕτω χρῶνται τοῖς νόμοις· ὑπερβάντες δ' ὄχλου, κατὰ μικρὸν παραιροῦντες τοὺς ἐκ δούλου πρῶτον ἢ δούλης· εἶτα τοὺς ἀπὸ γυναικῶν· τέλος δὲ μόνον τοὺς ἐξ ἀμφοῖν αὐτοῖν πολίτας ποιοῦσιν· ὅτι μὲν οὖν εἷς ἐστὶ πολείου πολίτου, φανερὸν ἐκ τούτων· οὗ δὲ τις μάλιστα πολίτης ὁμετέχων τιμῶν ὡς ἁπλῶς ὁμήρου ἐπίσημον· αὐτὸ δὲ τοιοῦτόν ἐστιν ἐν οἷς κεκρυμμένον ἐστὶν, ἀπὸ τῆς χάριν τοῦ μὴ κόμπων ἐστίν· ὡσεί τις μάτην μεταμάσσειν· ὡς τρίμετρός ἐστιν, οὗ τιμῶν μὴ μετέχων· πότερον μὲν οὖν ἕτερον, ἢ τὸν αὐτὸν ἄτοπον καθ' ἣν αὖ ἀνὴρ ἀγαθός ἐστιν ἡ πολίτης ἁπλοῦς, δῆλον ἐκ τῶν εἰρημένων, ὅτι τισὶ μὲν πόλεως οὐκ ἔστι, τισὶ δ' οὐ πᾶς· ἀλλ' ὁ πολιτικὸς καὶ κύριος ἢ καθ' αὐτὸν· ἢ μετ' ἄλλων, τῆς τε κοινῶν ἐπιμελείας· ἐπεὶ δὲ ταῦτα διώρισται, τὸ μετὰ τοῦτο σκεπτέον· πότερον μίαν ἀρετὴν πολιτείαν, ἢ πλείους· καὶ εἰ πλείους, τίνες καὶ πόσαι· ἢ τίς διαφορὰ τίνες αὖ ἐστιν· ἔστι δὲ πολιτεία πόλεως τάξις· τῶν τε ἄλλων ἀρχῶν, καὶ μάλιστα τῆς κυρίας πάντων· κύριον μὲν γὰρ πανταχοῦ τὸ πολίτευμα τῆς πόλεως· πολίτευμα δ' ἐστὶν, ἡ πολιτεία·

λέγω δ' οἷον

λέγω δ' οἷον ἐν μὲν ταῖς δημοκρατικαῖς, κύριος ὁ δῆμος· οἱ δ' ὀλιγοι τοὐναντίον ἐν ταῖς ὀλιγαρχίαις. φαμὲν δὲ καὶ πολιτείαν ἑτέραν εἶναι τούτων· τὸ γὰρ οὗ ἕνεκα τὸν ἐροῦμεν λόγον περὶ τῶν ἄλλων· ὑποθετέον δὴ πρῶτον· τίνος χάριν σύνεστι πόλις· καὶ τῆς ἀρχῆς εἰδη πόσα τῆς περὶ ἀνθρώπων καὶ τῶν κοινωνίαν τῆς ζωῆς, εἴρηται δὴ καὶ τὰ τοὺς πρώτους λόγους, φοῖς περὶ οἰκονομίας διωρίσθη καὶ δεσποτείας· ἢ ὅτι φύσει μὲν ἔστιν αἵρος ζῶον πολιτικόν· διὸ καὶ μηδὲν δεόμενοι τῆς περὶ ἀλλήλων βοηθείας οὐκ ἔλαττον ὀρέγονται τοῦ συζῆν· οὐμὴν ἀλλὰ καὶ τὸ κοινῇ συμφέρον σώζει καθ' ὅσον ἐπιβάλλει μέρος ἑκάστῳ τοῦ ζῆν καλῶς· μάλιστα μὲν οὖν τοῦτ' ἐστὶ τέλος ⟨καὶ⟩ κοινὸν πᾶσι καὶ χωρὶς· συνέρχονται δὲ καὶ τοῦ ζῆν ἕνεκεν αὐτοῦ· ἴσως γὰρ ἔνεστι τὸ τοῦ καλοῦ μόριον· καὶ συνέχουσι τὴν πολιτικὴν κοινωνίαν· μὴ κατὰ τὸ ζῆν αὐτὸ μόνον, ἀὶ μὴ τοῖς χαλεποῖς κατὰ τὸν βίον ὑπερβάλληλίαν· δῆλον δ' ὡς καρτεροῦσι πολλὴν κακοπάθειαν οἱ πολλοὶ τῶν ἀνθρώπων ἕλκόμενοι τοῦ ζῆν· ὡς ἐνούσης τινὸς δύναμείας σφαύτῳ καὶ γλυκύτητος φυσικῆς· ἀλλὰ μὴν ⟨καὶ⟩ τῆς ἀρχικῆς πειρᾶς λεγομένης ἔστιν ἑάδιον διελεῖν· καὶ γὰρ ἐν τοῖς ἐξωτερικοῖς λόγοις διαιρούμεθα περὶ αὐτῶν πολλάκις· ἡμᾶς γὰρ δεσποτείαν, καὶ ὅπερ ὄντος κατὰ φύσιν δούλῳ· καὶ τῷ φύσει δεσπότῃ καὶ τοῦ συμφέροντος, ὁμοίως ἄρχει πρὸς τὸ τοῦ δεσπότου συμφέρον οὐδὲν ἧττον· πρὸς δὲ τοῦ δούλου, κατὰ συμβεβηκός· οὐ γὰρ φύσεχεται φθείρεσθαι μόνου τοῦ δούλου σώζεσθαι τὴν δεσποτείαν· ἡδὲ τέκνων ἀρχὴ καὶ γυναικὸς καὶ τῆς οἰκίας πάσης, ἣν δὴ καλοῦμεν οἰκονομικήν, ἤτοι τῶν ἀρχομένων χάριν ἐστὶν, ἢ κοινόν τινος ἀμφοῖν· καθ' αὑτὸ μὲν τῶν ἀρχομένων· ὥσπερ ὁρῶμεν καὶ τὰς ἄλλας τέχνας· οἷον, ἰατρικὴν καὶ γυμναστικὴν, κατὰ συμβεβηκὸς δὲ καὶ αὐτὰς τῶν εἶεν· οὐδὲν γὰρ κωλύει τὸν παιδοτρίβην ἔστ' ἐνίοτε καὶ αὐτὸν τῶν γυμναζομένων εἶναι καὶ αὐτόν· ὡς περὶ κυβερνήτης εἴτ

ἐστὶν ἀεὶ τῶν πλωτήρων· ὁ μὲν οὖν παιδοτρίβης, ἢ κυβερνήτης
σκοπεῖ τὸ τῶν ἀρχομένων ἀγαθὸν· ὅταν δὲ τούτων εἷς γένη-
ται καὶ αὐτὸς, κατὰ συμβεβηκὸς μετέχει τῆς ἀσφαλείας·
ὁ μὲν γὰρ, πλωτὴρ· ὁ δὲ, τῶν γυμναζομένων εἷς γίνεται παιδο-
τρίβης ὤν· διὸ καὶ τὰς πολιτικὰς ἀρχὰς ὅταν ᾖ κατ' ἰσότητα
τῶν πολιτῶν συνεστηκυῖα καὶ καθ' ὁμοιότητα, κατὰ μέρος ἀξι-
οῦσιν ἄρχειν· πρότερον μὲν ἢ πέφυκεν ἀξιοῦντες, ἐν μέρει λειτουρ-
γεῖν καὶ σκοπεῖν τινὰ πάλιν τὸ αὐτοῦ ἀγαθὸν· ὥσπερ πρότερον
αὐτὸς ἄρχων ἐσκόπει τὸ ἐκείνου συμφέρον· νῦν δὲ διὰ τὰς ὠφελίας
τὰς ἀπὸ τῶν κοινῶν, καὶ τὰς ἐκ τῆς ἀρχῆς βούλονται συνεχῶς ἄρ-
χειν· οἷον, εἰ συνέβαινεν ὑγιαίνειν ἀεὶ τοῖς ἄρχουσι, νοσακεροῖς
οὖσι· καὶ δὲ ἀνούτως ἴσως ἐδίωκον τὰς ἀρχὰς· φανερὸν τοίνυν ὡς ὅσαι
μὲν πολιτεῖαι, τὸ κοινῆ συμφέρον σκοποῦσιν, αὗται μὲν ὀρθαὶ
τυγχάνουσιν οὖσαι κατὰ τὸ ἁπλῶς δίκαιον· ὅσαι δὲ τὸ σφέτερον
μόνον τῶν ἀρχόντων, ἡμαρτημέναι πᾶσαι· ϛ παρεκβάσεις τῶν
ὀρθῶν πολιτειῶν· δεσποτικαὶ δὲ· ἡ δὲ πόλις, κοινωνία τῶν ἐλευθέρων
ἐστὶ· διωρισμένων δὲ τούτων, ἐχόμενόν ἐστι τὰς πολιτείας ἐπι-
σκέψασθαι πόσαι τὸν ἀριθμὸν, καὶ τίνες εἰσὶ· καὶ πρῶτον
τὰς ὀρθὰς αὐτῶν καὶ γὰρ αἱ παρεκβάσεις ἔσονται φανεραὶ
τούτων διωρισθεισῶν· ἐπεὶ δὲ πολιτεία μὲν καὶ πολίτευμα ση-
μαίνει ταυτὸν· πολίτευμα δ' ἐστὶ τὸ κύριον τῶν πόλεων· ἀνάγκη δ'
εἶναι κύριον ἢ ἕνα· ἢ ὀλίγους ἢ τοὺς πολλοὺς, ὅταν μὲν ὁ εἷς ἢ οἱ ὀλί-
γοι, ἢ οἱ πολλοὶ πρὸς τὸ κοινὸν συμφέρον ἄρχωσι, ταύτας μὲν ὀρ-
θὰς ἀναγκαῖον εἶναι τὰς πολιτείας· τὰς δὲ πρὸς τὸ ἴδιον, ἢ τοῦ ἑνὸς
ἢ τῶν ὀλίγων· ἢ τοῦ πλήθους, παρεκβάσεις· ἢ δὲ οὐ πολίτας φατέον εἶ-
ναι τοὺς μετέχοντας, ἢ δεῖ κοινωνεῖν τοῦ συμφέρον τος· καλεῖν δ'
εἰώθαμεν, τῶν μὲν μοναρχιῶν τὴν πρὸς τὸ κοινὸν ἀποβλέπουσαν
συμφέρον, βασιλείαν· τὴν δὲ τῶν ὀλίγων μὲν, πλείονων δ' ἑνὸς,
ἀριστοκρατίαν ἢ διὰ τὸ τῆς ἀρίστους ἄρχειν, ἢ διὰ τὸ πρὸς τὸ ἄριστον
τῇ πόλει καὶ τοῖς κοινωνοῦσιν αὐτῆς· ὅταν δὲ τὸ πλῆθος πρὸς τὸ

κοινὸν

κοινὸν πολιτῶν συμφέρον. καλεῖται τὸ κοινὸν ὄνομα πασῶν τῶν πολιτειῶν, πολιτεία. συμβαίνει δὲ δικαίως. σμικρὰ μὲν γὰρ διαφέρειν κατ' ἀρετὴν ἢ ὀλίγους ἐνδέχεται. πλείους δ' ἤδη χαλεπὸν ἐκλείπειν πρὸς πᾶσαν ἀρετὴν. ἀλλὰ μάλιστα τὸν πολεμικὸν. αὕτη γὰρ ἐν πλήθει γίνεται. διὸ πάντα τὰ τοιαῦτα τὴν πολιτείαν, κυρίαν ἔταξαν τὸ προπολεμοῦν. μὴ μετέχουσιν αὐτῆς οἰκέται μὲν οἱ τὰ ὅπλα παρεκβάσεις δὲ τῶν εἰρημένων, τυραννὶς μὲν βασιλείας. ὀλιγαρχία δὲ, ἀριστοκρατείας. δημοκρατία δὲ, πολιτείας. ἡ μὲν γὰρ τυραννὶς, ὅστις μοναρχία, πρὸς τὸ συμφέρον τὸ τοῦ μοναρχοῦντος. ἡ δ' ὀλιγαρχία, πρὸς τὸ τῶν εὐπόρων. ἡ δὲ δημοκρατία, πρὸς τὸ συμφέρον τὸ τῶν ἀπόρων. πρὸς δὲ τὸ τῶν κοινῶν λυσιτελοῦν, δῆλον μία αὐτῶν. δεῖ δὲ μικρὰ διὰ μακροτέρων εἰπεῖν, πόσα ἑκάστη φύεται τῶν πολιτειῶν ὅστις. καὶ δέχεται τινὰς ἀπορίας. ἴδοι δὲ περὶ ἑκάστην μέθοδον φιλοσοφοῦντι, ἢ μὴ μόνον ἀποβλέποντι πρὸς τὸ πράττειν, οἰκεῖόν ἐστι, τὸ μὴ παρορᾶν μηδὲ τι καταλείπειν. ἀλλὰ δηλοῦν τὴν περὶ ἑκάστου ἀλήθειαν. ὅστις δὲ τυραννὶς μέν, μοναρχία καθάπερ εἴρηται δεσποτικὴ, τῆς πολιτικῆς κοινωνίας. ὀλιγαρχία δ' ὅταν μὲν ὦσι κύριοι τῆς πολιτείας, οἱ τὰς οὐσίας ἔχοντες. δημοκρατία δὲ, τοὐναντίον, ὅταν οἱ μὴ κεκτημένοι οὐσίας, ἀλλ' ἄποροι. πρώτην δ' ἀπορίαν πρὸς τὸν διορισμὸν ὅστιν. εἰ γὰρ εἶεν οἱ πλείους ὁντες ἄποροι, κύριοι τῆς πόλεως. δημοκρατία δ' ἐστὶν, ὅταν ἦ κύριον τὸ πλῆθος. ὁμοίως δὲ καὶ ὀλιγαρχ

τίνας γὰρ ἐρῶμεν τὰς ἄρτι λεχθείσας πολιτείας· τὴν ἐν ᾗ πλείους εὔποροι· καὶ ἐν ᾗ ἐλάττους οἱ ἄποροι· κύριοι δ' ἑκάτεροι τῶν πολιτειῶν· εἴπερ μὴ δὲ μία ἄλλη πολιτεία, παρὰ τὰς εἰρημένας ἐστὶν· ἔοικε τοίνυν ὁ λόγος ποιεῖν δηλονότι τὸ μὲν ὀλίγους ἢ πολλοὺς εἶναι κυρίους, συμβεκηκός ἐστι· τὸ μὲν, ταῖς ὀλιγαρχίαις· τὸ δὲ, ταῖς δημοκρατίαις· διὰ τὸ τοὺς μὲν εὐπόρους, ὀλίγους· πολλοὺς δ' εἶναι τοὺς ἀπόρους πανταχοῦ· διὸ δὴ συμβαίνει τὰς ῥηθείσας αἰτίας γίνεσθαι διαφορὰς, ὧδε διαφέρουσιν ἥ τε δημοκρατία καὶ ἡ ὀλιγαρχία ἀλλήλων, πενία καὶ πλοῦτός ἐστι· καὶ ἀναγκαῖον μὲν, ὅπου ἂν ἄρχωσι διὰ πλοῦτον, ἄν τε λάττους, ἄν τε πλείους, εἶναι ταύτην ὀλιγαρχίαν· ὅπου δ' οἱ ἄποροι, δημοκρατίαν· ἀλλὰ συμβαίνει καθάπερ εἴπομεν τοὺς μὲν, ὀλίγους εἶναι· τοὺς δὲ πολλοὺς· εὐποροῦσι μὲν γὰρ ὀλίγοι· τῆς δ' ἐλευθερίας μετέχουσι πάντες· δι' ἃς αἰτίας ἀμφισβητοῦσιν ἀμφότεροι τῆς πολιτείας· λεπτέον δὲ πρῶτον τίνας ὅρους λέγουσι τῆς ὀλιγαρχίας· καὶ δημοκρατίας· καὶ τί τὸ δίκαιον· τό, τε ὀλιγαρχικὸν· καὶ δημοκρατικόν· πάντες γὰρ ἅπτονται δικαίου τινὸς· ἀλλὰ μέχρι τινὸς προέρχονται· καὶ λέγουσι μὲν οὐπᾶν τὸ κυρίως δίκαιον· οἷον, δοκεῖ ἴσον τὸ δίκαιον εἶναι καὶ γάρ ἐστιν, ἀλλ' οὐπᾶσιν· ἀλλὰ τοῖς ἴσοις· καὶ τὸ ἄνισον δοκεῖ δίκαιον εἶναι· καὶ γάρ ἐστιν, ἀλλ' οὐπᾶσιν· ἀλλὰ τοῖς ἀνίσοις· οἱ δὲ, τοῦτ' ἀφαιροῦσι· τὸ οἷς, καὶ κρίνουσι κακῶς· τὸ δ' αἴτιον ὅτι περὶ αὐτῶν ἡ κρίσις· σχεδὸν δ' οἱ πλεῖστοι, φαῦλοι κριταὶ περὶ τῶν οἰκίων, ὥστ' ἀλλὰ τὸ δίκαιον τισὶ καὶ διῄρηται τὸν αὐτὸν τρόπον ἐπί τε τῶν πραγμάτων καὶ οἷς· καθάπερ εἴρηται πρότερον ἐν τοῖς ἠθικοῖς· τὴν μὲν τοῦ πράγματος ἰσότητα ὁμολογοῦσι· τὴν δὲ οἷς, ἀμφισβητοῦσι μάλιστα μὲν, διὰ, τὸ λεχθὲν ἄρτι· διότι κρίνουσι τὰ περὶ αὐτοὺς κακῶς· ἔπειτα δὲ, καὶ διὰ τὸ λέγειν μέχρι τινὸς ἑκατέρους δίκαιόν τινο μίζουσι δίκαιον λέγειν ἁπλῶς· οἱ μὲν γὰρ ἂν κατά τι ἄνισοι ὦσιν, οἷον χρήμασιν, ὅλως οἴονται

ἄνισοι

ἄνισοι εἶναι· οἱ δ' ἂν κατά τι ἴσοι· οἷον, ἐλευθέριοι, ὅλως ἴσοι· τὸ δὲ κυριώτατον οὐλέγουσιν· εἰ μὲν γὰρ τῶν κτημάτων χάριν ἐκοινώνησαν καὶ συνῆλθον, τοσοῦτον μετέχουσι τῆς πόλεως, ὅσον περ τὸ τῆς κτήσεως· ὥσθ' ὁ τῶν ὀλιγαρχικῶν λόγος δόξειεν ἂν ἰσχύειν· οὐ γὰρ εἶναι δίκαιον ἴσον μετέχειν τῶν ἑκατὸν μνῶν, τὸν εἰσενέγκαντα μίαν μνᾶν, τῷ δόντι τὸ λοιπὸν πᾶν· οὔτε τῶν ἐξαρχῆς, οὔτε τῶν ὑπαγινομένων· εἰ δὲ μήτε τοῦ ζῆν μόνον ἕνεκεν, ἀλλὰ μᾶλλον τοῦ εὖ ζῆν· καὶ γὰρ ἂν δούλων καὶ τῶν ἄλλων ζώων ἦν πόλις· νῦν δ' οὐκ ἔστι διὰ τὸ μὴ μετέχειν εὐδαιμονίας μὴ δὲ τοῦ ζῆν κατὰ προαίρεσιν· μήτε συμμαχίας ἕνεκεν ὅπως ὑπὸ μηδενὸς ἀδικῶνται· μήτε διὰ τὰς ἀλλαγὰς καὶ τὴν χρῆσιν τὴν πρὸς ἀλλήλους· καὶ γὰρ ἂν τυῤῥηνοὶ καὶ καρχηδόνιοι καὶ πάντες οἷς ἔστι σύμβολα πρὸς ἀλλήλους, ὡς μιᾶς ἂν πολῖται πόλεως ἦσαν· εἰσὶ γοῦν αὐτοῖς συνθῆκαι περὶ τῶν εἰσαγωγίμων σύμβολα περὶ τοῦ μὴ ἀδικεῖν, καὶ γραφαὶ περὶ συμμαχίας· ἀλλ' οὔτ' ἄρχαι πᾶσιν ἐπὶ τούτοις κοιναὶ καθεστᾶσιν· ἀλλ' ἕτεραι παρ' ἑκατέροις, οὔτε τοῦ ποιούς τινας εἶναι δεῖ· φροντίζουσιν ἅτεροι τοὺς ἑτέρους· οὐδ' ὅπως μηδεὶς ἄδικος ἔσται τῶν ὑπὸ τὰς συνθήκας, μὴ δὲ μοχθηρίαν ἕξειν μηδὲ μίαν, ἀλλὰ μόνον ὅπως μηδὲν ἀδικήσωσιν ἀλλήλους· περὶ δ' ἀρετῆς καὶ κακίας πολιτικῆς διασκοποῦσιν ὅσοι φροντίζουσιν εὐνομίας· ἦ καὶ φανερὸν, ὅτι δεῖ περὶ ἀρετῆς ὠμελὲς εἶναι τῇ γῶσ ἀληθῶς ὀνομαζομένῃ πόλει, μὴ λόγου χάριν· γίνεται γὰρ ἡ κοινωνία συμμαχία τῶν ἄλλων, τόπῳ διαφέρουσα μόνον, τῶν ἄποθεν συμμάχων· καὶ ὁ νόμος συνθήκη· καθάπερ ἔφη λυκόφρων ὁ σοφιστὴς, ἐγγυητὴς ἀλλήλοις τῶν δικαίων, ἀλλ' οὐχ οἷος ποιεῖν ἀγαθοὺς καὶ δικαίους τοὺς πολίτας· ὅτι τοῦτον ἔχει τὸν τρόπον, φανερόν· εἰ γάρ τις καὶ συνάγοι τοὺς τόπους εἰς ἕν, ὥστε ἅπτεσθαι τῶν μεγαρέων πόλιν καὶ κορινθίων τοῖς τείχεσιν; ὅμως οὐ μία πόλις· οὐδεὶ πρὸς ἀλλήλους ὠμαγαμίας ποιήσαιντο·

καίτοι τοῦ τρεῖν ἰδίων ταῖς πόλεσι κοινωνημάτων ἐστὶν· ὁμοίως
δ' οὐδ' εἴτινες οἰκοῖεν χωρὶς μὲν, μὴ μέντοι τοσοῦτ' ἀποθεν ἦεν,
ὥστε μὴ κοινωνεῖν· ἀλλ' εἰ ἦσαν αὐτοῖς νόμοι· τοὺς μὴ σφᾶς αὐτοὺς
ἀδικεῖν περὶ τὰς μεταδόσεις· οἷον, ὁ μὲν εἴη τέκτων· ὁ δὲ γεωργὸς·
ὁ δὲ σκυτοτόμος· ὁ δ' ἄλλο τι τοιοῦτον· καὶ τὸ πλῆθος εἶεν μυρίοι·
μὴ μέν τοι κοινωνοῖεν ἄλλου μηδενὸς ἢ τῶν τοιούτων· οἷον, ἀλλαγῆς·
καὶ συμμαχίας· οὐδ' οὕτω πουτόλις, διὰ τίνα δήποτ' αἰτίαν·
οὐ γὰρ δὴ διὰ τὸ μὴ συνέγγυς τῆς κοινωνίας· εἰ γὰρ καὶ συν-
έλθοιεν οὕτω κοινωνοῦντες, ἕκαστος μέν τοι χρῶτο τῇ ἰδίᾳ οἰ-
κίᾳ, ὥσπερ πόλει καὶ σφίσιν αὐτοῖς ὡς ἐπιμαχίας οὔσης βο-
ηθοῦντες καὶ τοὺς ἀδικοῦντας μόνον, οὐδ' οὕτως ἂν εἶναι δόξειε
πόλις τοῖς ἀκριβῶς θεωροῦσιν, εἴπερ ὁμοίως ὁμιλοῖεν συνελ-
θόντες καὶ χωρὶς· φανερὸν τοίνυν ὁ τιὴ πόλις οὐκ ἔστι κοινωνία
τόπου καὶ τοῦ μὴ ἀδικεῖν σφᾶς αὐτοὺς, καὶ τῆς μεταδόσε-
ως χάριν· ἀλλὰ ταῦτα μὲν ἀναγκαῖον ὑπάρχειν εἴπερ ἔσται πό-
λις· οὐ μὴν οὐδ' ὑπαρχόντων τούτων ἁπάντων, ἤδη πόλις· ἀ-
λλ' ἡ τοῦ εὖ ζῆν κοινωνία, καὶ ταῖς οἰκίαις καὶ τοῖς γένε σι ζωῆς τε-
λείας χάριν καὶ αὐτάρκους· οὐκ ἔσται μέν τοι τοῦτο μὴ τὸν αὐτὸν
καὶ ἕνα κατοικούντων τόπον καὶ χρωμένων καὶ γαμίαις· διὸ κη-
δεῖαί τε γένοντο, κατὰ τὰς πόλεις καὶ φατρίαι, καὶ θυσίαι,
καὶ διαγωγαὶ· τοῦ συζῆν· τὸ δὲ τοιοῦτον φιλίας ἔργον· ἡ γὰρ τοῦ
συζῆν προαίρεσις, φιλία· τέλος μὲν οὖν πόλεως τὸ εὖ ζῆν· ταῦ-
τα δὲ τοῦ τέλους χάριν· πόλις δὲ, ἡ γενῶν καὶ κωμῶν κοινωνία,
ζωῆς τελείας καὶ αὐτάρκους· τοῦτο δ' ἐστὶν ὡς φαμὲν, τὸ ζῆν εὐδαιμό-
νως καὶ καλῶς· τῶν καλῶν ἄρα πράξεων χάριν θετέον εἶναι τὴν πο-
λιτικὴν κοινωνίαν, ἀλλ' οὐ τοῦ συζῆν· διόπερ ὅσοι συμβάλλονται
πλεῖστον εἰς τὴν τοιαύτην κοινωνίαν τοῦτο τῶν πόλεσι μέτεστι πλεῖον· ἢ τοῦ
κατὰ μὲν ἐλευθερίαν καὶ γένος ἴσοις ἢ μείζοσι· κατὰ δὲ τὴν πολιτικὴν
ἀρετὴν ἀνίσοις, ἢ τοῖς κατὰ πλοῦτον ὑπερέχουσι· κατὰ ἀρετὴν δ' ὑπερε-
χομένοις· ὅτι μὲν οὖν πάντες οἱ περὶ τῶν πολιτειῶν ἀμφισβητοῦντες·

μέρος

μέρος τί τοῦ δικαίου λέγουσι, φανερὸν ἐκ τῶν εἰρημένων. ἔχει δ' ἀπορίαν τί δεῖ τὸ κύριον εἶναι τῆς πόλεως. ἢ γὰρ τοι τὸ πλῆθος ἢ τοὺς πλουσίους. ἢ τοὺς ὀλιγαρχικεῖς. ἢ τὸν βέλτιστον ἕνα πάντων. ἢ τύραννον, ἀλλὰ ταῦτα πάντα ἔχειν φαίνεται δυσκολίαν. τί δὲ ἂν οἱ πένητες διὰ τὸ πλείους εἶναι διανέμωνται τὰ τῶν πλουσίων. τοῦτ' οὐκ ἄδικόν ἐστιν. ἔδοξε δὲ νὴ διὰ τῷ κυρίῳ δικαίως. τὴν οὖν ἀδικίαν τί χρὴ λέγειν τὴν ἐσχάτην. πάλιν τε πάντων ληφθέντων οἱ πλείους τὰ τῶν ἐλαττόνων ἂν διανέμωνται, φανερὸν ὅτι φθείρουσι τὴν πόλιν, ἀλλὰ μὴν, οὐχ ἡ ἀρετὴ φθείρει τὸ ἔχον αὐτὴν. οὐ δὴ τὸ δίκαιον πόλεως φθαρτικόν. ὥστε δῆλον ὅτι δὲ τὸν νόμον τοῦτον, οὐχ οἷόν τ' εἶναι δίκαιον. ἔτι δὲ τὰς πράξεις ὅσας ὁ τύραννος ἔπραξεν. ἀναγκαῖον εἶναι πάσας δικαίας. βιάζεται γὰρ οὖν κρείττων, ὥσπερ καὶ τὸ πλῆθος τοὺς πλουσίους. ἀλλ' ἄρα τοὺς ἐλάττους δίκαιον ἄρχειν ἢ τοὺς πλουσίους. ἂν οὖν κἀκεῖνοι ταῦτα ποιῶσι καὶ διαρπάζωσι καὶ τὰ κτήματα ἀφαιρῶνται τοῦ πλήθους, τοῦτ' ἔστι δίκαιον, καὶ θάτερον ἄρα. ταῦτα μὲν τοίνυν ὅτι πάντα φαῦλα καὶ οὐ δίκαια, φανερόν. ἀλλὰ τοὺς ὀλιγαρχικεῖς ἄρχειν δεῖ καὶ κυρίους εἶναι πάντων. οὐκ οὖν ἀνάγκη τοὺς ἄλλους ἀτίμους εἶναι πάντας μὴ τιμωμένους ταῖς πολιτικαῖς ἀρχαῖς. τιμὰς γὰρ λέγομεν εἶναι τὰς ἀρχὰς. ἀρχόντων δ' αἰεὶ τῶν αὐτῶν, ἀναγκαῖον εἶναι τοὺς ἄλλους ἀτίμους. ἀλλ' ἕνα τὸν πουδαιότατον ἄρχειν βέλτιον, ἀλλ' ἔτι τοῦτο ὀλιγαρχικώτερον. οἱ γὰρ ἄτιμοι πλείους. ἀλλ' ἴσως φαίη τίς ἂν τὸ κύριον, ὅλους ἄνθρωπον εἶναι. ἀλλὰ μὴ νόμον φαῦλον ἔχον τάγε τὰ συμβαίνοντα πάθη περὶ τὴν ψυχὴν. ἂν οὖν ἡ νόμος μὲν, ὀλιγαρχικὸς δὲ ἡ δημοκρατικὸς, τί διοίσει περὶ τῶν ἠπορημένων. συμβήσεται γὰρ ὁμοίως τὰ λεχθέντα πρότερον. περὶ μὲν οὖν τῶν ἄλλων, ἔστω τίς ἕτερος λόγος. ὅτι δὲ δεῖ κύριον εἶναι μᾶλλον τὸ πλῆθος, ἢ τοὺς ἀρίστους μὲν, ὀλίγους δὲ, δόξειεν ἂν λύεσθαι καί τιν' ἔχειν ἀπορίαν. τάχα δὲ κἂν ἀλήθειαν.

τοὺς γὰρ πολλοὺς ὧν ἕκαστός ἐστιν ὀσπουδαῖος ἀνὴρ, ὅμως ἐνδέ-
χεται συνελθόντας εἶναι βελτίους ἐκείνων, οὐχ ὡς ἕκαστον, ἀλ-
λ' ὡς σύμπαντας· οἷον τὰ συμφορητὰ δεῖπνα, τῶν ἐκ μιᾶς
δαπάνης χορηγηθέντων· πολλῶν γὰρ ὄντων, ἕκαστον μόριον ἔ-
χειν ἀρετῆς φρονήσεως, ἐπίνεσθαι συνελθόντας, ὥσπερ ἕνα ἄνδρ-
τὸ πλῆθος, πολύπολυ δὲ πολύχειρα, πολλὰς ἔχοντα αἰσθήσεις, ὅ-
τω καὶ περὶ τὰ ἤθη καὶ τὴν διάνοιαν· διὸ καὶ κρίνουσιν ἄμει-
νον οἱ πολλοὶ καὶ τὰ τῆς μουσικῆς ἔργα καὶ τὰ τῶν ποιητῶν·
ἄλλοι γὰρ, ἀλλότι μόριον· πάντα δὲ πάντες· ἀλλὰ τούτω
διαφέρουσιν οἱ σπουδαῖοι τῶν ἀνδρῶν ἑκάστου τῶν πολλῶν· ὥσ-
περ καὶ τῶν μὴ καλῶν, τοὺς καλοὺς φασὶ· καὶ τὰ γεγραμμένα διὰ
τέχνης τῶν ἀληθινῶν, τῷ συνῆχθαι τὰ διεσπαρμένα χωρὶς,
εἰς ἕν· ἐπεὶ κεχωρισμένων γε κάλλιον ἔχειν τοῦ γεγραμμένου
τοῦ δὲ μὲν τὸν ὀφθαλμὸν, ἑτέρου δέ τινος ἕτερον μόριον· εἰ μὲν
οὖν περὶ πάντα δῆμον καὶ περὶ πᾶν πλῆθος, ἐνδέχεται ταύ-
την εἶναι τὴν διαφορὰν τῶν πολλῶν πρὸς τοὺς ὀλίγους σπου-
δαίους ἄδηλον· ἴσως δὲ νὴ δία δῆλον ὅτι περὶ ἐνίων, ἀ-
δύνατον· ὁ γὰρ αὐτὸς κἂν ἐπὶ τῶν θηρίων ἁρμόσειε λόγος· καί
τοι τί διαφέρουσιν ἔνιοι τῶν θηρίων ὡς ἔπος εἰπεῖν· ἀλλὰ πε-
ρί τι πλῆθος οὐδὲν εἶναι κωλύει τὸ λεχθὲν ἀληθὲς· διὸ καὶ τὴν
πρότερον εἰρημένην ἀπορίαν, λύσειεν ἄν τις διὰ τούτων, καὶ
τὴν ἐχομένην αὐτῆς· τίνων δεῖ κυρίους εἶναι τοὺς ἐλευθέρους·
καὶ τὸ πλῆθος τῶν πολιτῶν· τοι οὗτοι δ' εἰσὶν, ὅσοι μήτε πλού-
σιοι· μήτε ἀξίωμα ἔχουσιν ἀρετῆς μηδεὲν, τὸ μὲν γὰρ μετέχειν
αὐτοὺς τῶν ἀρχῶν τῶν μεγίστων, οὐκ ἀσφαλὲς· διά τε γὰρ
ἀδικίαν· καὶ δι' ἀφροσύνην, τὰ μὲν ἀδικεῖν ἄν, τὰ δ' ἁμαρ-
τάνειν αὐτοὺς· τὸ δὲ μὴ μετὰ διδόναι, μὴ δὲ μετέχειν, φοβερόν·
ὅταν γὰρ ἄτιμοι πολλοὶ καὶ πένητες ὑπάρχωσι, πολεμίων
ἀναγκαῖον εἶναι πλήρη τὴν πόλιν ταύτην· λείπεται δὴ τοῦ
βουλεύεσθαι καὶ κρίνειν μετέχειν αὐτοὺς· διὸ περὶ καὶ σόλωνος·

καὶ τῶν ἄλλων τινὲς νομοθετῶν, τάττουσιν ἐπίτετας ἀρχαιρεσίας
καὶ τὰς εὐθύνας τῶν ἀρχόντων· ἄρχειν δὲ κατὰ μόνας οὐκ ἐῶσι· πάν
τες μὲν γὰρ ἔχουσι συνελθόντες, ἱκανὴν αἴσθησιν· ἅμι γνύμενοι
τοῖς βελτίοσι, τὰς πόλεις ὠφελοῦσι καθάπερ ἡ μὴ καθαρὰ
τροφὴ μετὰ τῆς καθαρᾶς τὴν πᾶσαν ποιεῖ χρησιμωτέραν τῆς
ὀλίγης· χωρὶς δ' ἕκαστος ἀτελὴς περὶ τὸ κρίνειν ἐστίν· ἔχει δ' ἡ
τάξις αὕτη τῆς πολιτείας ἀπορίαν· πρώτην μὲν, ὅτι δόξειεν
ἄν τοι αὐτοῖ εἶναι τὸ κρίναι τίς ὀρθῶς ἰάτρευκεν, οὗπερ καὶ τὸ
ἰατρεῦσαι καὶ ποιῆσαι ὑγιᾶ τὸν κάμνοντα, τῆς νόσου τῆς παρού
σης· οὗτος δ' ἐστὶν ἰατρὸς· ὁμοίως δὲ τοῦτο καὶ περὶ τὰς ἄλ-
λας ἐμπειρίας καὶ τέχνας· ὥσπερ οὖν ἰατρὸν δεῖ διδόναι τὰς
εὐθύνας ἐν ἰατροῖς, οὕτω καὶ τοὺς ἄλλους, ἐν τοῖς ὁμοίοις· ἰα-
τρὸς δ' ὅ, τε δημιουργὸς ἢ ὁ ἀρχιτεκτονικὸς· ἅ τρίτο, ὅπεπαι
δευμένος περὶ τὴν τέχνην· εἰσὶ γάρ τινες τοιοῦτοι καὶ περὶ
πάσας ὡς εἰπεῖν τὰς τέχνας· ἀποδίδομεν δὲ τὸ κρίνειν, οὐδὲν
ἧττον τοῖς πεπαιδευμένοις, ἢ τοῖς εἰδόσιν· ἔπειτα καὶ περὶ
τὴν αἵρεσιν, τὸν αὐτὸν ἀνδόξειεν ἔχειν τρόπον· καὶ γὰρ τὸ ἑλέ-
σθαι ὀρθῶς, τῶν εἰδότων ἔργον ἐστὶν· οἷον, γεωμέτρην τὲ τῶν
γεωμετρικῶν· καὶ κυβερνήτην, τῶν κυβερνητικῶν· εἰ γὰρ ἢ
περὶ ἐνίων ἔργων καὶ τεχνῶν μετέχουσι ἢ τῶν ἰδιωτῶν τινες.
ἀλλ' οὔτι τῶν εἰδότων γεμᾶλλον· ὥστε κατὰ μὲν τοῦτον τὸν
λόγον, οὐκ ἂν εἴη τὸ πλῆθος ποιητέον κύριον· οὔτε τῶν ἀρχαι-
ρεσιῶν, οὔτε τῶν εὐθυνῶν· ἀλλ' ἴσως οὐ πάντα ταῦτα λέγεται
καλῶς, διά τε τὸν πάλαι λόγον ἂν ᾖ τὸ πλῆθος μηλίαν ἄνδρα
ποδῶδες·, ἔσται γὰρ ἕκαστος μὲν χείρων κριτὴς τῶν εἰδότων·
ἅπαντες δὲ συνελθόντες, ἢ βελτίους ἢ οὐχείρους· καὶ ὅτι περὶ
ἐνίων, οὔτε μόνον ὁ ποιήσας, οὔτ' ἄρις' ἂν κρίνειεν ὅσων τὰ ἔργα
γιγνώσκουσι καὶ οἱ μὴ ἔχοντες τὴν τέχνην· οἷον οἰκίαν, οὐ μόνον
ἐστὶ γνῶναι τοῦ ποιήσαντος, ἀλλὰ καὶ βέλτιον ὁ χρώμενος αὐ-
τοῦ κρινεῖ· χρῆται δ' ὁ οἰκονόμος ἢ πηδάλιον· κυβερνήτης τέκτονο

καὶ θοίνην, ὁ Δαιτυμών, ἀλλ' οὐχ ὁ μάγειρος. ταύτην μὲν οὖν τὴν
ἀπορίαν· τάχα δόξειέ τις ἂν οὕτω λύειν ἱκανῶς· ἄλλη δ' ἐστὶν ἐ-
χομένη ταύτης· δοκεῖ γὰρ ἄτοπον εἶναι, τὸ μειζόνων εἶναι κυρί-
ους τοὺς φαύλους τῶν ἐπιεικῶν· αἱ δ' εὐθύναι καὶ αἱ τῶν ἀρχῶν αἱ-
ρέσεις εἰσὶ μέγιστον· ἃς ἐν ἐνίαις πολιτείαις ὥσπερ εἴρηται τοῖς
δήμοις ἀποδιδόασιν· ἡ γὰρ ἐκκλησία κυρία πάντων τῶν τοιού-
των ἐστί· καί τοι τῆς μὲν ἐκκλησίας μετέχουσι καὶ βουλεύουσι καὶ
δικάζουσιν ἀπὸ μικρῶν τιμημάτων καὶ τῆς τυχούσης ἡλικί-
ας· ταμιεύουσι δὲ, καὶ στρατηγοῦσι· καὶ τὰς μεγίστας ἀρχὰς ἔχου-
σιν ἀπὸ μεγάλων· ὁμοίως δή τις ἀν λύσειε καὶ ταύτην τὴν ἀπο-
ρίαν· ἴσως δὲ ἔχει καὶ ταῦτ' ὀρθῶς· οὐδὲ ὁ δικαστὴς, οὐδ' ὁ βουλευτὴς, οὐδ' ὁ ἐκ-
κλησιαστὴς ἄρχων ἐστίν· ἀλλὰ τὸ δικαστήριον καὶ ἡ βουλὴ καὶ ὁ δῆμος· τῶν δὲ
ῥηθέν τῶν ἕκαστος μόριον ἐστὶ τούτων· λέγω δὲ μόριον τὸν βουλευτὴν καὶ τὸν ἐκ-
κλησιαστὴν, καὶ τὸν δικαστὴν, ὥστε δικαίως κύριον μειζόνων τὸ
πλῆθος· ἐκ γὰρ πολλῶν ὁ δῆμος καὶ ἡ βουλὴ καὶ τὸ δικαστή-
ριον· καὶ τὸ τίμημα δὲ πλεῖον τὸ πάντων τούτων· ἢ τὸ τῶν καθ'
ἕνα· καὶ κατ' ὀλίγους μεγάλας ἀρχὰς ἐχόντων· ταῦτα μὲν
οὖν διωρίσθω τοῦτον τὸν τρόπον· ἡ δὲ πρώτη λεχθεῖσα ἀπο-
ρία, ποιεῖ φανερόν, οὐδὲν οὕτως ἕτερον· ὡς ὅτι δεῖ τοὺς νό-
μους εἶναι κυρίους καὶ μένους ὀρθῶς· τὸν ἄρχοντα δὲ ἄντε
εἷς, ἄντε πλείους ὦσι· περὶ τούτων εἶναι κυρίους, περὶ ὅσων
ἐξ ἀδυνατοῦσιν οἱ νόμοι λέγειν ἀκριβῶς, διὰ τὸ μὴ ῥᾴδιον εἶ-
ναι καθόλου δηλῶσαι περὶ πάντων· ὁποίους μέν τοι τινὰς
εἶναι δεῖ τοὺς ὀρθῶς καὶ μένους νόμους· οὐδὲν πω δῆλον· ἀλλ'
ἔτι μένει τὸ, πάλαι διαπορηθέν· ἀλλὰ δὲ καὶ ὁμοίως ταῖς πολιτεί-
αις, ἀνάγκη καὶ τοὺς νόμους φαύλους, ἢ σπουδαίους εἶναι· καὶ δικαίους,
ἢ ἀδίκους· πλὴν τοῦτό γε φανερὸν, ὅτι δεῖ πρὸς τὴν πολιτείαν κεῖσθαι
τοὺς νόμους· ἀλλὰ μὴν εἰ τοῦτο, δῆλον ὅτι τοὺς μὲν κατὰ τὰς ὀρθὰς
πολιτείας, ἀναγκαῖον εἶναι δικαίους· τοὺς δὲ κατὰ τὰς παρεκβεβηκυῖ-
οὐ δικαίους·

οὐδικαίους. ἐπεὶ δ' ἐν πάσαις μὲν ταῖς ἐπιστήμαις καὶ τέχνῃ ἀγαθὸν τὸ τέλος, μέγιστον δὲ, καὶ μάλιστα ἐν τῇ κυριωτάτῃ πασῶν. αὕτη δ' ἐστὶν ἡ πολιτικὴ δύναμις, ἔστι δὲ πολιτικὸν ἀγαθὸν τὸ δίκαιον. τοῦτο δ' ἐστὶ τὸ κοινῇ συμφέρον, δοκεῖ δὲ πᾶσιν ἰσόν τι τὸ δίκαιον εἶναι. καὶ μέχρι γέτινος ὁμολογοῦσι τοῖς κατὰ φιλοσοφίαν λόγοις, ἐν οἷς διώρισται περὶ τῶν ἠθικῶν. τίσι καὶ τίσι τὸ δίκαιον. καὶ δεῖν τὸ ἴσοις ἴσον εἶναί φασι. τρίων δ' ἰσότ' ἐστὶ καὶ τρίων ἀνισότης, δεῖ μὴ λανθάνειν. ἔχει γὰρ τοῦτ' ἀπορίαν καὶ φιλοσοφίαν πολιτικήν. ἴσως γὰρ ἂν φαίη τις κατὰ παντὸς ὑπεροχὴν ἀγαθοῦ, δεῖν ἀνίσως νενεμῆσθαι τὰς ἀρχὰς. εἰ πάντα τὰ λοιπὰ μηδὲν διαφέροιεν, ἀλλ' ὅμοιοι τυγχάνοιεν ὄντες. τοῖς γὰρ διαφέρουσιν ἕτερον εἶναι τὸ δίκαιον καὶ τὸ κατ' ἀξίαν. ἀλλὰ μὴν εἰ τοῦτ' ἀληθὲς, ἔσται καὶ κατὰ χρῶμα καὶ κατὰ μέγεθος. καὶ καθ' ὁτιοῦν τῶν ἀγαθῶν, πλεονεξία τις τῶν πολιτικῶν δικαίων τοῖς ὑπερέχουσιν. ἢ τοῦτο ἐπὶ τὸ λαιὸν τὸ ψεῦδος. φανερὸν δ' ἐπὶ τῶν ἄλλων ἐπιστημῶν καὶ δυνάμεων. τῶν γὰρ ὁμοίων αὐλητῶν τὴν τέχνην, οὐδοτέον πλεονεξίαν τῶν αὐλῶν τοῖς εὐγενεστέροις. οὐδὲν γὰρ αὐλήσουσι βέλτιον. δεῖ δὲ τῷ κατὰ τὸ ἔργον ὑπερέχοντι, διδόναι καὶ τῶν ὀργάνων τὴν ὑπεροχήν. εἰ δὲ μήπω δῆλον τὸ λεγόμενον, ἔτι μᾶλλον αὐτὸ προαγαγοῦσιν ἔσται φανερόν. εἰ γὰρ εἴη τις ὑπερέχων μὲν, κατὰ τὴν αὐλητικὴν, πολὺ δ' ἐλλείπων κατ' εὐγένειαν ἢ κάλλος, εἰ καὶ μεῖζον ἕκαστον ἐκείνων, ἀγαθόν ἐστι τῆς αὐλητικῆς, λέγω δὲ τὴν τ' εὐγένειαν καὶ τὸ κάλλος, καὶ κατὰ τὴν ἀναλογίαν ὑπερέχουσι πλέον τῆς αὐλητικῆς, ἢ ἐκεῖνος κατὰ τὴν αὐλητικὴν, ὅμως τούτῳ δοτέον τοὺς διαφέροντας τῶν αὐλῶν. δεῖ γὰρ εἰς τὸ ἔργον συμβάλλεσθαι τὴν ὑπεροχὴν, καὶ τοῦ πλούτου, καὶ τῆς εὐγενείας, συμβάλλοντι δ' οὐδὲν. ἔτι κατάγε τοῦτον τὸν λόγον πᾶν ἀγαθὸν πρὸς πᾶν ἂν εἴη συμβλητὸν. εἰ γὰρ μᾶλλον τὸ τί μέγεθος, καὶ ὅλῃ ἂν τὸ μέγεθος ἐνάμιλλον εἴη. καὶ πρὸς πλοῦτον. καὶ πρὸς ἐλευθερίαν. ὡς τ' εἰ πλεῖον ὁ δὲ διαφέρει

κατ' ἀρετὴν μὴ πλεῖον ὑποφέρειν ὅλως ἀρετῆς μέτεσθαι, εἰ
δὲ συμβαίνει τὰ πάντα· ὁπόσον δὲ μέγεθος, εἰ κρεῖττον ὁρᾶν ὁπόσου δεῖ, φανερὸν δὲ καὶ τοῦτο, φανερὸν ὡς ἴσον· ἐπεὶ γὰρ τοῦ πλείστου ἕνεκα ἡ πόλις ἐστίν, ἀνάλογον· οὐκ ἀπὸ πάσαν ἀνισότητα ἀμφισβητοῦσιν ἀρχῶν· εἰ γὰρ οἱ μὲν βραδεῖς, οἱ δὲ ταχεῖς, οὐδὲν διὰ τοῦτο δεῖ τοὺς μὲν πλεῖον, τοὺς δ' ἔλαττον ἔχειν ἀλλ' ἢ τοῖς γυμνικοῖς ἀγῶσιν, ἐν τούτων διαφορὰ λαμβάνει τὴν τιμὴν· ἀλλ' ἐξ ὧν πόλις συνέστηκεν, ἐν τούτοις ἀναγκαῖον τοιεῖσθαι τὴν ἀμφισβήτησιν· διὸ πρὸς λόγως ἂν τιποιοῦνται τῆς τιμῆς, οἱ μὲν εὐγενεῖς καὶ ἐλεύθεροι καὶ πλούσιοι· δεῖ γὰρ ἐλευθέρους τ' εἶναι καὶ τίμημα φέροντας· οὐ γὰρ ἂν εἴη πόλις ἐξ ἀπόρων πάντων, ὥσπερ οὐδ' ἐξ δούλων· ἀλλὰ μὴν εἰδεῖ τούτων δῆλον ὅτι καὶ δικαιοσύνης, καὶ τῆς πολεμικῆς ἀρετῆς· οὐδὲ γὰρ ἄνευ τούτων οἰκεῖσθαι πόλιν δυνατόν· πλὴν ἀνὰ μὲν τῶν προτέρων, ἀδύνατον εἶναι πόλιν· ἄνευ δὲ τῶν οἰκεῖσθαι καλῶς· πρὸς μὲν δὴ τὸ πόλιν εἶναι δόξειεν ἂν ἡμῖν πάντας ἢ ἐνίους τούτων ὀρθῶς ἀμφισβητεῖν· πρὸς μὲν τοι τὸ ζῆν ἀσεβὲς ἂν ἡ ποιεῖσθαι ἢ τὴν ἀρετήν, μάλιστα δικαίως ἂν ἀμφισβητοίησαν, καθάπερ εἴρηται καὶ πρότερον· ἐπεὶ δ' οὔτε πάντων ἴσων ἔχειν δεῖ χρὴ ἴσους ἐν τι μόνον ὄντας· οὔτε ἄνισον χρὴ ἀνίσους καθ' ἓν, ἀνάγκη πᾶσα εἶναι τὰς τοιαύτας πολιτείας παρεκβάσεις· εἴρηται μὲν οὖν καὶ πρότερον, ὅτι δικαίως μὲν τοῦσι πρόσωπον τιν' ἀξίωσιν πάντες, ἀπλῶς δ' ὁ πάντις δικαίως· οἱ μὲν γὰρ ὀλίγοι μᾶλλον, ὅτι πλείους μέτεστι χώρας αὐτοῖς· ἢ γὰρ χώρα κοινόν· ἔτι πρὸς τὰς συμβολὰς πιστοὶ μᾶλλον ὡς ἐπὶ τὸ πλέον· οἱ δ' ἐλεύθεροι μᾶλλον δικαίως· ἕνεκα γὰρ ἀμφότεροι τοῦ ἀγαθοῦ· ἡδονὴ δὲ καὶ χρήματα, ἐν ἑκάστοις οἰκοτιμία· ἔτι δὲ τὸ βελτίους εἶναι κρείττω τῶν βελτίονων· ὑπάρχειν γὰρ δοκεῖ ἀρετὴ ἐν ᾧ· ὁμοίως δὲ φήσομεν δικαίως εἶναι τὰ ἀρετὰ ἀμφισβητεῖν· κοινωνικὸν γὰρ ἀρετὴ εἶναι φαμὲν τὸ δικαιοσύνην· ἢ πᾶσ· ἀναγκαῖον ἀκολουθεῖν τὰς ἄλλας· ἀλλὰ μὴν οἱ πλείους πρὸς τοὺς ἐλάττους·

καὶ γὰρ

καὶ γὰρ κρείττους καὶ πλουσιώτεροι καὶ βελτίους εἰσὶν, ὡς λαμβανομένων τῶν πλούτων πρὸς τοὺς ἐλάττους. ἆρ' οὖν εἰ πάντες εἶεν χώμιαι πόλεως λέγων, οἷον, οἱ πεττευταὶ ἢ οἱ πλούσιοι καὶ δημοτικοὶ ἔτι δὲ πλῆθος ἄλλο τι πολιτικὸν, πότερον ἀμφισβήτησις ἔσται, τίνας ἀρχὴν δεῖ ἢ οὐκ εἶναι καθ' ἑκάστην μὴν οὖν πολιτείαν τ' εἰρημένων, ἀναμφισβήτητος ἡ κρίσις τίνας ἀρχὴν δεῖ· τ' γὰρ κυρίοις διαφέρουσιν ἀλλήλων· οἷον ἡ μὲν, ζυγὸν διὰ πλουσίων· ἡ δὲ ζυγὸν διὰ τῶν πολλῶν ἀνδρῶν εἶναι ἢ τ' ἀλλων ἑκάστην τὸν αὐτὸν τρόπον· ἀλλ' ὅμως συμπίπτει μὴν ὅταν περὶ τὸν αὐτὸν ταῦθ' ὑπάρχῃ χρόνον, ὥσπερ δοκεῖ δεῖν· εἰδὴ τ' ἀριθμὸν ὀλίγοι πάμπαν οἱ τὴν ἀρετὴν ἔχοντες, τίνας δεῖ δι' ἣν δεῖ τρόπον· ἢ καὶ ὀλίγοι πρὸς τὸ ἔργον δεῖ σκοπεῖν, εἰ δυνατοὶ δοκοῦσιν εἶναι τὴν πόλιν· ἢ τοσοῦτοι τὸ πλῆθος, ὥστ' εἶναι πόλιν αὐτῶν. Ἔστι δ' ἀπορία τὶς πρὸ ἁπάντων τοὺς διαμφισβητοῦντας περὶ τ' πολιτικῶν τιμῶν. δόξαι γὰρ οὐδὲν λέγειν δίκαιον οἱ δὲ τὸν πλοῦτον ἀξιοῦντες ἄρχειν· ὁμοίως ἢ οἱ καὶ τὰ γένος· δῆλον δὴ ὡς εἴ τις πόλιν εἰς πλουσιώτερος ἁπάντ' ὄν, δῆλον ὅτι καὶ τὰ αὐτὸ δίκαιον τοῦτον ἄρχειν τὸν ἕνα ἁπάντ' δεῖσθαι· ὁμοίως ἢ τ' εὐγενείας διαφέροντες, τ' ἀμφισβητούντων δεῖ λυθῆναι· ταῦτα δ' ἴσως συμβαίνει· ἢ πρεῖττος ἀριστοκρατεῖ ἐπὶ τ' ἀρετῆς εἰσάρτησις εἰς ἀμείνω ἀνὴρ εἶναι τ' αὐτῶν, τ' ἐν τῷ πολιτεύματι πάντων ὁμοίων, τοῦτον εἶναι δεῖ κύριον καὶ ταὐτὸ δίκαιον· ὅκαν εἷς ἢ τὸ πλῆθος εἶναι τοσοῦτ κύριον, δῆλον τὴν ἀρετὴν εἰσὶ τ' ὀλίγων· καὶ εἰ ἡ πόλεως μ' τοῦτο· ἐλάττους δ' τ' πολλῶν κρείττους ὧσι τ' ἄλλων, τούτους ἂν δ' οἰκειοῦσθαι μᾶλλον, ἢ τὸ πλῆθος· πάντα δὴ ταῦτ' ἔοικε φανερὸν ποιεῖν, ὅτι τούτων τῶν ὅρων, οὐδεὶς ὀρθῶς ὅτι καθ' οὓς ἀξιοῦσιν αὐτοὶ μὴν ἄρχειν· τοὺς δ' ἄλλους ὑπὸ σφῶν ἄρχεσθαι πάντως· καὶ γὰρ δὴ καὶ πρὸς τοὺς καταρετὴν ἀξιοῦντας, κυρίους εἶναι τοῦ πολιτεύματος· ὁμοίως δὲ καὶ τοὺς κατὰ πλοῦτον ἔχειν ἂν λέγειν τὰ πλήθη λόγον τιν' ἂν δίκαιον

οὐδὲν γὰρ κωλύει πρὸς τὸ πλῆθος εἶναι βέλτιον τῶν ὀλίγων καὶ πλουσιώτερον· οὐχ ὡς καθ' ἕκαστον, ἀλλ' ὡς ἀθρόους· διὸ ἔστι πρὸς τοῦτο ἀπορία καὶ ζητοῦσί τινες, ἐν δὲ χειροτονίᾳ τοῦτον ἔχουσι τὸν τρόπον ἅπαντες· ἀπροῦσι γάρ τινες πρὸς τὸν νομοθέτην νομοθετητέον βέλτιον ἢ μή, φανερὸν ὅτι δεῖ τοὺς ὀρθοὺς νόμους πρὸς τὸ τῶν βελτιόνων συμφέρον, ἢ πρὸς τὸ τῶν ἁπλῶς ἱκανῶν· ὅπερ συμβαίνει τὸ λεχθέν· τὸ δ' ὀρθὸν ἴσως ἐστὶν ἴσον· τὸ δ' ἴσον ὀρθὸν πρὸς τὸ τῆς πόλεως ὅλης συμφέρον καὶ πρὸς τὸ κοινὸν τὸ τῶν πολιτῶν. πολίτης δὲ κοινῇ μὲν ὁμοτέχνῳ τοῦ ἄρχειν καὶ ἄρχεσθαι ἐστί· καθ' ἑκάστην δὲ πολιτείαν ἕτερος· πρὸς δὲ τὴν ἀρίστην ὁδὶ νόμος καὶ προαιρούμενος ἄρχεσθαι καὶ ἄρχειν πρὸς τὸν βίον τὸν κατ' ἀρετὴν· εἰδέτις ὅτι ἓν ἔστιν ἰσχυρὸν κατ' ἀρετὴν ὑπερβολὴν, ἢ πλείους μὲν ὄντας μὴ μὲν τοιοῦτον οἷοί τε ὦσι πλήρωμα παρασχέσθαι πόλεως· ὥστε τιμὴ συμβήσεται τὴν τῶν ἄλλων ἀρετὴν καὶ δύναμιν αὐτῶν τὴν πολιτικὴν πρὸς τὴν ἐκείνων εἶναι πλείστης· εἰδ' εἴς τὴν ἐκείνου μόνον, οὐκέτι θετέον τούτους μέρος πόλεως· ἀδικήσονται ἀξιούμενοι τῶν ἴσων· οὐδὲν γὰρ ἔστιν ἐν τοσοῦτον κατ' ἀρετὴν ὄντος, καὶ τὴν πολιτικὴν δύναμιν· ὥσπερ γὰρ θεὸν ἐν ἀνθρώποις εἰκὸς εἶναι τὸν τοιοῦτον· ὅθεν δῆλον ὅτι καὶ τὴν νομοθεσίαν ἀναγκαῖον εἶναι περὶ τοὺς ἴσους καὶ τῇ γένει καὶ τῇ δυνάμει· κατὰ δὲ τῶν τοιούτων οὐκ ἔστι νόμος· αὐτοὶ γάρ εἰσι νόμος· ἦ γὰρ πολίτου ἂν εἴη νομοθετεῖν τις πειρώμενος κατ' αὐτῶν· λέγοιεν γὰρ ἂν ἴσως ἅπερ ἀντιφῶντός φησι τοὺς δημιουργῶν τῶν δασυπόδων· καὶ τὸ ἴσον ἀξιοῦντων πάντας ἔχειν· διὸ καὶ τὸν ὀστρακισμὸν αἰδημονέστατόν πως ἀπολάς, διὰ τὴν τοιαύτην αἰτίαν· οὔτε γὰρ δῆλον κοῦσιν ὡκεῖν τὴν ἰσότητα μάλιστα πάντων· ὥστε τοὺς δοκοῦντας ὑπερέχειν δυνάμει διὰ πλοῦτον ἢ πολυφιλίαν· ἢ τινα ἄλλην πολιτικὴν ἰσχύν, ὠστράκιζον καὶ μεθίστασαν ἐκ τῆς πόλεως χρόνους

ὡρισμένους

ωρισμένους. μυθολογεῖται δὲ καὶ τοὺς ἀργοναύτας τὸν Ἡρακλέα καταλιπεῖν διὰ τοιαύτην αἰτίαν· ὁρμῆς γὰρ ἐθέλοντι αὐτοὺς ἀπλεῖν τὴν ἀργὼ μετὰ τὸν Αἶσονα, ὡς ὑπερβάλλοντα πλοῦτῳ τὸν πλωτῆρα· διὸ καὶ φύσει τοῦτ' ἔστι τὸ πρὸς ἀνδρείαν καὶ τὸ πρὸς ἀσφάλειαν συμβουλίαν οὐχ ἁπλῶς οἰκτέον ὀρθῶς ἔχειν μᾶλλον. φασὶ γὰρ τὸν πρὸς ἀνδρείαν εἰπεῖν μὴ δεῖν πρὸς τὸν πεμφθέντα κῆρυκα καὶ πρὸς τὸ συμβάλλειν· ἀφαιρεῖσθαι γὰρ φύσει τοὺς ὑπερέχοντας τῷ σχήματι ὁμαλύνειν τὸν ἄρουραν· ὅθεν ἀγνοοῦντος μὲν τοῦ κήρυκος τὸ τοῦ μύθου τὴν αἰτίαν, ἀπαγγείλαντος δὲ τὸ συμφέρον, σιωπῆσαι τὸν θρασύβουλον· ὅτι δεῖ τοὺς ὑπερέχοντας αὑτῶν ἀναιρεῖν. Τὸ γὰρ ὁμόνουν συμφέρει τοῖς τυράννοις· ὁ δὲ μόνον οἱ τύραννοι πρῶτον, ἀλλ' ὁμοίως ἔχει καὶ περὶ πάσας ὀλιγαρχίας καὶ τὰς δημοκρατίας· ὀστρακισμὸς γὰρ τὴν αὐτὴν ἔχει δύναμιν ζόπυρόν τινα τῷ κωλύειν τοὺς ὑπερέχοντας καὶ φυγαδεύειν. τὸ δ' αὐτὸ καὶ περὶ τὰς πόλεις καὶ τὰ ἔθνη φαίνεται οἱ κύκλοι φαίνεσθαι· οἷον ἐθνη αἴοι μὲν περὶ Σαμίους καὶ Χίους καὶ Λεσβίους· ἐπεὶ γὰρ θᾶττον ἐκράτουν ἔχοντες τὴν ἀρχήν, ἐτάπεινωσαν αὐτοὺς περὶ τὰς συνθήκας· ὁ δὲ περσῶν βασιλεὺς μήδους καὶ Βαβυλωνίους καὶ τοὺς ἄλλους τοὺς πεφρονηματισμένους διὰ τὸ μεγέθει πολὺ παρέχειν ἑαυτὸν πολλάκις· ὁ δὲ πρόβλημα καθόλου περὶ πάσας ὅτι τὰς πολιτείας καὶ τὰς ὀρθὰς· αἱ μὲν γὰρ παρεκβεβήκασι πρὸς τὸ ἴδιον ἀποσκοποῦσαι τοῦτο δρῶσιν· οὐ μόνον ἀλλὰ περὶ τὰς τὸ κοινὸν ἀγαθὸν ὠϊσκοποῦσας, τὸν αὐτὸν ἔχει τρόπον· δῆλον δὲ τοῦτο καὶ ἐπὶ τῶν ἄλλων τεχνῶν, καὶ ἐπιστημῶν· οὔτε γὰρ γραφὴς ἐάσειεν ἂν τὸν ὑπερβάλλοντα πράξεως συμμετρίας ἔχειν τὸ ζῷον· οὐδ' εἰ διαφέροι τὸ κάλλος, ὅτι ναυπηγὸς πρύμναν, ἢ τῶν ἄλλων τιμωρεῖσθαι τῶν νεώς· οὐδὲ δὴ χοροδιδάσκαλος τὸν μεῖζον ἢ κάλλιον τοῦ πρέποντος χορὸν φθεγόμενον ἐάσει συγχορεύειν· ὥστε διὰ τοῦτο μὲν, οὐδὲν κωλύει τοὺς μοναρχοῦντας συμφωνεῖν τοῖς πόλεσιν, εἰ φέρει οἰκείας ἀρχὰς ὠφελίμους τοῖς πόλεσιν οὔσας.

του το δρῶσι· διὸ καὶ τοὺς ὁμολογουμένους ὑπερέχοντας ἔχει τὸ δίκαιον πολιτικὸν ὁ λόγος, ὃ περὶ τὸν ὅρκον ἐστί. βέλτιον μὲν οὖν τὸν νομοθέτην ἐξ ἀρχῆς οὕτω συστῆσαι τὴν πολιτείαν ὥστε μὴ δεῖσθαι ῥιάστου τινὸς διορθώματος διορθοῦν· ὅπερ ἐκείνῃ τῇ πόλει συνέβαινε τῇ πρὸς τὸν Φάλεα· οὐ γὰρ ἔβλεπον πρὸς τὸ καλὴν πολιτείαν καὶ οἰκείαν συμφέρον, ἀλλὰ στασιαστικῶς ἔχων τοῖς ὅρκοις· ἐν μὲν οὖν τοῖς παρεκβεβηκόσι πολιτείαις, ὅπου μὲν ἴδια συμφέρει καὶ δίκαιόν ἐστι φανερόν· ἴσως δὲ καὶ ἔστιν οὐχ ἁπλῶς δίκαιον· καὶ τοῦτο φανερόν· ἀλλ' ἐὰν ἡ φαύλης πολιτείας ἔχει πλείω ἀπορίαν· ὃ καὶ τῶν ἄλλων ἀτοπωτάτων τοῦτο προχείρου· οἷον, ἰχθύος καὶ πλούτου καὶ πολυφιλίας· ἀλλὰ καὶ τούτοις γένοιθ' ἂν διαφέρων κατὰ ἀρετήν· τί χρὴ ποιεῖν· ὁ γὰρ δὴ φαῖεν ἄν δεῖν ἐκβάλλειν καὶ μεθιέναι τὸν τοιοῦτον· ἀλλὰ μὴν οὐδ' ἄρχειγε τοῦ τοιούτου· παραπλήσιον γάρ, καὶ εἰ τοὺς θεοὺς ἄρχειν ἀξιοῖεν μείζοντες τὰς ἀρχάς· λείπεται γὰρ ὅπερ ἔοικε, πεφυκέναι πείθεσθαι τῷ τοιούτῳ πάντας ἁπλῶς· ὥστε βασιλέας εἶναι τοὺς τοιούτους ἐν ταῖς πόλεσιν· ἴσως δὲ καλῶς ἔχει περὶ τοὺς εἰρημένους λόγους μεταβῆναι καὶ σκέψασθαι περὶ βασιλείας· φαμὲν γὰρ τῶν ὀρθῶν πολιτειῶν μίαν εἶναι ταύτην· σκεπτέον δὲ πότερον συμφέρει τῇ μελλούσῃ καλῶς οἰκήσεσθαι καὶ πόλει καὶ χώρᾳ βασιλεύεσθαι, ἢ οὔ· ἀλλ' ἄλλην τινὰ πολιτείαν μᾶλλον· ἢ τισὶ μὲν συμφέρει· τισὶ δ' οὐ συμφέρει· δεῖ δὲ πρῶτον διελέσθαι πότερον ἓν τὸ γένος ἐστὶν αὐτῶν· ἢ πλείους ἔχει διαφοράς· ἔστι δὴ τοῦτο καταμαθεῖν, ὅτι πλείω τὰ γένη περιέχει· καὶ ἡ μὲν ἀρχὴ ὁποτέρως ἐστίν, ἀφεῖς πασῶν· ἡ μὲν γὰρ ἐν τῇ λακωνικῇ πολιτείᾳ, δοκεῖ εἶναι βασιλεία μάλιστα τῶν κατὰ νόμον· οὐκ ἔστι δὲ κυρία πάντων· ἀλλ' ὅταν ἐξέλθῃ τὴν χώραν, ἡγεμών ἐστι τῶν πρὸς τὸν πόλεμον· ἔστι δὲ τοῦ πρὸς τοὺς θεοὺς ἀποδίδοται τοῖς βασιλεῦσιν· αὕτη μὲν οὖν ἡ βασιλεία οἷον στρατηγία τις αὐτοκρατόρων.

καὶ

καὶ αἰ δι ὸ σ ὸ τ ί· κ τεῖναι γὰρ οὐκύριος, εἰ μὴ ἔν τινι βασιλείᾳ, καθάπερ ἐπὶ τῶν ἀρχαίων ἐν ταῖς πολεμικαῖς ἐξόδοις ἐγχειρὸς μόμῳ· δηλοῖ δ' ὅμηρος· ὁ γὰρ ἀγαμέμνων κακῶς μὲν ἀκούων ἐῴει χε τοῦ ζῆν ταῖς ἐκκλησίαις· ἐξελθόντων δὲ, Ἐ κτεῖναι κύριος ἦν· λέγει γὰρ οὕτως· Ὀ μ' δεκ' ἐγὼν ἀπάνευθε μάχης· ὅτ' ἀρίκριον ἐσεῖται Φυγέμεν κώας, ἠδ' οἰωνούς· πολὺ γὰρ ἐμοὶ θάνατος· ζῆν μὲν οὖν τοῦτ' εἶδος βασιλείας σπάνιον διὰ βίου· τούτων δ' αἱ μὲν, κατὰ γένος εἰσὶν· αἱ δὲ ἐπαί· παρὰ ταύτην δ' αἱ μοναρχίαι εἶδος· οἷαι παρ' ἐνίοις εἰσὶ βασιλεῖαι τῶν βαρβάρων· ἔχουσι δ' αὗται τὴν δύναμιν πᾶσαν παραπλησίαν τυραννικῇ, εἰσὶ δ' ὅμως κατὰ νόμον καὶ πατρικαί· διὰ γὰρ τὸ δουλικώτερα εἶναι τὰ ἔθνη φύσει, οἱ μὲν βαρβάροι τῶν Ἑλλήνων· οὐδὲν ὀχθαίνουσι τὴν ἀσίαν τῶν περὶ τὴν Εὐρώπην, ὑπομένουσι τὴν δεσποτικὴν ἀρχήν, οὐδὲν δυσχεραίνοντες· τυραννικαὶ μὲν οὖν, διὰ τὸ τοιοῦτόν εἰσιν· ἀσφαλεῖς δὲ, διὰ τὸ πάτριαι καὶ κατὰ νόμον εἶναι· καὶ ἡ φυλακὴ δὲ βασιλικὴ καὶ οὐ τυραννικὴ διὰ τὴν αὐτὴν αἰτίαν· οἱ γὰρ πολῖται φυλάττουσιν ὅπλοις τοὺς βασιλεῖς· τοὺς δὲ τυράννους ξενικόν· οἱ μὲν γὰρ κατὰ νόμον, καὶ ἑκόντων· οἱ δ' ἄκοντων ἄρχουσιν· ὥθ' οἱ μὲν, παρὰ τῶν πολιτῶν· οἱ δ' ἐπὶ τοὺς πολίτας, ἔχουσι τὴν φυλακήν· δύο μὲν οὖν εἴδη ταύτης μοναρχίας· ἕτερον δ' ὅ περ ἐν τοῖς ἀρχαίοις ἔλλησιν· οὓς καλοῦσιν αἰσυμνήτας· ὅτι δὲ τοιοῦτος ἁπλῶς εἰπεῖν αἵρετὴ τυραννίς· διαφέρουσα δὲ βαρβαρικῆς· οὐ τῷ μὴ κατὰ νόμον· ἀλλὰ τῷ μὴ πάτριος εἶναι μόνον· ἦρχον δὲ οἱ μὲν διὰ βίου τὴν ἀρχὴν ταύτην· οἱ δὲ μέχρι τινῶν ὡρισμένων χρόνων ἢ πράξεων· οἷον, εἱλονῆται μιτυληναῖοι πιττακὸν πρὸς τοὺς φυγάδας· ὧν προεξήκεσαν αὐτὴ μὴ ἴδιος καὶ ἀλκαῖος ὁ ποιητής· δηλοῖ δ' ἀλκαῖος ὅτι τύραννον εἱλονῆται πιττακὸν, ζῴτινι τῶν σκολίων· ἐπὶ τιμᾷ γὰρ ὅτι τὸν κακοπάτριδα πιττακὸν πόλεως τῆσδ' ἀχέλῳ καὶ βαρυδαίμονος ἐξέσαν το

τύραννον μέν ἔπαινέουτες ἀολλέες· αὖ τοι μὲν οὖν εἰσί τινες
ἦσαν· διὰ μὲν τὸ τυραννικὸν εἶναι, δικαστικὸν· διὰ δὲ τὸ, αἱρε-
τοὶ ἦ ἑκόντων, βασιλικόν· τὸ πέρ τον δ' εἶδος μοναρχία βα-
σιλικῆς, αἱ κατὰ γένος ἡρωϊκὸς χρόνους εἰκόσι αἱ τε ἢ πάξιαι γι-
νόμεναι κατὰ νόμον· διὰ γὰρ τὸ τοὺς πρώτους γενέσθαι τοῦ
πλήθους εὐεργέτας κατὰ τέχνας ἢ πόλεμον· ἢ διὰ τὸ συνα-
γαγεῖν, ἢ πορίσαι χώραν, ἐγίνοντο βασιλεῖς ἑκόντων, ἃ γρὶς
παραλαμβάνουσι παῖδες οἱ κύριοι δὲ ἦσαν φυλετικαὶ πό-
λεμον ἡγεμονίας καὶ τῶν θυσιῶν, ὅσαι μὴ ἱερατικαὶ καὶ πρὸς
γύρις τὰς δίκας ἐκείνου· φυλετοδ' ἐπρίσθη, οἱ μὲν, δικ ὀμνύον-
τες· οἱδ' ὀμνύοντ· ὃδ' ὅρκος ἦν τοιόσδε· ἐπανάστασις· οἱ μὲν
ἔνι ἐπὶ τ' ἀρχαίων χρόνων, ἢ τὰ κατὰ πόλιν, ἢ τὰ ἐφήμερα· ἢ τὰ
ὑστεροῖα, σωσεχῶς ἦρχον· ὕστερον δὲ, τὰ μὲν, αὐτῶν παρειμένα
τῶν βασιλέων, τὰ δὲ τῶν ὅλων παραιρουμένων· ἐν μὲν τοῖς
ἄλλαις πόλεσι θυσίαι καὶ τελεῖσθαι τοῖς βασιλεῦσι μόνον·
ὅπου δ' ἄξιον εἰπεῖν εἶναι βασιλείαν ἐν τοῖς ὑστεροῖοις τῶν
πολεμικῶν τὴν ἡγεμονίαν μόνον εἶχον· βασιλείας μὲν οὖν
εἴδη ταῦτα, τέτταρα τὸν ἀριθμόν· μία μὲν, ἡ περὶ τοὺς ἡρωι-
κοὺς χρόνους· αὕτη δ' ἦν ἑκόντων μὲν, ἐπὶ πᾶσι δ' ὡρισμένως.
στρατηγὸς γὰρ ἦν καὶ δικαστὴς ὁ βασιλεύς· καὶ τῶν πρὸς τοὺς
θεοὺς κύριος· δεύτερα δὲ ἦν βαρβαρικὴ αὕτη δ' ἦν ἐκ γένους
ἀρχὴ δεσποτικὴ κατὰ νόμον· τρίτη δὲ ἦν αἰσυμνητεία· προσα-
γορεύουσιν· αὕτη δ' ἐστὶν αἱρετὴ τυραννίς· τετάρτη δ' ἦν λα-
κωνικὴ τούτων· αὕτη δ' ἐστὶν ὡς εἰπεῖν ἀπλῶς στρατηγία κατὰ
γένος ἀίδιος· αὖ τοι μὲν οὖν τοῦτον τὸν τρόπον διαφέρουσιν
ἀλλήλων· ἔστι δ' εἶδος βασιλείας, ὅταν ἡ πάντων κύριος
εἷς ὢν· ὥσπερ ἕκαστον ἔθνος· καὶ πόλις ἑκάστη τῶν κοινῶν· τιτα-
γμένη κατὰ τὴν οἰκονομικήν· ὥσπερ γὰρ ἡ οἰκονομικὴ βα-
σιλεία τῆς οἰκίας ἐστίν, οὕτως ἡ βασιλεία πόλεως ἢ ἔθνους ἢ
πλειόνων οἰκονομία ἐστίν· ἔστι δὴ δύο ταῦτα ὡς εἰπεῖν ἡ δὴ βασι-

λείας

λείας περὶ ὧν σκεπτέον· αὕτη τε καὶ ἡ λακωνική· τῶν γὰρ ἄλλων αἱρεταὶ μεταξὺ τούτων εἰσὶν· ἐλαττόνων μὲν γὰρ κύριοι τῆς παμβασιλείας πλεόνων δ' εἰσὶ τῆς λακωνικῆς· ὥστε τὸ σκέμμα χαλεπὸν περὶ δυοῖν ὄντοιν· ᾧ μὲν πότερον συμφέρει τοῖς πολίταις στρατηγὸν αἰδιον εἶναι καὶ τοῦτον ἢ κατὰ γένος· ἢ κατὰ μέρος· ἢ οὐ συμφέρει· ᾧδὲ πότερον ὡς συμφέρει κύριον εἶναι πάντων, ἢ οὐ συμφέρει· τὸ μὲν οὖν περὶ φυλακὴν τῆς στρατηγίας ἐπισκοπεῖν, νόμων ἔχει μᾶλλον εἶδος, ἢ πολιτείας· ἐν ἅπασι γὰρ ἁρμόττει γίνεσθαι τοῦτο ταῖς πολιτείαις· ὥστε προσήκει τῷ πρώτῳ· ὁ δὲ λοιπὸς τρόπος φυλακῆς βασιλείας, πολιτείας εἶδός ἐστιν· ὥστε περὶ τούτου δεῖ θεωρῆσαι μὴ τοὺς ἀπορεῖας ἐμποδίσαι τοῦτο ἐμβάσας· ἀρχὴ δ' ὅτι φυλακὴ τοιαύτης αὐτῆς· πότερον συμφέρει μᾶλλον ὑπὸ τοῦ ἀεὶ τοῦ αὐτοῦ ἄρχεσθαι, ἢ ὑπὸ τῶν ἀείζωνι νόμων· δοκεῖ δὴ τοῖς νομίζουσι συμφέρειν βασιλεύεσθαι, τὸ καθόλου μόνον οἱ νόμοι λέγειν· ἀλλ' οὐ πρὸς τὰ πρὸς πόσον τοῦ ἐπιτάττειν· ὥστ' ἐμποιοῦσιν τίχνη, τὸ κατὰ γράμματα νομίζειν ἄρχειν, ἢ λίθον· καὶ ἐναίσιμον τῷ τιτρήμερον κινεῖν ἕξεσι τοῖς ἰατροῖς· ἐὰν δὲ πρότερον ἐπὶ τῷ αὐτοῦ κινδύνῳ· φανερὸν τοίνυν ὡς οὐκ ὀρθὴν ἡ κατὰ γράμματα νομίζειν ἀεὶς πολιτείαν διὰ τὴν αὐτὴν αἰτίαν· ἀλλὰ μὴν κἀκεῖνο δεῖ ὑπάρχειν τὸν λόγον τὸν καθόλου τοῖς ἄρχουσι· κρεῖττον δ' ὧν μὴ πρόσεστι τὸ παθητικὸν ὅλως· ἢ ὧ συμφύες· τῷ μὲν οὖν νόμῳ τοῦτο οὐχ ὑπάρχει· ψυχὴν δ' ἀνθρωπίνην, ἀνάγκη τοῦτ' ἔχειν πᾶσαν· ἀλλ' ἴσως ἂν φαίη τις, ὡς ἂν τὸ τοῦτου βουλεύσεται περὶ τῆς κρείττον· ὅτι μὲν τοίνυν ἀναγκαιονομοθέτην αὐτὸν εἶναι, δῆλον· ἐκ τῶν νόμους, ἀλλὰ μὴ κυρίους· ἢ παρεκβαίνουσιν· ἐπεὶ περὶ τῶν γ' ἄλλων εἶναι δεῖ κυρίους· ὅσα δὲ μὴ δύναται ὁ νόμος κρίνειν ἢ ὅλως, ἢ οὐ, πότερον ἁπλῶς ἄμεινον δεῖ ἄρχειν ἢ τουτί· καὶ γὰρ νῦν σκοποῦντες δικάζουσι· καὶ βουλεύονται, καὶ κρίνουσιν· αὐτὰ δ' αὐ

κείσεις εἰσὶ πᾶσαι περὶ τῶν καθ' ἕκαστον· καθ' ἓν δὲ μὴ, ἂν συμβαλόμενος ὅς τισοῦν ἴσως χείρων· ἀλλ' ὅτιν ἡ πόλις ἐκ πλειόνων, ὥσπερ εἰσίασις συμφορητὸς, καλλίων μιᾶς καὶ ἀπλῆς· δι' ὃ τοῦτο καὶ κρίνει πλείων ὄχλος πλείω, ἢ εἷς ὁστισοῦν· ἔτι μᾶλλον ἀδιάφθορον τὸ πλῆθος τοῦ ὀλίγων ἀδιαφθορώτερον· τοῦ μὲν οὖν ὑπὸ ὀργῆς κρατηθέντος, ἢ τινος ἑτέρου πάθους τοιούτου, ἀναγκαῖον διεφθάρθαι τὴν κρίσιν, ἐκεῖ δ' ἔργον ἅμα πάντας ὀργισθῆναι καὶ ἁμαρτεῖν· ἐγὼ δὲ τὸ πλῆθος οἱ ἐλεύθεροι μηδὲν παρὰ τὸν νόμον πράττοντες· ἀλλ' ἢ περὶ ὀλίγα ἐνδέχεσθαι ἀναγκαῖον αὐτόν· εἰ δὲ δὴ τοῦτο, μὴ ῥᾴδιον ἐν τοιούτοις, ἀλλ' εἰ πλείους εἶεν ἀγαθοὶ καὶ ἄνδρες καὶ πολῖται· πότερον ὁ εἷς ἀδιαφθορώτερος ἄρχων, ἢ μᾶλλον οἱ πλείους μὴ τὸν ἀριθμόν· ἀγαθοὶ δὲ πάντες, ἢ ὅλιγοι ὡς οἱ πλείους· ἀλλ' οἱ μὴ, σασιάσουσιν· ὁ δὲ εἷς ἀσασίαστος· ἀλλὰ πρὸς τοῦτ' ἀντιθετέον ἴσως· ὅτι ταυτὸν ποιοῦσι τὴν ψυχὴν ὥσπερ καὶ κεῖνος ὁ εἷς· εἰδὴ τὴν μὲν τῶν πλουσίων ἀρχὴν· ἀγαθῶν δ' ἀνδρῶν πάντων ἀριστοκρατίαν θετέον· τὴν δὲ τοῦ ὄχλου βασιλείαν, αἱρετώτερον αὖ εἶναι ταῖς πόλεσιν ἀριστοκρατίαν βασιλείας ἢ μεταβολῆς ἀπὸ τοιαύτης ἐλθούσης ἐπὶ τὴν ὀλιγαρχίαν· αὖ ἢ λαβεῖν πλείους ὁμοίως· καὶ διὰ τοῦτ' ἴσως ἐβασιλεύοντο πρότερον· ὅτι σπάνιον ἦν εὑρεῖν ἄνδρας πολὺ διαφέροντας κατ' ἀρετήν· ἄλλως τε καὶ τότε μικρὰς οἰκοῦντας πόλεις· ἔτι δ' ἀπ' εὐθυρισίας καθίσασαν τοὺς βασιλεῖς· ὅπερ ὄντων ἐμπλεῖ τῶν ἀγαθῶν ἀνδρῶν· ἐπεὶ δὲ συνέβαινε γίγνεσθαι πολλοὺς ὁμοίους πρὸς ἀρετήν, οὐκέτι ὑπέμενον· ἀλλ' ἐζήτουν κοινόν τι, καὶ πολιτείαν καθίσασαν· ἐπεὶ δὲ χείρους γενόμενοι ἐχρημάτιζον ἀπὸ τῶν κοινῶν, ἐνταῦθέν πρθεν σύλλογον γενέσθαι τοὺς ὀλιγαρχ//· χρήματον γὰρ ἐπρίαντο τὸν πλοῦτον· ἐκ δὲ τούτων, πρῶτον εἰς τυραννίδας μετέβαλλον· ἐκ δὲ τῶν τυραννίδων εἰς δημοκρατίαν· αἰεὶ γὰρ εἰς ἐλάττους ἄγοντες διὰ χρημάτων, ἰσχυρότερον

πορ

τίρον τὸ πλῆθος κατίσησαν· ὡς τε πιθέσθαι καὶ χρήσθαι δημοκρατίας· ἐπεὶ δὲ καὶ μείζους εἶναι συμβέβηκε τὰς πόλεις, ἴσως οὐδὲ ῥᾴδιον ἔτι γίνεσθαι πολιτείαν ἑτέραν παρὰ δημοκρατίαν· εἰ δὲ δῆτις ἀρίστην τεθείη τὴν βασιλεύεσθαι ταῖς πόλεσι, πῶς ἔξει τὰ περὶ τοὺς τέκνων· πότερον καὶ τὸ γένος δεῖ βασιλεύσαι ἀλλὰ γενομένου ὁποίου τυχόν, βλαβερόν· ἀλλ' οὐ παραδώσει κύριον τοῖς τέκνοις· ἀλλ' ὅμοιον ῥᾴδιον πιστεῦσαι· χαλεπὸν γὰρ καὶ μείζον' ἀρετῆς ἢ κατὰ τὴν θρωπίνην φύσιν ἔχει δὲ πρείαν ἢ περὶ φυλακῆς· πότερον ἕξειν δεῖ τὸν μέλλοντα βασιλεύειν ἰσχὺν τινὰ περὶ αὐτὸν, ἢ δυνήσεται διάξειν φύλακι μὴ βία λομένους πειθαρχεῖν· ἢ πῶς ἐνδέχεται τὸν ἄρχειν διοικεῖν· εἰ δὲ καὶ κατὰ νόμον εἴη κύριος μηδὲν πράττων κατὰ τὸν αὐτοῦ βούλησιν παρὰ τὸν νόμον, ὅμως ἀναγκαῖον ὑπάρχειν αὐτῷ δύναμιν, ἣ φυλάξει τοὺς νόμους· τάχα μὲν οὖν τὸ περὶ τὸν βασιλέα τὸν τοιοῦτον, οὐ χαλεπὸν διορίσαι· δεῖ δὲ αὐτὸν μὲν ἔχειν ἰσχύν· εἶναι δὲ τοσαύτην τὴν ἰσχύν ὥστε ἑκάστου μὲν καὶ ἑνὸς καὶ συμβούλων, κρείττω· τοῦ δὲ πλήθους ἥττω· καθάπερ οἱ παρ' ἀρχαίοις τὰς φυλακὰς ἐδίδοσαν, ὅτι καθιστᾶεν τινὰ φρουρὸν ὃν ἐκάλουν αἰσυμνήτην ἢ τύραννον· καὶ Διονυσίῳ τις, ὁ τὴν ἡβητὴν τοὺς φύλακας συνεβούλευε τοῖς συρρακουσίοις δοῦναι τοσούτους τοὺς φύλακας· περὶ δὲ τοῦ βασιλέως τοῦ κατὰ τὸν αὐτοῦ βούλησιν πάντα πράττοντος, ὁ λόγος ἐφέστηκεν ὧν, καὶ ποιητέον τὸν σκέψιν· ὁ μὲν γὰρ κατὰ νόμον λεγόμενος βασιλεὺς, οὐκ ὄντων εἴδους καθάπερ εἰπομεν βασιλείας· ὑπάρχειν γὰρ ὑπάρχει ἐνδέχεται σχεδὸν πανταχοῦ ῥᾴδιον· οἷον ἐν δημοκρατίᾳ· καὶ ἀριστοκρατίᾳ· καὶ πολλοὶ ποιοῦσιν ἕνα κύριον εἶναι διοικήσεως· τοιαύτην γὰρ ἀρχὴν τίς ὀρθῶς περιείληφεν· ἢ περὶ ὁπόσα δὲ, καὶ τούτου μέρος ἐλάττων· περὶ δὲ τὸν βασιλέα τὸν καθεστηκότα, οὐ τὸν ὀρθῶς κεκριμένον ἄρχειν πάντων ἐν τῇ αὐτοῦ βούλησιν ὁ βασιλεύς· δοκεῖ δέ τισιν οὐδὲ κατὰ φύσιν εἶναι τὸ κύριον ἕνα πάντων

των εἶναι τῶν πολιτῶν ὅπου συνέστηκεν ἐξ ὁμοίων ἡ πόλις. Τοῖς γὰρ ὁμοίοις φύσει τὸ αὐτὸ δίκαιον, ἀναγκαῖον καὶ τὴν αὐτὴν ἀξίαν κατὰ φύσιν εἶναι. ὥστ' εἴπερ καὶ τὸ ἴσην ἔχειν τοὺς ἀνίσους τροφὴν ἢ ἐσθῆτα, βλαβερὸν τοῖς σώμασιν, οὕτως ἔχει καὶ τὰ περὶ τὰς τιμάς. ὁμοίως τοίνυν, καὶ τὸ ἄνισον τοὺς ἴσους. διόπερ οὐδὲν μᾶλλον ἄρχειν ἢ ἄρχεσθαι δίκαιον. καὶ τὸ ἀνὰ μέρος τοίνυν οὑσαύτως. τοῦτο δ' ἤδη νόμος. ἡ γὰρ τάξις νόμος. τὸν ἄρα νόμον ἄρχειν αἱρετώτερον, μᾶλλον ἢ τῶν πολιτῶν ἕνα τινά. κατὰ τὸν αὐτὸν δὲ λόγον τοῦτον καὶ εἴ τινας ἄρχειν βέλτιον, τούτους καταστατέον, νομοφύλακας καὶ ὑπηρέτας τοῖς νόμοις. ἀναγκαῖον γὰρ εἶναι τινὰς ἀρχὰς, ἀλλ' οὐχ ἕνα τοῦτον εἶναί φασι δίκαιον, ὁμοίως γε ὄντων πάντων. ἀνὰ μὴν ὅσα γε μὴ δοκεῖ δύνασθαι διορίζειν ὁνόμος, οὐδ' ἄνος ἂν δύναι το γνωρίζειν. ἀλλ' ἐπίτηδες παιδεύσας ὁνόμος, ἐφίστησι τὰ λοιπὰ τῇ δικαιοτάτῃ γνώμῃ κρίνειν, καὶ διοικεῖν τοὺς ἄρχοντας. ἔτι δ' ἐπανορθοῦσθαι δίδωσιν, ὅτι ἂν δόξῃ, πειρωμένοις ἄμεινον εἶναι τῶν κειμένων. ὁ μὲν οὖν τὸν νόμον κελεύων ἄρχ, δοκεῖ κελεύειν ἄρχειν τὸν θεὸν καὶ τοὺς νόμους. ὁ δ' ἄνθρωπον κελεύων, προστίθησι καὶ θηρίον. ἥ, τε γὰρ ἐπιθυμία τοιοῦτον, καὶ ὁ θυμὸς ἄρχοντας διαστρέφει, καὶ τοὺς ἀρίστους ἄνδρας. διόπερ ἄνευ ὀρέξεως νοῦς ὁνόμος ἐστί. τὸ δὲ τῶν τεχνῶν εἶναι δοκεῖ παράδειγμα ψεῦδος, ὅτι τὸ κατὰ γράμματα ἰατρεύεσθαι, φαῦλον. ἀλλὰ καὶ αἱρετώτερον χρῆσθαι τοῖς ἔχουσι τὰς τέχνας. οἱ μὲν γὰρ, οὐδὲν διὰ φιλίαν παρὰ τὸν λόγον ποιοῦσιν, ἀλλ' ἄρνυνται τὸν μισθὸν τοὺς κάμνοντας ὑγιάσαντες. οἱ δ' ἐν ταῖς πολιτικαῖς ἀρχαῖς, πολλὰ πρὸς ἐπήρειαν καὶ χάριν εἰώθασι πράττειν. ἐπεὶ καὶ τοὺς ἰατροὺς ὅταν ὑποπτεύωσι πιστευθέντας τοῖς ἐχθροῖς διαφθείρειν διὰ κέρδος, τότε τὴν ἐκ τῶν γραμμάτων θεραπείαν ζητήσαιεν ἂν μᾶλλον. ἀλλὰ μὴν εἰσάγονταί γε ἐφ' ἑαυτοὺς οἱ ἰατροὶ κάμνοντες, ἄλλους ἰατροὺς, καὶ οἱ

παιδοτρίβαι

πως δὲ τρίβας γυμναζόμενοι πως δὲ ξίβας· ὡς ὅδ' ὡ' ἀμφοιν εἰ
νῷ τὸ ἀληθὲς διὰ τὸ κρίνῳν περί τι οἰκεῖον ἐν πάθει ὄντ'· ὥστε δῆλον
ὅτι τὸ δίκαιον ζητοῦσιν· τὸ μέσον ζητοῦσιν· ὁ γὰρ νόμος τὸ μέσον· ἔτι
κυριώτεροι εἰσὶ περὶ κυριωτέρων τὰ γράμματα νόμων· οἱ
κατὰ τὰ ἔθη εἰσίν· ὥστε τῶν κατὰ γράμματα ἀνθρώπων ἄρ-
χων ἀσφαλέστερος, ἀλλ' οὐ τῶν κατὰ τὸ ἔθος· ἀλλὰ μὴν ὅδε ἔρα-
δίον ἐφορᾶν τὸν ἕνα· δήπου ἄρα πλείονας εἶναι τοὺς ὑπὸ τοῦ
καθίσαι μόνους ἄρχοντας· ὥστε τί διαφέρει τοῦτο ἐξ ἀρχῆς
εὐθὺς ὑπάρχειν ἢ τὸν ἕνα καταστῆσαι τοῦτον τὸν τρόπον· ἔτι δ'
ὃ πρότερον εἰρημένον ὄντ', εἰ μὲν ὁ αὐτὴρ ὅσου δεῖ ὅσ' ὅτι βελ
τίων, ἄρχειν δίκαιος· τοῦδε ἕνεκ' οἱ δύο ἀγαθοὶ βέλτιους· τοῦτο
γάρ ὄντι τὸ, σώφρων δύ' ἔρχομένω· ἢν δ' ἐν τῷ ἀγαθὸς μέμνου· τοιοῦτοι
δίκαιοι συμφράδμονες· εἰσὶ δὲ ἡμῖν αἱ ἀρχαὶ νόμοι
εἰκυρίμενοι, ὥσπερ ὀλιγαρχία, περὶ ὧν ὁμόσε ἀδύνατον δι-
ελέσθαι, ὡς ὅταν ἀεὶ ᾖ ὁ νόμος ἄρχειν καὶ κρίνῃ· ἐπεὶ περὶ ὧν
δύναται, οὐδεὶς ἀμφισβητεῖ· περὶ τούτων ἀλλ' ἐπεὶ δὴ τὸ μὲν
ἐνδέχεται περιληφθῆναι τοῖς νόμοις· τὰ δὲ ἀδύνατα, ταῦτ' ὄντ'
ἀπορεῖ εἰ δεῖ πορεῖν καὶ ζητεῖν, πότερον τὸν ἄριστον νόμον ἄρχειν
αἱρετώτερον, ἢ τὸν ἄνδρα τὸν ἄριστον· περὶ ὧν δὲ βουλεύονται νομοθε-
τῆσαι, τῶν ἀδυνάτων ὄντ'· οὐ τοίνυν τοῦτο γ' αὐτὸ λέγουσιν,
ὡς οὐκ ἀναγκαῖον ἄνθρωπον εἶναι τὸν κελεύοντα περὶ τῶν πρά
των· ἀλλ' ὅτι οὐχ ἕνα μόνον, ἀλλὰ πολλοὺς κρίνειν γὰρ ἕκαστος ἄρ
χων πεφαυλισμένος ὑπὸ τοῦ νόμου καλῶς· ἀπορεῖν δ' ἴσως ἂν
εἶναι δόξειεν, εἰ βέλτιον ἴδοι τὶς δυοῖν ὄμμασιν καὶ δυσὶ μὰ κο-
σὶν κρίνων καὶ πράττων δυσὶ ποσὶ καὶ χερσίν, ἢ πολλοὶ πο-
λλοῖς· ἐπεὶ καὶ νῦν ὀφθαλμοὺς πολλοὺς οἱ μόναρχοι ποιοῦσιν αὐτῷ
καὶ ὦτα καὶ χεῖρας καὶ πόδας· τοὺς γὰρ τῆς ἀρχῆς καὶ αὐτοῦ φί-
λους ποιοῦνται συνάρχους· μὴ φίλοι μὲν οὖν ὄντες ποιήσουσι
κατὰ τὴν τοῦ μοναρχοῦντος προαίρεσιν· εἰ δὲ φίλοι καὶ κοινοῦ τῆς
ἀρχῆς, ὅτι φίλος ἴσος καὶ ὅμοιος· ὥστ' εἰ τοὺς φίλους οἴεται δεῖν ἀρ-

χειν, τοὺς ἴσους καὶ ὁμοίους ἄρχειν, οἴεται δεῖν ὁμοίως· εἰ μὲν οὖν οἰόμενοι βιάζονται πρὸς τὴν βασιλείαν λέγουσι, χρὴ λύειν ταῦτ' ὄντ' ἀδύνατον· ἀλλ' ἴσως ταῦτ' ἐπιμέμφονται ἔχειν τὸν τρόπον τοῦτον· ἐὰν δ' ὑπάρχων, οὐχοῦτως· ὅτι γάρ τι φύσει δίκαιον τὸν καὶ ἄλλο βασιλικὸν καὶ ἄλλο πολιτικόν, οὐ δίκαιον· καὶ συμφέρον· τυραννικὸν δ' οὐκ ὄντι κατὰ φύσιν· οὐδὲν τῶν ἄλλων πολιτειῶν ὅσαι παρεκβάσεις εἰσί· ταῦτα γὰρ γίνεται παρὰ φύσιν· ἀλλ' ἐκ τῶν εἰρημένων φανερὸν, ὡς ἐν μὲν τοῖς ὁμοίοις καὶ ἴσοις, οὔτε συμφέρον ὄντι, ὅτι δίκαιον οὐδ' ἀκύριον εἶναι πάντων· οὔτε μὴ νόμων ὄντων, οὔτε ἀπειθῶν ἀγαθῶν· ὅτι μὴ ἀπειθῶν, μὴ ἀπειθοῦν· ὁδὲ κατ' ἀρετὴν ἀμείνων ἢ, εἰ μὴ τρόπον τινά· τίς δ' ὁ τρόπος, λεκτέον· εἴρηται δέ πως ἤδη καὶ πρότερον· πρῶτον δὲ διοριστέον τί τὸ βασιλευτὸν καὶ τί τὸ ἀριστοκρατικόν· καὶ τί τὸ πολιτικόν· βασιλευτὸν μὲν οὖν τὸ τοιοῦτον ὅτι πλῆθος· ὃ πέφυκε φέρειν ἡγούμενον κατ' ἀρετὴν πρὸς ἡγεμονίαν πολιτικήν· ἀριστοκρατικὸν δὲ πλῆθος ὃ πέφυκε φέρειν πλῆθος, ἀρχαῖς διωρισμένον τὴν τῶν ἐλευθέρων ἀρχὴν ὑπὸ τῶν κατ' ἀρετὴν ἡγεμονικὴν πρὸς πολιτικὴν ἀρχήν· πολιτικὸν δὲ πλῆθος, ἐνῶ πέφυκεν ἐγγίνεσθαι πλῆθος πολεμικόν, δυνάμενον ἄρχεσθαι καὶ ἄρχειν κατὰ νόμον τὸν κατ' ἀξίαν διανεμόμενον τοῖς ἀπόροις τὰς ἀρχάς· ὅταν δὲν ἡ χώρα ὅλον, ἢ μὴ τὰ ἄλλα χώρα τινὰ συμβῇ διαφέρουσα χωρεῖσθαι κατ' ἀρετὴν τοσοῦτον, ὥσθ' ὑπερέχειν τὴν ἐκείνου φιλοτιμίαν, τότε δίκαιον τὸ χώρας εἶναι τοῦτο βασιλικὸν, καὶ κύριον πάντων καὶ βασιλέα τὸν χώρα τοῦτον· καθάπερ γὰρ εἴρηται πρότερον· ὅμοιον οὕτως ἔχει κατὰ τὸ δίκαιον ὃ προφέρειν εἰώθασιν οἱ τὰς πολιτείας καθιστάντες, οἵτε τὰς ἀριστοκρατικὰς, οἵτε τὰς ὀλιγαρχικὰς, οἵτε τὰς δημοκρατικὰς, φάντες γὰρ καθ' ὑπεροχὴν ἀξίαν εἶναι τινὰ ὑπεροχὴν, ἀτοπον αὐτὸ, ἀλλὰ καὶ τὸ πρότερον λεχθέν· ὅτι ἐκτείνειν, ἢ φυγαδεύειν ἢ ὀστρακίζειν δῆπου τὸν τοιοῦτον πρέ-

πον ὄντ' ἐν, οὐτ' ἀξιόν ἄρχεσθαι κατὰ μέρος, ἅμα τὸ φύκε τὸ μέ
ρος ὑπερέχειν τοσοῦτος τῷ ἢ τὸ πλῆθος καὶ τὴν ὑπερβολὴν ἔ-
χοντι, τοῦτο συμβέβηκεν· ὥστε λείπεται μόνον μὴ πείθεσθαι
τῷ τοιούτῳ μηκύνειον εἶναι μὴ κατὰ μέρος τοὺς νόμους, ἀλλ' ἁπλῶς·
ὥσπερ μὴν ἂν βασιλείας τίνας ἔχει διαφοράς, ἁρμόττον οὐσυμ
φέρῃ, τοῖς πόλεσιν, ἢ συμφέρῃ, καὶ τίσι, καὶ πῶς, διοριστέον τὸ
πρόπον τοῦτον· ἐπεὶ δὲ ξεῖς φανερὸν εἶναι, τὰς ὀρθὰς πολι
τείας, τούτων δ' ἀναγκαῖον ἀεὶ ξεῖναι εἶναι· τὴν ὑποτὴν ἀεὶ ξων
οἰκονομουμένην, τοιαύτην δ' ἔστιν, ἐν ᾗ συμβέβηκεν, ἢ ἓν ἅπαν τὸ
συμπολίτευτον, ἢ γένος ὅλον, ἢ πλῆθος ὑπερέχειν εἶναι κατ' ἀρε-
τὴν· τὸν μὲν, ἄρχεσθαι δυνατὸν μόνον, τὸν δ' ἄρχειν, πρὸς τὴν αἱ
ρετωτάτην ζωὴν, ἐν δὲ τοῖς πρώτοις ἐδείχθη λόγοις, ὅτι τὴν
αὐτὴν ἀναγκαῖον ἀνδρὸς ἀρετὴν εἶναι καὶ πολίτου ἁπλῶς
πόλεως ἁπλῆς. φανερὸν ὅτι τὸν αὐτὸν τρόπον, ἐξ ἀνάγκης αὐτὸν
ἀνάγκη ἄριστα πολιτεύεσθαι σπουδαῖος, ἐξ πόλιν συσκήσει ἀνάγκη ἀριστοκρα
τουμένην, ἢ βασιλευομένην· ὥστε ταὐτὸν εἶναι ἠθος ἀνδρὸς ἀγαθοῦ
καὶ πολίτου πᾶσι τοῖς ἀγαθοῖς ἀνδρὸς ἀρετὴν εἶναι καὶ πολιτικήν.
ἢ βασιλικήν· διωρισμένων δὲ τούτων, ἐπὶ τὴν πολιτείαν
ἤδη πειρατέον λέγειν ἁπλῶς· τίνα πέφυκε
σύστασιν τρόπον ἁρμόττουσαν
τῇ προσηκούσῃ
σκέψις.

ΤΕΛΟΣ ΤΟΥ Γ'

ΑΡΙΣΤΟΤΕΛΟΥΣ ΠΟΛΙΤΙΚΩΝ, ΤΟ Δ΄.



Ν ἁπάσαις τοῖς τέχναις καὶ ταῖς ἐπιστήμαις ταῖς μὴ κατὰ μόριον σπουδαίαις, αἱ δὲ πειθοῦσ' ἤτοι τελείαις ἅσαις μιᾶς ὅτι θεωρῆσαι τὸ περὶ ἕκαστον γένος ἁρμόττον· οἷον, ἄσκησιν σώματι πρέπει τὴν πρὸς ἡδονὴν συμφέρει καὶ τὴν πρὸς ἀρετήν· τῷ γὰρ κάλλιστα πεφυκότι, καὶ κεχορηγημένῳ τὴν ἀρετὴν ἀναγκαῖον ἁρμόττειν· καὶ τὴν πρὸς τοῖς πλείστοις μίαν πᾶσι· καὶ γὰρ τοῦτο φιλογυμναστικῆς ἐστιν· ἔτι δ' ἑαυτὴν μὴ φιλήκουον μοῦσης ἐστὶ θυμῆ μήθ' ἕξεως, μήτ' ἐπιστήμης τῶν περὶ τὴν ἀγωνίαν μηδὲν ἧττον ῥᾳδίως δοξάζειν τὸ γυμναστικὸν παρασκευάσαι τε, καὶ ταύτην ὅτι τὴν δυνάμιν· ὁμοίως δὲ τοῦτο καὶ περὶ ἀκρι-κλῶν· καὶ περὶ ναυπηγίαν ἢ ἐσθῆτα· ἀλλὰ περὶ πᾶσαν ἄλλην τέχνην ὁρῶμεν συμβαῖνον· ὥστε δῆλον ὅτι ἡ πολιτείαν φιλαυτῆς ἐστιν ἐπιστήμης τὴν ἀρίστην θεωρῆσαι τίς ἐστι· ἔπειτα τίς αὐτοῦσα μάλιστ' εἰκὸς κατ' εὐχήν, μηδενὸς ἐμποδίζοντος τῶν ἐκτός· καὶ τίς τίσιν ἁρμόττουσα· πολλοῖς δὲ φιλαίσχιστον χεῖρ' ἴσως ἀδύνατον· ὥστε τὴν κρατίστην τε ἁπλῶς, καὶ τὴν ἐκ τῶν ὑποκειμένων ἀρίστην, οὐ δεῖ λελανθέναι τὸν νομοθέτην καὶ τὸν ὡς ἀληθῶς πολιτικόν· ἔτι δὲ τρίτην τὴν ἐξ ὑποθέσεως· δεῖ γὰρ καὶ τὴν δοθεῖσαν δύναθαι θεωρεῖν· ὅπως ἄρχῆς τις πῶς ἂν γένοιτο· καὶ

ἐν γενομένῃ τίνα τρόπον ἂν σώζοι τὸ πλεῖστον χρόνον. λέγω δὲ, οἷον εἴ τινι πόλει συμβέβηκε· μήτε τὴν ἀρίστην πολιτεύεσθαι πολιτείαν· ἀχρήστη τόν τε εἶναι καὶ τῶν ἀναγκαίων· μήτε τὴν ἐν δὲ χομένην ἐκ τῶν ὑπαρχόντων, ἀλλά τινα φαυλοτέραν· παρὰ πάντα δὲ ταῦτα, τὴν μάλιστα πάσαις ταῖς πόλεσιν ἁρμόττουσαν δεῖ συνορίζειν· ὡς οἱ πλεῖστοι τῶν ἀπεφαινομένων περὶ πολιτείας· καὶ εἰ τἄλλα λέγουσι καλῶς, τῶν γε χρησίμων διαμαρτάνουσιν· οὐ γὰρ μόνον τὴν ἀρίστην δεῖ θεωρεῖν, ἀλλὰ καὶ τὴν δυνατήν· ὁμοίως δὲ καὶ τὴν ῥᾴω καὶ κοινοτέραν ἁπάσαις· νῦν δ' οἱ μὲν τὴν ἀκροτάτην καὶ δεομένην πολλῆς χορηγίας ζητοῦσι μόνον· οἱ δὲ, μᾶλλον κοινήν τινα λέγοντες, τὰς ὑπαρχούσας ἀναιροῦντες πολιτείας, τὴν λακωνικὴν, ἢ τινὰ ἄλλην ἐπαινοῦσι· χρὴ δὲ τοιαύτην εἰσηγεῖσθαι τάξιν, ἣν ῥᾳδίως ἐκ τῶν ὑπαρχουσῶν, ἐπεισθήσονται καὶ δυνήσονται κοινωνεῖν· ὡς ἔστιν οὐκ ἔλαττον ἔργον, τὸ ἐπανορθῶσαι πολιτείαν· ἢ κατασκευάζειν ἐξαρχῆς· ὥσπερ καὶ τὸ μεταμανθάνειν, τοῦ μανθάνειν ἐξαρχῆς· διὸ πρὸς τοῦ εἰρημένοις καὶ τῶν ὑπαρχούσῶν πολιτείαις δεῖ δύνασθαι βοηθεῖν τὸν πολιτικὸν, καθάπερ ἐλέχθη καὶ πρότερον· τοῦτο δὲ ἀδύνατον ἀγνοοῦντα πόσα πολιτείας ἔστιν εἴδη· νῦν δὲ μίαν δημοκρατίαν οἴονταί τινες εἶναι· καὶ μίαν ὀλιγαρχίαν, οὐκ ἔστι δὲ γοῦν τ' ἀληθές· ὥστε δεῖ τὰς διαφορὰς μὴ λανθάνειν τὰς τῶν πολιτειῶν πόσαι· καὶ συντίθεντα πόσα χρῆ· μετὰ δὲ τῆς αὐτῆς φρονήσεως ταύτης, ἐν νόμῳ τοὺς ἀρίστους εἰδεῖν· καὶ τοὺς ἑκάστη τῶν πολιτειῶν ἁρμόττοντας· πρὸς καὶ τὰς πολιτείας, τοὺς νόμους δεῖ τίθεσθαι, καὶ τίθεντα πάντες, ἀλλ' οὐ τὰς πολιτείας πρὸς τοὺς νόμους· πολιτεία μὲν γὰρ ἔστι τάξις ταῖς πόλεσιν ἡ περὶ τῶν ἀρχάς· τίνα τρόπον νενέμηνται καὶ τί τὸ κύριον τῆς πολιτείας, καὶ τί τὸ τέλος ἑκάστης τῆς κοινωνίας ἐστί· νόμοι δὲ, κεχωρισμένοι τῶν δηλοῦν τῶν τῆς πολιτείαν· καθ' οὓς δεῖ τοὺς ἄρχοντας ἄρχειν· καὶ φυλάττειν τοὺς παραβαίνοντας αὐτούς· ὥστε δῆλον ὅτι τῶν

διαφορὰς ἀναγκαῖον ἢ τὸν ἀριθμὸν ἔχειν ἢ πολιτείας ἑκάστης ἢ πρὸς τὰς τῶν νομοθέτας· ἀδύνατον γὰρ οἰόμενόν τι τὰς αὐτὰς νόμους συμφέρειν ταῖς ὀλιγαρχίαις· ἀδὲ ταῖς δημοκρατίαις πᾶσαις, εἴ γε δὴ πλείω καὶ μὴ μία δημοκρατία· μὴ δὲ ὀλιγαρχία μόνον ὄσιν· ἐπεὶ δ' ἐν τῇ πρώτῃ μεθόδῳ διῃρεῖτο πολιτειῶν διαφοραί, ξεῖς μὲν τὰς ὀρθὰς πολιτείας· βασιλείαν· ἀριστοκρατίαν· πολιτείαν· ξεῖς δ', τὰς τούτων παρεκβάσεις· τυραννίδα μὲν βασιλείας· ὀλιγαρχίαν δ' ἀριστοκρατίας· δημοκρατίαν δὲ πολιτείας· καὶ περὶ μὲν ἀριστοκρατίας καὶ βασιλείας εἴρηται· τὸ γὰρ περὶ ἀρίστης πολιτείας θεωρῆσαι· ταυτὸ ἢ περὶ τούτων ὄσιν ἐπεῖν τῶν ὀνομάτων· βούλεται δὲ ἑκατέρα κατ' ἀρετὴν σωτηρίαν κεχορηγημένη· ἔτι δὲ τί διαφέρουσιν ἀλλήλας ἀριστοκρατία, ἢ βασιλεία ἢ πότε δεῖ βασιλείαν νομίζειν, δῆλον ἐκ τοῦ πρότερον· λοιπὸν περὶ πολιτείας διελθεῖν ἐπὶ τῷ κοινῷ προσαγορευομένης ὀνόματι· καὶ περὶ τῶν ἄλλων πολιτειῶν, ὀλιγαρχίας τε καὶ δημοκρατίας, καὶ τυραννίδος· φανερὸν μὲν δὴ τούτων τὴν παρεκβάσεων τίς χείρων ἢ δευτέρα τίς· ἀνάγκη γὰρ τὴν μὲν ἐπὶ τῆς πρώτης ἠθικωτάτης παρεκβάσιν, εἶναι χείρων· τὴν δὲ βασιλείαν ἀναγκαῖον, ἢ τὸ ὄνομα μόνον ἔχειν ἀκούσαν· ἢ διὰ πολλὸν ὑπερέχειν εἶναι τὴν τοῦ βασιλεύοντος· ὥστε τὴν τυραννίδα χείρισην οὖσαν· ἀπολεῖσθαι πάντων πολιτειῶν· δευτέρα δὲ, τὴν ὀλιγαρχίαν· ἡ γὰρ ἀριστοκρατία, διέστηκεν ἀπωτάτω τῆς πολιτείας· μεγίστη τάτην ἢ τὴν δημοκρατίαν· ἡδὴ μὲν ἔν τισι ἀπεφήναμεν ἢ τὸ πρότερον οὕτως· οὐμὴν εἰς ταυτὸ βλέψας ἡμῖν ἐκεῖνος μὲν ἔκρινε, πασῶν μὲν οὐσῶν ἐπιεικῶν, οἷον, ὀλιγαρχίας τε καὶ τῶν ἄλλων, χείρισην δημοκρατίαν, φαύλων δὲ ἀρίστην· ἡμεῖς δὲ ὅλως ταύτας ἁμαρτημένας εἶναί φαμεν, ἢ βελτίω μὲν ὀλιγαρχίαν αἵρησιν ἄλλης, ἀκαλῶς ἔχει λέγειν· ἕπεται δὲ φαύλῳ· ἀλλὰ περὶ μὲν τοιαύτης κρίσεως, ἀφείσθω ταμῖν· ἡμῖν δὲ, πρῶτον μὲν διαιρετέον, πόσαι διαφοραὶ τῶν

πολιτειῶν

πολιτειῶν· εἴωθεν δ' εἶναι πολέμου καὶ τυραννίδος, ἧς
ὀλιγαρχίας· ἔπειτα τίς κοινωνία, καὶ τίς αἱρετωτάτη
μετὰ τὴν ἀρίστην πολιτείαν· καὶ εἴ τις ἄλλη τυγχάνει ἀρι
στοκρατικὴ· καὶ σωιζομένη καλῶς· ἀλλὰ ταῖς πολέσιν ἁρ-
μόττουσα πόλεσι τίς ἐστιν· ἔπειτα καὶ τῶν ἄλλων τίς τίσιν
αἱρετή· τάχα γὰρ τοῖς μὲν, ἂν ἀναγκαία δημοκρατία μᾶλλον
ὀλιγαρχίας· τοῖς δ' αὐτὴ μᾶλλον ἐκείνης· μετὰ δὲ ταῦτα τίνα
τρόπον δεῖ καθίστασθαι τὸν βουλόμενον ταύτας τὰς πολιτείας
λέγειν δὲ δημοκρατίας τὴν καθ' ἕκαστον εἶδος· ἧ πάλιν ὀλιγαρ
χίας· τέλος δὲ τῶν τοιούτων, ὅταν πρὸς ἃ μάλιστα συμφέρωσι τῇ
πόλει χρὴ μνείαν, πειρατέον ἐπελθεῖν, τίνες φθοραὶ, καὶ
τίνες σωτηρίαι τῶν πολιτειῶν· ἢ κοινὴ ἢ χωρὶς ἑκάστου, ἢ διὰ τί-
νας αἰτίας ταύτας μάλιστα γίνεσθαι πέφυκε· τὸ μὲν οὖν εἶναι
πλείους πολιτείας αἴτιον, ὅτι πάσης ὑπάρχει πόλεως
τὸν ἀριθμόν· πρῶτον μὲν γὰρ ἐξ οἰκιῶν συγκειμένας πάσας ὁ-
ρῶμεν τὰς πόλεις· ἔπειτα πάλιν φύσει τῶν πλήθους· τοὺς
μὲν, ὠνήτους ἀναγκαῖον εἶναι· τοὺς δ' ἀπόρους· τοὺς δὲ μέσους·
καὶ τῶν ἀπόρων δὲ τὸν ἀπόρων, τὸ μὲν, ὁπλιτικὸν, τὸ δὲ, ἄνο-
πλον· καὶ τὸν μὲν, γεωργικὸν δῆμον ὁρῶμεν ὄντα· τὸν δ' ἀγε-
ραῖον· τὸν δὲ, βάναυσον· ἐκ τῶν γινομένων εἰσὶ διαφοραὶ καὶ κτῆ
σεων πλοῦτον· καὶ τὸ μετέχειν οὐσίας· οἷον, ἱπποτροφίας·
τοῦτο γὰρ οὐχ ἧττον μὴ πλουσίων τοῦτο ποιεῖν· διόπερ ἐπὶ τῶν
ἀρχαίων χρόνων ὅσαις πόλεσιν, ἐν τοῖς ἱππικὴ δύναμις, ἦν
ὀλιγαρχίαι μᾶλλον αἱ πόλεις ἦσαν· ἐχρῶντο γὰρ πρὸς τοὺς πολεμίους
ἱππικοῖς πρὸς τοὺς ἀσυνέτους· οἷον, ἐρετριεῖς· καὶ χαλκι-
δεῖς· ἐκ μάχης τοῦτο οἱ ἐπὶ μαραθῶνι καὶ τῶν ἄλλων πολλοὶ πεζοὶ
τὴν οὐσίαν· ἔτι πρὸς ταῖς κατὰ πλοῦτον διαφοραῖς, ἔστιν ἡ μὲν
κατὰ γένος ἡ δὲ κατ' ἀρετὴν καὶ εἴ τι δεῖ τοιοῦτον ἕτερον
εἴρηται πρώτως εἶναι μέρος ἐν τοῖς περὶ τὴν ἀριστοκρατίαν·

ἐκεῖ γὰρ δεῖ λόμην ἐκπόσων μερῶν ἀναγκαίων ἐστὶ πᾶσα πό-
λις· τούτων γὰρ τῶν μερῶν, ὁ τὲ μὲν πάντα μετέχει τῆς πο-
λιτείας ὁ τὲ δὲ, ἐλάττω, ὁ τὲ δὲ, πλείω· φανερὸν τοίνυ, ὅτι πλεί-
ους ἀναγκαῖον εἶναι πολιτείας εἴδει διαφερούσας ἀλλήλων· καὶ
γὰρ ταῦτ' εἴδει διαφέρει τὰ μέρη σφῶν αὐτῶν· πολιτεία μὲν
γὰρ ἡ τῶν ἀρχῶν τάξις ἐστί· ταύτην δὲ διανέμονται πάντες, ἢ
κατὰ τὴν δύναμιν τῶν μετεχόντων· ἢ κατά τινα αὐτῶν ἰσότητα
κοινήν· λέγω, δ' οἷον τῶν ἀπόρων· ἢ τῶν εὐπόρων· ἢ κοινήν τιν'
ἀμφοῖν· ἀναγκαῖον ἄρα πολιτείας εἶναι τοσαύτας, ὅσαι περὶ
τάξεις κατὰ τὰς ὑπεροχάς εἰσι καὶ κατὰ τὰς διαφορὰς
τῶν μορίων· μάλιστα δὲ δοκοῦσιν εἶναι δύο· καθάπερ ἐπὶ τῶν
πνευμάτων λέγεται· τὰ μὲν, βόρεια· τὰ δὲ, νότια· τὰ δ' ἄλλα
τούτων παρεκβάσεις, οὕτω καὶ τῶν πολιτειῶν, δύο· δῆμος·
καὶ ὀλιγαρχία· τὴν γὰρ ἀριστοκρατίαν τῆς ὀλιγαρχίας εἶδος
τιθέασιν· ὡς οὖσαν ὀλιγαρχίαν τινὰ, καὶ τὴν καλουμένην πο-
λιτείαν, δημοκρατίαν ὥσπερ ἐν τοῖς πνεύμασι· τὸν μὲν ζέ-
φυρον τοῦ βορέου· τοῦ δὲ νότου τὸν εὖρον· ὁμοίως δ' ἔχει καὶ
περὶ τὰς ἁρμονίας ὥς φασί τινες· καὶ γὰρ ἐκεῖ τίθενται εἴδη
δύο· τὴν δωριστὶ· καὶ φρυγιστί· τὰ δ' ἄλλα συντάγματα, τὰ
μὲν, δώρια· τὰ δὲ φρύγια καλοῦσι· μάλιστα μὲν οὖν εἰώθα-
σιν οὕτως ὑπολαμβάνειν· περὶ τῶν πολιτειῶν, ἀληθέστερον
δὲ καὶ βέλτιον ὡς ἡμεῖς δεῖ λόμεν, δυεῖν ἢ μιᾶς οὔσης τῆς κα-
λῶς συνεστηκυίας, τὰς ἄλλας εἶναι παρεκβάσεις· τὰς μὲν
τῆς εὐκεκραμένης ἁρμονίας, τὰς δὲ, τῆς ἀρίστης πολιτείας· ὀ-
λιγαρχικὰς μὲν τὰς συντονωτέρας καὶ δεσποτικωτέρας· τὰς
δ' ἀνειμένας καὶ μαλακὰς, δημοτικάς· οὐδεῖ δὲ τιθέναι δημοκρα-
τίαν καθάπερ εἰώθασί τινες νῦν ἁπλῶς οὕτως· ὅπου κύριον
τὸ πλῆθος· καὶ γὰρ ἐν ταῖς ὀλιγαρχίαις καὶ πανταχοῦ τὸ πλέον
μέρος κύριον· εἰ γὰρ εἴησαν οἱ πάντες χίλιοι καὶ τριακόσιοι·

καὶ

καὶ τούτων οἱ χίλιοι πλούσιοι, καὶ μὴ μεταδιδοῖεν ἀρχῆς τοῖς τριακοσίοις καὶ πένησιν ἐλευθέροις οὖσι καὶ τἄλλα ὁμοίοις, οὐθεὶς ἂν φαίη δημοκρατεῖσθαι τούτους· οὐδ' ὀλιγαρχίαν ὅπου κύριοι ὀλίγοι τῆς πολιτείας· ὁμοίως δὲ καὶ εἰ πένητες μὲν ὀλίγοι εἶεν· κρείττους δὲ τῶν εὐπόρων πλειόνων ὄντων, οὐδεὶς ἂν ὀλιγαρχίαν προσαγορεύσειεν· οὐδὲ τὴν τοιαύτην εἰ τοῖς ἄλλοις οὖσι πλουσίοις μὴ μετείη τῶν τιμῶν· μᾶλλον τοίνυν λεκτέον, ὅτι δῆμος μέν ἐστιν, ὅταν οἱ ἐλεύθεροι κύριοι ὦσιν· ὀλιγαρχία δ' ὅταν οἱ πλούσιοι· ἀλλὰ συμβαίνει τοὺς μὲν, πολλοὺς εἶναι· τὸς δ' ὀλίγους· ἐλεύθεροι μὲν γὰρ πολλοί· πλούσιοι δ' ὀλίγοι· καὶ γὰρ ἂν εἰ κατὰ μέγεθος διενέμοντο τὰς ἀρχὰς ὥσπερ ἐν αἰθιοπίᾳ φασί τινες ἢ κατὰ κάλλος, ὀλιγαρχία ἦν ἄν· ὀλίγον γὰρ τὸ πλῆθος καὶ τὸ τῶν καλῶν καὶ τὸ τῶν μεγάλων· οὐ μὴν ἀλλ' οὐδὲ τούτοις μόνον ἱκανῶς ἔχει διωρίσθαι τὰς πολιτείας ταύτας· ἀλλ' ἐπεὶ πλείονα μόρια καὶ τοῦ δήμου καὶ τῆς ὀλιγαρχίας εἰσίν, ἔτι διαληπτέον ὡς οὐ τἂν εἰ ἐλεύθεροι ὀλίγοι ὄντες πλειόνων καὶ μὴ ἐλευθέρων ἄρχωσι, δῆμος· οἷον, ἐν ἀπολλωνίᾳ τῇ ἐν τῷ ἰονίῳ, καὶ ἐνθήρᾳ· ἐν τούτων γὰρ ἑκατέρᾳ τῶν πόλεων, ἐν ταῖς τιμαῖς ἦσαν οἱ διαφέροντες κατ' εὐγένειαν· καὶ πρῶτοι καταχόντες τὰς ἀποικίας ὀλίγοι ὄντες πολλῶν· οὔτε ἂν εἰ πλούσιοι διὰ τὸ κατὰ πλῆθος ὑπερέχειν, δῆμος· οἷον ἂν ἐν κολοφῶνι τὸ παλαιόν· ἐκεῖ γὰρ ἐκέκτηντο μακρὰν οὐσίαν οἱ πλείους πρὶν γενέσθαι τὸν πόλεμον τὸν πρὸς λυδούς· ἀλλ' ἔστι δημοκρατία μὲν, ὅταν οἱ ἐλεύθεροι καὶ ἄποροι πλείους ὄντες, κύριοι τῆς ἀρχῆς ὦσιν· ὀλιγαρχίαι δὲ ὅταν οἱ πλούσιοι καὶ εὐγενέστεροι ὀλίγοι ὄντες· ὅτι μὲν οὖν πολιτεῖαι πλείους, καὶ δι' ἣν αἰτίαν, εἴρηται· διότι δὲ πλείους τῶν εἰρημένων· καὶ τίνες καὶ διὰ τί, λέγωμεν· ἀρχὴν λαβόντες τὴν εἰρημένην πρότερον· ὁμολογοῦμεν δὲ

οὐχ ἓν μέρος· ἀλλὰ πλείω πᾶσαν ἔχειν πόλιν· ὥσπερ οὖν
εἰ ζώου προῃρούμεθα λαβεῖν εἴδη· πρῶτον ἂν ἀποδιωρίζομεν
ὅπερ ἀναγκαῖον πᾶν ἔχειν ζῶον· οἷον, ἐνιάτε τῶν αἰσθητηρί-
ων καὶ τὸ τῆς τροφῆς ἐργαστικὸν καὶ δεκτικόν· οἷον, στόμα καὶ
κοιλίαν· πρὸς δὲ τούτοις οἷς κινεῖται μορίοις ἕκαστον αὐτῶν·
εἰδὴ τοσαῦτα εἴδη μόνον· τούτων δ' εἶεν διαφοραί· λέγω δ'
οἷον στόματος τινὰ πλείω γένη καὶ κοιλίας· καὶ τῶν αἰσθη-
τηρίων· ἔτι δὲ καὶ τῶν κινητικῶν μορίων ὁ τῆς συζεύξεως τῆς
τούτων ἀριθμός· ἐξ ἀνάγκης ποιήσει πλείω γένη ζώων· οὐ γὰρ οἷ-
όν τε ταυτὸν ζῶον ἔχειν πλείους στόματος διαφοράς· ὁμοίως δὲ
οὐδὲ ὤτων· ὡς θ' ὅταν ληφθῶσι τούτων πάντες οἱ ἐνδεχόμενοι
συνδυασμοί, ποιήσουσιν εἴδη ζώου· καὶ τοσαῦτ' εἴδη τοῦ ζώου
ὅσαι περ αἱ συζεύξεις τῶν ἀναγκαίων μορίων εἰσί· τὸν αὐτὸν
δὲ τρόπον καὶ τῶν εἰρημένων πολιτειῶν· καὶ γὰρ αἱ πόλεις
οὐκ ἐξ ἑνός, ἀλλ' ἐκ πολλῶν σύγκειν ται μερῶν, ὥσπερ εἴρηται
πολλάκις· ἓν μὲν οὖν ἐστὶ τὸ περὶ τὴν τροφὴν πλῆθος· οἱ καλού-
μενοι γεωργοί· δεύτερον δὲ, τὸ καλούμενον βάναυσον· ἔστι δὲ τοῦτο
περὶ τὰς τέχνας· ὧν ἄνευ πόλιν ἀδύνατον οἰκεῖσθαι· τούτων
δὲ τῶν τεχνῶν· τὰς μὲν, ἐξ ἀνάγκης ὑπάρχειν δεῖ· τὰς δὲ εἰς τρο-
φήν· ἢ τὸ καλῶς ζῆν· τρίτον δ' ἀγοραῖον· λέγω δὲ ἀγοραῖον, τὸ
περὶ τὰς πράσεις καὶ τὰς ὠνάς· καὶ τὰς ἐμπορίας· καὶ καπηλείας
διατρίβον· τέταρτον δὲ τὸ θητικόν· πέμπτον δὲ γένος, τὸ προπο-
λεμῆσον· ὃ τούτων οὐθὲν ἧττον ἐστὶν ἀναγκαῖον ὑπάρχειν εἰ μέλ-
λουσι μὴ δουλεύσειν τοῖς ἐπιοῦσι· μὴ γὰρ ἓν τῶν ἀδυνάτων ἢ πόλιν
ἄξιον εἶναι καλεῖν, τὴν φύσει δούλην· αὐτάρκης γὰρ ἡ πόλις·
τὸ δὲ δοῦλον, οὐκ αὔταρκες· διόπερ ἐν τῇ πολιτείᾳ κομψῶς
τοῦτο· οὐχ ἱκανῶς δὲ εἴρηται· φησὶ γὰρ ὁ σωκράτης ἐκ τεττά-
ρων τῶν ἀναγκαιοτάτων πόλιν συγκεῖσθαι· λέγει δὲ τούτους
ὑφάντην, καὶ γεωργόν· καὶ σκυτοτόμον· καὶ οἰκοδόμον· πά-

λιν

λιν δὲ προστίθησιν ὡς οὐκ αὐτάρκων τούτων, χαλκέα· καὶ τοὺς ἐπὶ τοῖς ἀναγκαίοις βοσκήμασιν· ἔτι δὲ ἔμπορόν τε καὶ κάπηλον· καὶ πάντα ταῦτα γίνεται πλήρωμα τῆς πρώτης πόλεως· ὡς τῶν ἀναγκαίων τε χάριν πᾶσαν πόλιν συνεστηκυῖαν· ἀλλ' οὐτοῦ καλοῦ μᾶλλον· ἴσον τὲ δεομένην σκυτέων καὶ γεωργῶν· τὸ δὲ προπολεμοῦν οὐ πρότερον ἀποδίδωσι μέρος, πρὶν ἢ τῆς χώρας αὐξομένης καὶ τῆς τῶν πλησίων ἁπτομένων, εἰς πόλεμον καταστῶσιν· ἀλλὰ μὴν καὶ ἐν τοῖς τέτταρσι καὶ τοῖς ὁποσοισοῦν κοινωνοῖς, ἀναγκαῖον εἶναί τινα τὸν ἀποδώσοντα, καὶ κρινοῦντα τὸ δίκαιον, εἴπερ οὖν καὶ ψυχὴν ἄντις θείη ζώου μόριον μᾶλλον ἢ σῶμα καὶ πόλεων τὰ τοιαῦτα μᾶλλον θετέον, τῶν εἰς τὴν ἀναγκαίαν χρῆσιν συντεινόντων· τὸ πολεμικὸν καὶ τὸ μετέχον δικαιοσύνης δικαστικῆς· πρὸς δὲ τούτοις τὸ βουλευόμενον, ὅπερ ἐστὶ συνέσεως πολιτικῆς ἔργον· καὶ ταῦτ' εἴτε κεχωρισμένως ὑπάρχει τισὶν, εἴτε τοῖς αὐτοῖς, οὐθὲν διαφέρει πρὸς τὸν λόγον· ⊼ ὁπλιτεύειν ⊼ γεωργῶν συμβαίνει τοῖς αὐτοῖς πολλάκις· ὥστε εἴπερ καὶ ταῦτα καὶ ἐκεῖνα θετέα μόρια τῆς πόλεως, φανερὸν ὅτι τόγε ὁπλιτικὸν ἀναγκαῖόν ἐστι μόριον τῆς πόλεως· ἕβδομον δὲ, τὸ ταῖς οὐσίαις λειτουργοῦν· ὃ καλοῦμεν εὐπόρους· ὄγδοον δὲ, τὸ δημιουργικὸν, καὶ τὸ περὶ τὰς ἀρχὰς λειτουργοῦν· εἴπερ ἄνευ ἀρχόντων ἀδύνατον εἶναι πόλιν· ἀναγκαῖον οὖν εἶναί τινας τοὺς δυναμένους ἄρχειν καὶ λειτουργοῦντας, ἢ συνεχῶς, ἢ κατὰ μέρος τῇ πόλει ταύτην τὴν λειτουργίαν· λοιπὰ δὲ περὶ ὧν τυγχάνομεν διωρικότες ἀρτίως· τὸ βουλευόμενον καὶ κρῖνον περὶ τῶν δικαίων τοῖς ἀμφισβητοῦσιν, εἴπερ οὖν ταῦτα δεῖ γενέσθαι ταῖς πόλεσι καὶ καλῶς γίνεσθαι καὶ δικαίως, ἀναγκαῖον καὶ μετέχοντας εἶναί τινας ἀρετῆς τῶν πολιτικῶν· τὰς μὲν οὖν ἄλλας δυνάμεις τοῖς αὐτοῖς ὑπάρχειν ἐνδέχεσθαι δοκεῖ πολλοῖς· οἷον τοὺς αὐτοὺς εἶναι προπολεμοῦντας, καὶ γεωργοῦντας· καὶ τεχνίτας·

ἔτι δὲ τοὺς βουλομένους τὰ κρίνονται· αὐτὶ πρὶν οὖν τοι δὲν
φῆ ἀρετῆς φαίνεσθαι καὶ τὰς πολείσας ἄρχειν οἴονται δεῖν αὐτὰς·
ἀλλὰ πένεσθαι καὶ πλουτεῖν φησὶ αὐτούς, ἀδικίαν· διὸ ταῦτα
μέρη μάλιστα εἶναι δοκεῖ πόλεως οἱ ὑπροι· καὶ οἱ ἄπροι· ἔτι
δὲ διὰ τὸ ὡς ἐπὶ τὸ πολὺ, τοὺς μὲν, ὀλίγους εἶναι· τοὺς δὲ πολλούς,
ταῦτα ἐναντία μέρη φαίνεται τῆς πόλεως μορίων· ὥστε
εἰ τὰς πολιτείας κατὰ τὰς ὑπεροχὰς τούτων καθιεῖσι· καὶ
δύο πολιτεῖαι δοκοῦσιν εἶναι, δημοκρατία καὶ ὀλιγαρχία· ὅτι
μὲν οὖν εἰσὶ πολιτεῖαι πλείους, καὶ διὰ τίνας αἰτίας, εἴρηται
πρότερον· ὅτι δ' ὅδε καὶ δημοκρατίας εἴδη πλείω καὶ ὀλιγαρ
χίας, λέγω μὲν· φανερὸν δὲ τοῦτο καὶ ἐκ τῶν εἰρημένων· εἴδη
γὰρ πλείω τοῦ τε δήμου καὶ τῶν λεγομένων γνωρίμων ὄντος·
οἷον, δήμου μὲν εἴδη, τὸ μὲν οἱ γεωργοί· ἕτερον δὲ, τὸ περὶ τὰς
τέχνας· ἄλλο δὲ, τὸ ἀγοραῖον· τὸ περὶ ὠνὴν καὶ πρᾶσιν διαπρί-
βον· ἄλλο δὲ, τὸ περὶ τὴν θάλατταν· εἰ τούτου, τὸ μὲν, πολεμι-
κόν· τὸ δὲ, χρηματιστικόν, τὸ ἢ πορθμευτικόν· τὸ δ' ἁλιευτικὸν· πλ-
λαχοῦ δὲ καστα τούτων πλήθη· οἷον, ἁλιεῖς μὲν, τριήρους καὶ
βυζαντίῳ· ξηρικὸν δὲ ἀθηνήσιν· ἐμπορικὸν δὲ τὸ αἰγίνῃ· τὸ
χίῳ· πορθμικὸν, τενέδῳ· πρὸς δὲ τούτοις, τὸ χρηματικὸν, καὶ
τὸ μικρὰν ἔχον οὐσίαν· ὥστε μὴ δύνασθαι σχολάζειν· ἔτι τὸ μὴ ἐξ
ἀμφοτέρων πολιτῶν ἐλεύθερον· καὶ εἴ τι τοιοῦτον ἕτερον πλήθ-
θους εἶδος· τὸ δὲ γνωρίμων, πλοῦτος· εὐγένεια· ἀρετή· παιδεία·
καὶ τὰ τούτοις λεγόμενα κατὰ τὴν διαφοράν· δημοκρατία
μὲν οὖν ὅδε, πρώτη μὲν ἐλευθερία μάλιστα κατὰ τὸ ἴσον· ἴσον γὰρ
φησὶν ὁ νόμος ὁ τοιαύτης δημοκρατίας τὸ μηδὲν μᾶλλον
ὑπάρχειν τοὺς ἀπόρους, ἢ τοὺς εὐπόρους· μὴ δὲ κυρίους εἶναι ὁπο-
τέρους οὖν, ἀλλ' ὁμοίως ἀμφοτέρους· εἰ γὰρ ἐλευθερία μάλιστ' ἐστὶν
ἐν δημοκρατίᾳ, καθάπερ ὑπολαμβάνουσί τινες, καὶ ἰσότης· οὕ-
τως ἂν εἴη μάλιστα, κοινωνούντων ἁπάντων μάλιστα τῆς πολι-
τείας ὁμοίως· ἐπεὶ δὲ πλείων ὁ δῆμος, κύριον δὲ τὸ δόξαν τοῖς
πλείοσιν,

πλείοσιν ἀνάγκη δημοκρατίαν εἶναι ταύτην· ἐν μὲν οὖν εἶδος δημοκρατίας τοῦτο· ἄλλο δὲ, τὸ τὰς ἀρχὰς ἀπὸ τιμημάτων εἶναι· βραχέων δὲ τούτων ὄντων· δεῖ δὲ τῷ κτωμένῳ ἐξουσίαν εἶναι μετέχειν· τὸν ἀποβάλλοντα μὴ μετέχειν· ἕτερον εἶδος δημοκρατίας, τὸ μετέχειν ἅπαντας τοὺς πολίτας ὅσοι ἂν ὑπεύθυνοι· ἄρχειν δὲ τὸν νόμον· ἕτερον δὲ εἶδος δημοκρατίας τὸ πᾶσι μετεῖναι τῶν ἀρχῶν, ἐὰν μόνον ἦ πολίτης· ἄρχειν δὲ τὸν νόμον· ἕτερον δ' εἶδος δημοκρατίας, τἄλλα μὲν εἶναι ταυτά· κύριον δ' εἶναι τὸ πλῆθος καὶ μὴ τὸν νόμον· τοῦτο δὲ γίνεται ὅταν τὰ ψηφίσματα κύρια ἦ ἀλλὰ μὴ ὁ νόμος· συμβαίνει δὲ τοῦτο, διὰ τοὺς δημαγωγούς· ἐν μὲν γὰρ ταῖς κατὰ νόμον δημοκρατουμέναις, οὐ γίνεται δημαγωγός· ἀλλ' οἱ βέλτιστοι τῶν πολιτειῶν εἰσιν ἐν προεδρίᾳ· ὅπου δ' οἱ νόμοι μή εἰσι κύριοι, ἐν ταῦθα γίνονται δημαγωγοί· μόναρχος γὰρ ὁ δῆμος γίνεται συνθετος εἷς ἐκ πολλῶν· οἱ γὰρ πολλοὶ κύριοί εἰσιν, οὐχ ὡς ἕκαστος, ἀλλὰ πάντες· ὅμηρος δὲ πρίαν λέγει οὐκ ἀγαθὸν εἶναι πολυκοιρανίην· πότερον ταύτην, ἢ ὅταν πλείους ὦσιν οἱ ἄρχοντες ὡς ἕκαστος, ἄδηλον· ὁ δοὺν τοι οὗτος δῆμος ἀτεμόναρχος ὢν, ζητεῖ μοναρχεῖν, διὰ τὸ μὴ ἄρχεσθαι ὑπὸ νόμου· καὶ γίνεται δεσποτικός· ὡς τε οἱ κόλακες, ἔντιμοι· καὶ ἔστιν ὁ τοιοῦτος δῆμος, ἀνάλογον τῶν μοναρχιῶν τῇ τυραννίδι· διὸ καὶ τὸ ἦθος τὸ αὐτό· καὶ ἄμφω δεσποτικὰ τῶν βελτιόνων· καὶ τὰ ψηφίσματα ὥσπερ ἐκεῖ τὰ ἐπιτάγματα· καὶ ὁ δημαγωγός· καὶ ὁ κόλαξ οἱ αὐτοί· καὶ ἀνάλογον· καὶ μάλιστα δ' ἑκάτεροι ἰσχύουσιν· οἱ μὲν κόλακες παρὰ τυράννοις· οἱ δὲ δημαγωγοὶ, τοῖς δήμοις τοῖς τοιούτοις· αἴτιοι δέ εἰσι τοῦ εἶναι τὰ ψηφίσματα κύρια ἀλλὰ μὴ τοὺς νόμους, οὗτοι πάντα ἀνάγοντες εἰς τὸν δῆμον· συμβαίνει δὲ αὐτοῖς γίνεσθαι μεγάλοις, διὰ τὸ τὸν μὲν δῆμον εἶναι κύριον· τῆς δὲ τοῦ δήμου δόξης τούτους· πίθεται γὰρ τὸ πλῆθος τούτοις· ἔτι δὲ οἱ ταῖς ἀρχαῖς ἐγκαλοῦντες τὸν δῆμον

φασὶ δεῖν κρίνειν. ὁ δὲ, ἀσμένως δέχεται τὴν πρόκλησιν.
ὥστε καταλύονται πᾶσαι αἱ ἀρχαί. εὐλόγως δὲ ἂν δόξειεν
ἐπιτιμᾶν ὁ φάσκων τὴν τοιαύτην εἶναι δημοκρατίαν οὐ
πολιτείαν. ὅπου γὰρ μὴ νόμοι ἄρχουσιν, οὐκ ἔστι πολιτεία. Δεῖ
γὰρ τὸν μὲν νόμον ἄρχειν πάντων. τῶν δὲ καθέκαστα, τὰς ἀρ-
χὰς καὶ τὴν πολιτείαν κρίνειν. ὥστ' εἴπερ ἐστὶ δημοκρατία
μία τῶν πολιτειῶν, φανερὸν ὡς ἡ τοιαύτη κατάστασις, ἐν
ᾗ ψηφίσμασι πάντα δι' οἰκεῖται, οὐδὲ δημοκρατία κυρίως.
οὐδὲν γὰρ ἐνδέχεται ψήφισμα εἶναι καθόλου. τὰ μὲν οὖν τῆς
δημοκρατίας εἴδη, διωρίσθω τὸν τρόπον τοῦτον. ὀλιγαρ-
χίας δὲ εἴδη, ἓν μὲν τὸ ἀπὸ τιμημάτων εἶναι τὰς ἀρχὰς τη-
λικούτων. ὥστε τοὺς ἀπόρους μὴ μετέχειν πλείους ὄντας.
ἐξεῖναι δὲ τῷ κτωμένῳ μετέχειν τῆς πολιτείας. ἄλλο δὲ ὅ-
ταν ἀπὸ τιμημάτων μικρῶν ὦσιν αἱ ἀρχαί. καὶ αἱρῶνται
αὐτοὶ τοὺς ἐλλείποντας. ἂν μὲν οὖν ἐκ πάντων τούτων
τοῦτο ποιῶσι, δοκεῖ τοῦτ' εἶναι μᾶλλον ἀριστοκρατικόν. ἐὰν δὲ
ἔκτινων ἀφωρισμένων, ὀλιγαρχικόν. ἕτερον εἶδος ὀλιγαρχίας.
ὅταν παῖς ἀντὶ πατρὸς εἰσίῃ. τέταρτον δ' ὅταν ὑπάρχῃ τό-
τε νῦν λεχθέν. καὶ ἄρχῃ μὴ ὀνόμος. ἀλλ' οἱ ἄρχοντες. καὶ ἔστιν
ἀντίστροφος αὕτη ἐν ταῖς ὀλιγαρχίαις. ὥσπερ ἡ τυραννὶς ἐν
ταῖς μοναρχίαις. καὶ περὶ ἧς τελευταίας, εἴπομεν δημοκρα-
τίας ἐν ταῖς δημοκρατίαις. καὶ καλοῦσι δὴ τὴν τοιαύτην ὀ-
λιγαρχίαν δυναστείαν. ὀλιγαρχίας μὲν οὖν εἴδη τοσαῦτα καὶ
δημοκρατίας. οὐδεῖ δὲ λανθάνειν ὅτι πολλαχοῦ συμβέβη-
κεν, ὥστε τὴν μὲν πολιτείαν τὴν κατὰ τοὺς νόμους μὴ δη-
μοτικὴν εἶναι. διὰ δὲ τὸ ἦθος καὶ τὴν ἀγωγὴν πολιτεύεσθαι
δημοτικῶς. ὁμοίως δὲ πάλιν παρ' ἄλλοις, τὴν μὲν κατὰ τοὺς νό-
μους εἶναι πολιτείαν, δημοτικωτέραν. τῇ δ' ἀγωγῇ καὶ τοῖς
ἔθεσιν ὀλιγαρχεῖσθαι μᾶλλον. συμβαίνει δὲ τοῦτο μάλιστα
μετὰ τὰς μεταβολὰς τῶν πολιτειῶν. οὐ γὰρ εὐθὺς μεταβαί-

νουσιν.

νουσιν ἀλλὰ ἀγαπῶσι τὰ πρῶτα, μικρὰ πλεονεκτοῦντες παρ' ἀλλήλων. ὥςθ' οἱ μὲν νόμοι διαμένουσιν οἱ προϋπάρχοντες· κρατοῦσι δ' οἱ μεταβάλλοντες τὴν πολιτείαν. ὅτι δ' ἐστὶ τοσαῦτα εἴδη δημοκρατίας καὶ ὀλιγαρχίας, ἐξ αὐτῶν τῶν εἰρημένων φανερόν ἐστιν. ἀνάγκη γὰρ ἢ πάντα τὰ εἰρημένα μέρη τοῦ δήμου κοινωνεῖν τῆς πολιτείας· ἢ τὰ μὲν, τὰ δὲ μή· ὅταμ μὲν οὖν τὸ γεωργικὸν καὶ τὸ κεκτημένον μετρίαν οὐσίαν κύριον ᾖ τῆς πολιτείας, πολιτεύονται κατὰ νόμους· ἔχουσι γὰρ ἐργαζόμενοι ζῆν· οὐ δύνανται δὲ σχολάζειν· ὥςτε τὸν νόμον ἐπιστήσαντες, ἐκκλησιάζουσι τὰς ἀναγκαίας ἐκκλησίας· τοῖς δὲ ἄλλοις μετέχειν ἔξεστιν, ὅταν κτήσωνται τὸ τίμημα τὸ διωρισμένον ὑπὸ τῶν νόμων· ὅλως μὲν γὰρ τὸ μὲν μὴ ἐξεῖναι πᾶσιν, ὀλιγαρχικόν· τὸ δὲ δὴ ἐξεῖναι σχολάζειν, ἀδύνατον μὴ προσόδων οὐσῶν· τοῦτο μὲν οὖν εἶδος ἐν δημοκρατίας· διὰ ταύτας τὰς αἰτίας· ἕτερον δὲ εἶδος διὰ τὴν ἐχομένην αἵρεσιμ· ἔστι γὰρ καὶ πᾶσιν ἐξεῖναι τοῖς ἀνυπευθύνοις κατὰ τὸ γένος· μετέχειν μέντοι δυναμένοις σχολάζειν· διόπερ ἐν τῇ τοιαύτῃ δημοκρατίᾳ οἱ νόμοι ἄρχουσι· διὰ τὸ μὴ εἶναι πρόσοδον· τρίτον δ' εἶδος τὸ πᾶσιν ἐξεῖναι ὅσοι ἂν ἐλεύθεροι ὦσι μετέχειν τῆς πολιτείας· μὴ μέντοι μετέχειν διὰ τὴν προειρημένην αἰτίαν· ὥςτ' ἀναγκαῖον καὶ ἐν ταύτῃ ἄρχειν τὸν νόμον· τέταρτον δὲ εἶδος δημοκρατίας ἡ τελευταία τοῖς χρόνοις, ἐν ταῖς πόλεσι γεγενημένη· διὰ γὰρ τὸ μείζους γεγονέναι πολὺ, τὰς πόλεις τῶν ἐξ ὑπαρχῆς καὶ προσόδων ὑπάρχειν εὐπορίας, μετέχουσι μὲν πάντες τῆς πολιτείας διὰ τὴν ὑπεροχὴν τοῦ πλήθους· κοινωνοῦσι δὲ καὶ πολιτεύονται, διὰ τὸ δύνασθαι σχολάζειν· καὶ τοὺς ἀπόρους λαμβάνοντας μισθόν· καὶ μάλιστα δὲ σχολάζει τὸ τοιοῦτον πλῆθος· οὐ γὰρ ἐμποδίζει αὐτοὺς οὐθὲν ἡ τῶν ἰδίων ἀμέλεια· τοὺς δὲ πλουσίους ἐμποδίζει· ὥςτε πολλάκις οὐ κοινωνοῦσι τῆς ἐκκλησίας, οὔτε τοῦ δικάζειν· διὸ γίνεται τὸ τῶν ἀπόρων πλῆθος, κύριον

τῶν πολιτείας· ἀλλ' οὐχ οἱ νόμοι· τὰ μὲν οὖν τῆς δημοκρατίας εἴδη
τοσαῦτα καὶ τοιαῦτα διὰ ταύτας τὰς ἀνάγκας ἐστί· τὰ δὲ,
τῆς ὀλιγαρχίας, ὅταν μὲν πλείους ἔχωσιν οὐσίαν· ἐλάττω δὲ
μὴ πολλὴν λίαν, τὸ τῆς πρώτης ὀλιγαρχίας εἶδος ἐστί· ποιοῦσι γὰρ
ἐξουσίαν μετέχειν τῷ κτωμένῳ· καὶ διὰ τὸ πλῆθος εἶναι τῶν με-
τεχόντων τοῦ πολιτεύματος, ἀνάγκη μὴ τοὺς ἀνθρώπους, ἀλ-
λὰ τὸν νόμον εἶναι κύριον· ὅσῳ γὰρ ἂν πλείον ἀπέχωσι τῆς μο-
ναρχίας, καὶ μήτε τοσαύτην ἔχωσιν οὐσίαν ὥστε σχολάζειν ἀμε-
λοῦντας, μήθ' οὕτως ὀλίγην, ὥστε τρέφεσθαι ἀπὸ τῆς πόλεως, ἀνά-
γκη τὸν νόμον ἀξιοῦν αὐτοῖς ἄρχειν· ἀλλὰ μὴ αὐτούς· ἐὰν δὲ
δὴ ἐλάττους ὦσιν οἱ τὰς οὐσίας ἔχοντες, εἰ μὲν τὸ πρότερον
πλείω δὲ τὸ τῆς δευτέρας ὀλιγαρχίας γίνεται εἶδος· μᾶλλον γὰρ ἰσχύον-
τες πλεονεκτεῖν ἀξιοῦσι· διὸ αὐτοὶ μὲν, αἱροῦνται ἐκ τῶν ἄλλων
τοὺς εἰς τὸ πολίτευμα βαδίζοντας· διὰ τὸ μὴ πω οὕτως ἰσχυροὶ
εἶναι· ὥστ' ἄνευ νόμου ἄρχειν τὸν νόμον τίθενται τοιοῦτον· ἐὰν
δ' ἐπιτείνωσι τῷ ἐλάττονες ὄντες μείζονας οὐσίας ἔχειν, ἡ τρίτη
ἐπίδοσις γίνεται τῆς ὀλιγαρχίας· τὸ δ' αὐτῶν μὲν τὰς ἀρχὰς
ἔχειν, κατὰ νόμον δὲ τὸν κελεύοντα τῶν τελευτώντων διαδέ-
χεσθαι τοὺς υἱεῖς· ὅταν δὲ ἤδη πολὺ ὑπερτείνωσι ταῖς οὐσίαις,
καὶ ταῖς πολυφιλίαις, ἐγγὺς ἡ τοιαύτη δυναστεία μοναρχίας
ἐστί· καὶ κύριοι γίνονται οἱ ἄνθρωποι· ἀλλ' οὐχ ὁ νόμος· καὶ τὸ τέταρ-
τον εἶδος τῆς ὀλιγαρχίας, τουτέστιν ἀντίστροφον τῷ τελευταίῳ
τῆς δημοκρατίας· ἔτι δ' εἰσὶ δύο πολιτεῖαι παρὰ δημοκρα-
τίαν τε καὶ ὀλιγαρχίαν· ὧν τὴν μὲν ἑτέραν λέγουσί τε πάν-
τες ἐπείρηται, τῶν τεττάρων πολιτειῶν εἶδος ἕν· λέγουσι δὲ τέτ-
ταρας· μοναρχίαν· ὀλιγαρχίαν· δημοκρατίαν· τέταρτον δὲ τῆς
καλουμένην ἀριστοκρατίαν· πέμπτη δ' ἐστὶν, ἣ προσαγορεύεται
τὸ κοινὸν ὄνομα πασῶν· πολιτείαν γὰρ καλοῦσιν, ἀλλὰ διὰ τὸ
μὴ πολλάκις γίνεσθαι, λανθάνει τοὺς πειρωμένους ἀριθμεῖν τὰ
τῶν πολιτειῶν εἴδη· καὶ χρῶνται ταῖς τέτταρσι μόνον· ὥστε πρὸς

πλάτων

πλάτων ἐν ταῖς πολιτείαις· ἀριστοκρατία μὲν οὖν καλῶς
ἔχει καλεῖν, περὶ ἧς διήλθομεν ἐν τοῖς πρώτοις λόγοις· τὴν
γὰρ ἐκ τῶν ἀρίστων ἁπλῶς κατ' ἀρετὴν πολιτείαν, καὶ μὴ πρὸς
ὑπόθεσιν τινὰ ἀγαθῶν ἀνδρῶν, μόνην δίκαιον προσαγορεύειν
ἀριστοκρατίαν· ἐν μόνῃ γὰρ ἁπλῶς ὁ αὐτὸς ἀνὴρ καὶ πολίτης
ἀγαθός ἐστιν· οἱ δ' ἐν ταῖς ἄλλαις ἀγαθοὶ, πρὸς τὴν πολιτείαν εἰσὶ τὴν
αὐτῶν· οὐ μὴν, ἀλλ' εἰσὶ τινὲς, αἳ πρός τε τὰς ὀλιγαρχουμένας
ἔχουσι διαφορὰς, καὶ καλοῦνται ἀριστοκρατίαι· καὶ πρὸς τὴν
καλουμένην πολιτείαν· ὅπου γε μὴ μόνον πλουτίνδην, ἀλ-
λὰ καὶ ἀριστίνδην αἱροῦνται τὰς ἀρχάς· αὕτη ἡ πολιτεία δια-
φέρει τὲ ἀμφοῖν, καὶ ἀριστοκρατικὴ, καλεῖται· καὶ γὰρ ἐν ταῖς
μὴ τριουμέναις κοινὴν ἐπιμέλειαν ἀρετῆς, εἰσὶν ὅμως τινὲς
οἱ εὐδοκιμοῦντες· καὶ δοκοῦντες εἶναι ἐπιεικεῖς· ὅπου οὖν ἡ πο-
λιτεία βλέπει εἴς τε πλοῦτον καὶ ἀρετὴν καὶ δῆμον, οἷον, ἐν
χαλκηδόνι, αὕτη ἀριστοκρατικὴ ἐστι· καὶ ἐναῖς εἰς τὰ δύο μόνον
οἷον, ἡ λακεδαιμονίων εἰς ἀρετήν τε καὶ δῆμον καὶ ἐστὶ μίξις
τῶν δύο τούτων, δημοκρατίας τὲ καὶ ἀρετῆς· ἀριστοκρατίας
μὲν οὖν παρὰ τὴν πρώτην τὴν ἀρίστην πολιτείαν, ταῦτα δύο εἴδη·
καὶ τρίτον ὅσαι τῆς καλουμένης πολιτείας ῥέπουσι πρὸς τὴν ὀ-
λιγαρχίαν μᾶλλον· λοιπὸν δ' ἐστὶν ἡμῖν περί τε τῆς νομιζομένης
πολιτείας εἰπεῖν· καὶ περὶ τυραννίδος· ἐτάξαμεν δ' οὕτως, οὐκ
οὖσαν, οὔτε ταύτην παρέκβασιν, οὔτε τὰς ἄρτι ῥηθείσας ἀριστο-
κρατίας· ὅτι τὸ μὲν ἀληθὲς, πᾶσαι διημαρτήκασι τῆς ὀρθοτά-
της πολιτείας· ἔπειτα καταριθμοῦνται μετὰ τούτων· εἰσί τ' αὐ-
τῶν αὗται παρεκβάσεις· ὥσπερ ἐν τοῖς καταρχὴν εἴπομεν·
τελευταῖον δὲ περὶ τυραννίδος εὔλογον ἐστὶ τοιήσασθαι μνείαν·
διὰ τὸ πασῶν ἥκιστα ταύτην εἶναι πολιτείαν· ἡμῖν δὲ τὴν μέ-
θοδον εἶναι περὶ πολιτείας· διὴν μὲν οὖν αἰτίαν τέτακται, τὸν
τρόπον τοῦτον, εἴρηται· νῦν δ' ἐπιδεικτέον ἡμῖν περὶ πολιτείας· φα-
νερωτέρα δὲ ἡ δύναμις αὐτῆς διωρισμένων τῶν περὶ ὀλιγαρχίας·

καὶ δημοκρατίας· ἔστι γὰρ ἡ πολιτεία ὡς ἁπλῶς εἰπεῖν, μί-
ξις ὀλιγαρχίας· καὶ δημοκρατίας· εἰώθασι δὲ καλεῖν τὰς
μὲν, ἀποκλινούσας ὡς πρὸς τὴν δημοκρατίαν, πολιτείας·
τὰς δὲ πρὸς τὴν ὀλιγαρχίαν μᾶλλον, ἀριστοκρατίας· διὰ τὸ
μᾶλλον ἀκολουθεῖν παιδείαν καὶ εὐγένειαν τοῖς εὐπορωτέροις·
ἔτι δὲ δοκοῦσιν οἱ εὔποροι, ὧν ἕνεκεν οἱ ἀδικοῦντες ἀδικοῦσιν·
ὅθεν καὶ καλοὺς κἀγαθοὺς καὶ γνωρίμους τούτους προσαγο-
ρεύουσιν· ἐπεὶ οὖν ἡ ἀριστοκρατία βούλεται τὴν ὑπεροχὴν
ἀπονέμειν, τοῖς ἀρίστοις τῶν πολιτῶν, καὶ τὰς ὀλιγαρχίας
εἶναί φασιν ἐκ τῶν καλῶν κἀγαθῶν μᾶλλον, δοκεῖ δ' εἶναι τῶν
ἀδυνάτων τὸ μὴ εὐνομεῖσθαι τὴν ἀριστοκρατουμένην πόλιν·
ἀλλὰ πονηροκρατουμένην· ὁμοίως δὲ καὶ ἀριστοκρατεῖσθαι τὸ
μὴ εὐνομουμένην· οὐκ ἔστι δὲ εὐνομία τὸ εὖ κεῖσθαι τοὺς νόμους·
μὴ πείθεσθαι δέ· διὸ μίαν μὲν εὐνομίαν ὑπολητέον εἶναι τὸ
πείθεσθαι τοῖς κειμένοις· ἑτέραν δὲ τὸ καλῶς κεῖσθαι τοὺς
νόμους, οἷς ἐμμένουσιν· ἔστι γὰρ πείθεσθαι καὶ κακῶς κειμένοις·
τοῦτο δὲ ἐνδέχεται διχῶς· ἢ τοῖς ἀρίστοις τῶν ἐνδεχομένων αὐ-
τοῖς· ἢ τοῖς ἁπλῶς ἀρίστοις· δοκεῖ δὲ ἀριστοκρατία μὲν εἶναι
μάλιστα, τὸ τὰς τιμὰς νενεμῆσθαι κατ' ἀρετήν· ἀριστοκρατίας
μὲν γὰρ ὅρος ἀρετή· ὀλιγαρχίας δὲ πλοῦτος· δήμου δ' ἐλευθε-
ρία· τὸ δ' ὅτι ἂν δόξῃ τοῖς πλείοσιν, ἐν πάσαις ὑπάρχει· καὶ
γὰρ ἐν ὀλιγαρχίᾳ καὶ, ἐν ἀριστοκρατίᾳ καὶ ἐν δήμοις, ὅτι ἂν δόξῃ
τῷ πλείονι μέρει τῶν μετεχόντων τῆς πολιτείας, τοῦτ' ἔστι
κύριον· ἐν μὲν οὖν ταῖς πλείσταις πόλεσι, τὸ τῆς πολιτείας εἶδος
καλεῖται· μόνον γὰρ ἡ μίξις στοχάζεται τῶν εὐπόρων καὶ τῶν ἀ-
πόρων πλούτου καὶ ἐλευθερίας· σχεδὸν γὰρ παρὰ τοῖς πλείστοις
οἱ εὔποροι τῶν καλῶν κἀγαθῶν δοκοῦσι κατέχειν χώραν· ἐπεὶ τὰ
τρία ἐστὶ τὰ ἀμφισβητοῦντα τῆς ἰσότητος τῆς πολιτείας· ἐλευ-
θερία· πλοῦτος· ἀρετή· τὸ δὲ τέταρτον ὃ καλοῦσιν εὐγένειαν, ἀ-
κολουθεῖ τοῖς δυσίν· ἡ δὲ εὐγένεια ἐστὶν ἀρχαῖος πλοῦτος καὶ ἀρετή·

φανερὸν

φανερὸν ὅτι τὴν μὲν τοῖν δυοῖν μίξιν, τῶν εὐπόρων καὶ τῶν ἀ-
πόρων, πολιτείαν λεκτέον· τὴν δὲ τῶν τριῶν, ἀριστοκρατίαν μά-
λιστα τῶν ἄλλων παρὰ τὴν ἀληθινὴν καὶ πρώτην· ὅτι μὲν οὖν
ἐστι καὶ ἕτερα πολιτείας εἴδη παρὰ μοναρχίαν τε, καὶ δημο-
κρατίαν, καὶ ὀλιγαρχίαν, εἴρηται· καὶ ποῖα ταῦτα· καὶ τί δια-
φέρουσιν ἀλλήλων· αἵτ' ἄριστοκρατίαι· καὶ αἱ πολιτεῖαι, τῆς ἀρι-
στοκρατίας· καὶ ὅτι οὐπόρρω αὗται ἀλλήλων, φανερόν· τίνα δὲ
τρόπον γίνεται παρὰ δημοκρατίαν καὶ ὀλιγαρχίαν, ἡ καλου-
μένη πολιτεία, καὶ πῶς αὐτὴν δεῖ καθιστάναι, λέγωμεν ἐφε-
ξῆς τοῖς εἰρημένοις· ἅμα δὲ δῆλον ἔσται καὶ οἷς ὁρίζονται τὴν
δημοκρατίαν· καὶ τὴν ὀλιγαρχίαν· ληπτέον γὰρ τὴν τούτων διαί-
ρεσιν· εἶτα ἐκ τούτων ἀφεκατέρας ὥσπερ σύμβολον λαμβά-
νοντας συνθετέον· εἰσὶ δὲ ὅροι τρεῖς τῆς συνθέσεως καὶ μίξεως·
ἢ γὰρ ἀμφότερα ληπτέον· ὧν ἑκάτεραι νομοθετοῦσιν· οἷον, περὶ
τοῦ δικάζειν· ἐν μὲν γὰρ ταῖς ὀλιγαρχίαις τοῖς εὐπόροις ζημίαν
τάττουσιν· ἂν μὴ δικάζωσι· τοῖς δ' ἀπόροις, οὐδένα μισθόν· ἐν δὲ
ταῖς δημοκρατίαις, τοῖς μὲν ἀπόροις μισθόν· τὸ δ' εὐπόροις, οὐ-
δεμίαν ζημίαν· κοινὸν δὲ καὶ μέσον τούτων, ἀμφότερα ταῦτα·
διὸ καὶ πολιτικόν· μέμικται γὰρ ἐξ ἀμφοῖν· εἷς μὲν οὗτος τοῦ
συνδυασμοῦ τρόπος· ἕτερος δὲ, τὸ μέσον λαμβάνειν· ὧν ἑκάτεροι
τάττουσιν οἷον, ἐκκλησιάζειν· οἱ μὲν, ἀπὸ τιμήματος οὐθενὸς
ἢ μικροῦ πάμπαν· οἱ δ' ἀπὸ μακροῦ τιμήματος· κοινὸν δέ γε οὐ
δέτερον, ἀλλὰ τὸ μέσον ἑκατέρου τιμήματος τούτων· τρίτον
δ' ἐκ δυοῖν ταγμάτοιν· τὰ μὲν ἐκ τοῦ ὀλιγαρχικοῦ νόμου τὰ
δ' ἐκ τοῦ δημοκρατικοῦ· λέγω δ' οἷον δοκεῖ δημοκρατικὸν μὲν
εἶναι τὸ κληρωτὰς εἶναι τὰς ἀρχάς· τὸ δ' αἱρετὰς ὀλιγαρχι-
κόν· καὶ δημοκρατικὸν μὲν, τὸ μὴ ἀπὸ τιμήματος· ὀλιγαρχι-
κὸν δὲ τὸ ἀπὸ τιμήματος· ἀριστοκρατικὸν τοίνυν καὶ πολιτικὸν,
τὸ ἐξ ἑκατέρας ἑκάτερον λαβεῖν· ἐκ μὲν τῆς ὀλιγαρχίας, τὸ αἱρετὰς
ποιεῖν τὰς ἀρχάς· ἐκ δὲ τῆς δημοκρατίας· τὸ μὴ ἀπὸ τιμήμα-

τος· ὁ μὲν οὖν τρόπος τῆς μίξεως, οὗτος· τοῦ δ' εὖ μεμίχθαι δημο-
κρατίαν καὶ ὀλιγαρχίαν ὅρος, ὅταν ἐνδέχηται λέγειν τὴν
αὐτὴν πολιτείαν, δημοκρατίαν· καὶ ὀλιγαρχίαν· δῆλον γὰρ
ὅτι τοῦτο πάσχουσιν οἱ λέγοντες διὰ τὸ μεμίχθαι καλῶς· πέ-
πονθε δὲ τοῦτο καὶ τὸ μέσον· ἐμφαίνεται δὲ ἑκάτερον ἐν αὐτῷ
τῶν ἄκρων· ὅπερ συμβαίνει περὶ τὴν λακεδαιμονίων πολι-
τείαν· πολλοὶ γὰρ ἐγχειροῦσι λέγειν ὡς δημοκρατίας οὔσης·
διὰ τὸ δημοκρατικὰ πολλὰ τὴν τάξιν ἔχ'· οἷον, πρῶτον τὸ περὶ
τὴν τροφὴν τῶν παίδων· ὁμοίως γὰρ οἱ τῶν πλουσίων τρέφον-
ται τοῖς τῶν πενήτων· καὶ παιδεύονται τὸν τρόπον τοῦτον, ὃν
ἂν δύναιντο καὶ τῶν πενήτων οἱ παῖδες· ὁμοίως δὲ καὶ ἐπὶ τῆς
ἐχομένης ἡλικίας· καὶ ὅταν ἄνδρες γένωνται, τὸν αὐτὸν τρό-
πον, οὐθὲν γὰρ ἄδηλος ὁ πλούσιος καὶ ὁ πένης· οὕτω τὰ περὶ τῆς
τροφὴν ταυτὰ πᾶσιν ἐν τοῖς συσσιτίοις· καὶ τὴν ἐσθῆτα οἱ πλού-
σιοι τοιαύτην, οἵαν ἄντις παρασκευάσαι δύναιτο, καὶ τῶν πε-
νήτων ὁστισοῦν· ἔτι τῶν δύο τὰς μεγίστας ἀρχὰς, τὴν μὲν αἱ-
ρεῖσθαι τὸν δῆμον· τῆς δὲ μετέχειν· τοὺς μὲν γὰρ γέροντας αἱ-
ροῦνται· τῆς δ' ἐφορείας μετέχουσιν· οἱ δ' ὀλιγαρχίαν, διὰ τὸ πολ-
λὰ ἔχειν ὀλιγαρχικά· οἷον, τὸ πάσας αἱρετὰς εἶναι· καὶ μηδε-
μίαν κληρωτήν· καὶ ὀλίγους κυρίους θανάτου καὶ φυγῆς·
καὶ ἄλλα τοιαῦτα πολλά· δεῖ δ' ἐν τῇ πολιτείᾳ τῇ μεμιγ-
μένῃ, καλῶς ἀμφότερα δοκεῖν εἶναι· καὶ μηδέτερον· καὶ σώζε-
σθαι δι' αὐτῆς καὶ μὴ ἔξωθεν καὶ δι' αὐτῆς μὴ τῷ πλείους ἔξω-
θεν εἶναι τοὺς βουλομένους· εἴη γὰρ ἂν καὶ πονηρὰ πολιτεία,
τοῦ θ' ὑπάρχον· ἀλλὰ τὸ μὴ δ' ἂν βούλεσθαι πολιτείαν ἑτέραν
μηθὲν τῶν τῆς πόλεως μορίων ὅλως· τίνα μὲν οὖν τρόπον δεῖ κα-
θιστάναι πολιτείαν· ὁμοίως δὲ καὶ τὰς ὀνομαζομένας ἀριστο-
κρατίας, νῦν εἴρηται· περὶ δὲ τυραννίδος ἦν ἡμῖν λοιπὸν εἰ-
πεῖν· οὐχ ὡς ἐνούσης πολυλογίας περὶ αὐτήν· ἀλλ' ὅπως λά-
β. τῆς μεθόδου τὸ μέρος ἐπειδὴ καὶ ταύτην τίθεμεν τῶν πολι-

τειῶν

τειῶν τι μέρος· περὶ μὲν οὖν βασιλείας διωρίσαμεν ἐν τοῖς πρώτοις λόγοις· ἐν οἷς περὶ τῆς μάλιστα λεγομένης βασιλείας ἐποιούμεθα τὴν σκέψιν· πότερον ἀσύμφορον, ἢ συμφέρει ταῖς πόλεσι· καὶ τίνα· καὶ πόθεν δεῖ καθιστάναι· καὶ πῶς· τυραννίδος δ' εἴδη, δύο μὲν διείλομεν, ἐν οἷς περὶ βασιλείας ἐπεσκοποῦμεν· διὰ τὸ τὴν δύναμιν ἐπαλάττειν πῶς αὐτῶν, καὶ πρὸς τὴν βασιλείαν διὰ τὸ κατὰ νόμον εἶναι ἀμφοτέρας ταύτας ἀρχάς· ἔν τε γὰρ τῶν βαρβάρων τισὶν αἱροῦνται αὐτοκράτορας μονάρχους· καὶ τὸ παλαιὸν, ἐν τοῖς ἀρχαίοις ἕλλησιν ἐσίσνον τό τινες μόναρχοι τὸν τρόπον τοῦτον· οὓς ἐκάλουν αἰσυμνήτας· ἔχουσι δέ τινας πρὸς ἀλλήλας αὗται διαφοράς· ἦσαν δὲ διὰ μὲν τὸ κατὰ νόμον, βασιλικαί· καὶ διὰ τὸ μοναρχεῖν ἑκόντων· τυραννικαὶ δὲ διὰ τὸ δεσποτικῶς ἄρχειν, κατὰ τὴν αὐτῶν γνώμην· τρίτον δὲ εἶδος τυραννίδος· ἥπερ μάλιστ' εἶναι δοκεῖ τυραννὶς, ἀντίστροφος οὖσα τῇ βασιλείᾳ· τοιαύτης δ' ἀναγκαῖον εἶναι τυραννίδα τὴν μοναρχίαν· ἥτις ἀνυπεύθυνος ἄρχει τῶν ὁμοίων· καὶ βελτιόνων πάντων, πρὸς τὸ σφέτερον αὐτῆς συμφέρον· ἀλλὰ μὴ πρὸς τὸ τῶν ἀρχομένων· διόπερ ἀκούσιος· οὐθεὶς γὰρ ἑκὼν ὑπομένει τῶν ἐλευθέρων, τὴν τοιαύτην ἀρχήν· τυραννίδος μὲν οὖν εἴδη ταῦτα, καὶ τοσαῦτα διὰ τὰς εἰρημένας αἰτίας· τίς δ' ἀρίστη πολιτεία, καὶ τίς ἄριστος βίος ταῖς πλείσταις πόλεσι, καὶ τοῖς πλείστοις τῶν ἀνθρώπων, μήτε πρὸς ἀρετὴν συγκρίνουσι τὴν ὑπὲρ τοὺς ἰδιώτας· μήτε πρὸς παιδείαν, ἃ φύσεως δεῖται καὶ χορηγίας τυχηρᾶς, μήτε πρὸς πολιτείαν τὴν κατ' εὐχὴν γινομένην, ἀλλὰ βίον τε τὸν τοῖς πλείστοις κοινωνῆσαι δυνατὸν καὶ πολιτείαν, ἧς τὰς πλείστας πόλεις ἐνδέχεται μεταχεῖν· καὶ γὰρ, ἃς καλοῦσιν ἀριστοκρατίας περὶ ὧν νῦν εἴπομεν, τὰ μὲν ἐξωτέρω πίπτουσι ταῖς πλείσταις τῶν πόλεων· τὰ δὲ, γειτνιῶσι τῇ καλουμένῃ πολιτείᾳ· διὸ περὶ ἀμφοῖν ὡς μιᾶς λεκτέον· ἡ δὲ δὴ κρίσις περὶ ἁπάντων τούτων, ἐκ τῶν αὐτῶν στοιχείων

ὄστιν· εἰ γὰρ καλῶς ἐν τοῖς ἠθικοῖς εἴρηται, τὸ τὸν εὐδαίμονα
βίον εἶναι τὸν κατ' ἀρετὴν ἀνεμπόδιστον, μεσότητα δὲ τὴν ἀρε-
τὴν, τὸν μέσον ἀναγκαῖον εἶναι βίον βέλτιστον· τῆς ἑκάστοις ἐν
δεχομένης τυχεῖν μεσότητος· τοὺς δὲ αὐτοὺς τούτοις ὅρους,
ἀναγκαῖον εἶναι καὶ πόλεως ἀρετῆς καὶ κακίας καὶ πολιτείας·
ἡ γὰρ πολιτεία, βίος τίς ἐστι πόλεως· ἐν ἁπάσαις δὴ ταῖς πό-
λεσιν ἐστι τρία μέρη τῆς πόλεως· οἱ μὲν εὔποροι σφόδρα· οἱ δὲ ἄπο-
ροι σφόδρα· οἱ δὲ τρίτοι, οἱ μέσοι τούτων· ἐπεὶ τοίνυν ὁμολογεῖται
τὸ μέτριον ἄριστον, καὶ τὸ μέσον, φανερὸν ὅτι καὶ τῶν εὐτυχη-
μάτων ἡ κτῆσις ἡ μέση βελτίστη πάντων· ῥάστη γὰρ τῷ λόγῳ
πειθαρχεῖν· ὑπέρκαλον δὲ, ἢ ὑπερίσχυρον, ἢ ὑπερευγενῆ· ἢ ὑπερ-
πλούσιον· ἢ τἀναντία τούτοις· ὑπέρπτωχον· ἢ ὑπερασθενῆ·
καὶ σφόδρα ἄτιμον, χαλεπὸν τῷ λόγῳ ἀκολουθεῖν· γίγνονται δὲ,
οἱ μὲν, ὑβρισταί, καὶ μεγαλοπόνηροι μᾶλλον· οἱ δὲ, κακοῦργοι,
καὶ μικροπόνηροι λίαν· τῶν δ' ἀδικημάτων, τὰ μὲν γίγνεται, δι'
ὕβριν· τὰ δὲ διὰ κακουργίαν· ἔτι δ' ἥκισθ' οὗτοι φυλαρχοῦσι
καὶ βουλαρχοῦσι· ταῦτα δ' ἀμφότερα βλαβερὰ ταῖς πόλεσι·
πρὸς δὲ τούτοις, οἱ μὲν ἐν ὑπεροχαῖς εὐτυχημάτων ὄντες, ἰ-
σχύος καὶ πλούτου· καὶ φίλων, καὶ τῶν ἄλλων τῶν τοιούτων, ἄρ-
χεσθαι, οὔτε βούλονται, οὔτε ἐπίστανται· καὶ τοῦτ' εὐθὺς οἴκοθεν
ὑπάρχει παισὶν οὖσι· διὰ δὲ τὴν τρυφὴν, οὐδ' ἐν τοῖς διδασκα-
λείοις ἄρχεσθαι σύνηθες αὐτοῖς· οἱ δὲ καθ' ὑπερβολὴν ἐν ἐνδείᾳ
τούτων, ταπεινοὶ λίαν· ὥστε οἱ μὲν, ἄρχειν οὐκ ἐπίστανται· ἀλ-
λ' ἄρχεσθαι δουλικὴν ἀρχήν· οἱ δ' ἄρχεσθαι μὲν, οὐδεμιᾷ ἀρχῇ·
ἄρχειν δὲ δεσποτικὴν ἀρχήν· γίνεται δὴ καὶ δούλων καὶ δεσπο-
τῶν πόλις, ἀλλ' οὐκ ἐλευθέρων· καὶ τῶν μὲν, φθονούντων, τῶν δὲ,
καταφρονούντων· ἃ πλεῖστον ἀπέχει φιλίας καὶ κοινωνίας
πολιτικῆς· ἡ γὰρ κοινωνία, φιλικόν· οὐδὲ γὰρ ὁδοῦ βούλονται
κοινωνεῖν τοῖς ἐχθροῖς· βούλεται δέ γε ἡ πόλις ἐξίσων εἶναι καὶ
ὁμοίων ὅτι μάλστα· τοῦτο δ' ὑπάρχει μάλιστα τοῖς μέσοις·

ὥστ' ἀναγκαῖον ἄριστα πολιτεύεσθαι τοὺτῳ τὴν πόλιν ὄστις ἂν εὖ ἕξῃ τὰ μὲν φύσει τὴν σύστασιν εἶναι τῆς πόλεως· καὶ σώζονται δ' οἱ τοῖς πόλεσιν οὗτοι μάλιστα τῶν πολιτῶν· οὔτε γὰρ αὐτοὶ τῶν ἀλλοτρίων, ὥσπερ οἱ πένητες ἐπιθυμοῦσιν, οὔτε τῆς τούτων ἕτεροι, καθάπερ τῆς τῶν πλουσίων οἱ πένητες ἐπιθυμοῦσι· καὶ διὰ τὸ μήτ' ἐπιβουλεύεσθαι μήτ' ἐπιβουλεύειν, ἀκινδύνως διάγουσι· διὰ τοῦτο καλῶς ηὔξατο Φωκυλίδης, πολλὰ μέσοισιν ἄριστα· μέσος θέλων εἶναι τῆς πόλεως. δῆλον ἄρα ὅτι καὶ ἡ κοινωνικὴ ἡ πολιτικὴ ἀρίστη· ἡ δὲ τῶν μέσων· καὶ τὰς τοιαύτας οἷόν τε εἶναι εὖ πολιτεύεσθαι πόλεις· ἐν αἷς δὴ πολὺ τὸ μέσον ἢ κρεῖττον, μάλιστα μὲν ἀμφοῖν· εἰ δὲ μή, θατέρου μέρους· προστιθέμενον γὰρ ῥοπὴν ποιεῖ καὶ κωλύει γίνεσθαι τὰς ἐναντίας ὑπερβολάς· διόπερ εὐτυχία μεγίστη τοὺς πολιτευομένους οὐσίαν ἔχειν μέσην καὶ ἱκανήν· ὡς ὅπου οἱ μὲν πολλὰ σφόδρα κέκτηνται· οἱ δὲ μηθέν, ἢ δῆμος ἐξακριβοῦται· ἢ ὀλιγαρχία ἄκρατος· ἢ τυραννὶς διὰ ἀμφοτέρας τὰς ὑπερβολάς· καὶ γὰρ ἐκ δημοκρατίας γίνεται τυραννὶς μᾶλλον· καὶ ἐξ ὀλιγαρχίας, ἢ ἐκ τῶν μέσων καὶ τῶν σχεδὸν ἧττον· πολὺ δ' αἰτία ἀνώτερον, ἐν τοῖς περὶ τὰς μεταβολὰς τῶν πολιτειῶν μέρος μὲν ὅτι δὲ ἡ μέση βελτίστη, φανερὸν· μόνη γὰρ ἀστασίαστος ὅπου γὰρ πολὺ τὸ διὰ μέσου, ἥκιστα στάσεις καὶ διαστάσεις γίνονται τῶν πολιτῶν· καὶ αἱ μεγάλαι πόλεις ἀστασιαστότεραι διὰ τὴν αὐτὴν αἰτίαν, ὅτι πολὺ τὸ μέσον· ἐν δὲ ταῖς μικραῖς, ἑᾴδιόν τι διαλαβεῖν εἰς δύο πάντας, ὥστε μηθὲν καταλιπεῖν μέσον· καὶ πάντες σχεδὸν ἄποροι, ἢ ὑπόποροί εἰσι· καὶ αἱ δημοκρατίαι ἢ ἀσφαλέστεραι τῶν ὀλιγαρχιῶν εἰσι, καὶ πολυχρονιώτεραι διὰ τοὺς μέσους· πλείους τε γὰρ εἰσὶ καὶ μᾶλλον μετέχουσι τῶν τιμῶν ἐν ταῖς δημοκρατίαις ἢ ταῖς ὀλιγαρχίαις· ἐπεὶ ὅταν μηδὲν τούτων τῷ πλήθει ὑπερτείνωσιν οἱ ἄποροι, κακοπραγίας τινὲς, ἢ ἀπὸ λιμοῦ πεχέως· σμικρὸν δὲ δεῖ νομίζειν, καὶ τοὺς

βελτίσους νομοθέτας εἶναι τῶν μέσων πολιτῶν· σόλωνα τὸν
λῶ τούτων· δῆλοι δ' ἐκ τῆς ποιήσεως καὶ λυκοῦργος· οὐ γὰρ ἦν
βασιλεύς· καὶ χαρώνδας, καὶ σχεδὸν οἱ πλεῖστοι τῶν ἄλλων· φα-
νερὸν δ' ἐκ τούτων· καὶ διότι αἱ πολιτεῖαι· αἱ μὲν, δη-
μοκρατικαί εἰσιν· αἱ δ' ὀλιγαρχικαί· διὰ γὰρ τὸ ἐνταῦθα πλ
λάκις ὀλίγον εἶναι τὸ μέσον· αἰεὶ ὁπότεροι αὐξάνουσιν, εἴ
θ' αὐτὰς οὐσίας ἔχοντες, εἴθ' ὅδῆμος οἱ τὸ μέσον ἐκβαίνοντ' κα-
θ' αὑτοὺς ἄγουσι τὴν πολιτείαν· ὥστε ἢ δῆμος ἵστασθαι, ἢ ὀλι-
γαρχία· πρὸς ἣν τύχοις διὰ τὸ ἐξ ἴσου εἶναι μὴ μάχας· πρὸς ἀλ-
λήλους τῷ δήμῳ, ἢ τοῖς ὑπέροις· ὁπότεροι αὖ μᾶλλον συμβῆ
κρατῆσαι τῶν ἐναντίων, ἃ καθίστασι κοινὴν πολιτείαν· ἃ δ' ἴσην·
ἀλλὰ φανερὸν ἆθλον τὴν ὑπεροχὴν φέρεται πολιτείας λαμβά-
νουσι· καὶ οἱ μὲν, δημοκρατίαν· οἱ δ' ὀλιγαρχίαν ποιοῦσιν· ἔστι δὲ
καὶ τῶν ἡγεμονίας χωρὶς μάλιστα φιλόδοξος, πρὸς τὴν αὑτῶν τοῖς
ἑκάτεροι πολιτείαν ἀποβλέποντες· οἱ μὲν, δημοκρατίας ἐν
ταῖς πόλεσι καθίσασαν· οἱ δ' ὀλιγαρχίας· οὐ πρὸς τὸ τῶν πόλεων
συμφέρον σκοποῦντες· ἀλλὰ πρὸς τὸ σφέτερον αὐτῶν· ὥστε διὰ
ταύτας τὰς αἰτίας, ἢ μηδέποτε τὴν μέσην γίνεσθαι πολιτείαν·
ἢ ὀλιγάκις καὶ παρ' ὀλίγους· εἷς γὰρ αὐτὴν σὺν πείθη μόνος
τῶν πρότερον ἐφ' ἡγεμονίας χωρὶς μάλιστα, ταύτην ἀποδοῦναι τὴν
τάξιν· ἤδη δὲ καὶ τοῖς ἐν ταῖς πολεσι ἔθος κατέστηκε, μὴ δὲ
βούλεσθαι τὸ ἴσον· ἀλλ' ἢ ἄρχειν ζητεῖν· ἢ κρατοῦμενοι ὑπο-
μένειν· τίς μὲν οὖν αἰρίστη πολιτεία, καὶ διατίν' αἰτίαν, ἐκ τού-
των φανερόν· τῶν δ' ἄλλων πολιτειῶν, ἐπειδὴ φαίνονται δημοκρα-
τίας καὶ φαίνοις ὀλιγαρχίας φαμὲν εἶναι, ποίαν χρὴ τὴν θε-
τέον, ἢ δωτέραν· ἐν τοῦτον δὴ τὸν τρόπον ἐχόμενοι τῆς τὴν
μὲν, εἶναι βελτίω· τὴν δὲ, χείρω· δῆλον ἐκ τῆς αἱρέσεως φαίνεται, ἀναγ-
καῖον ἐλέσθαι· δεῖ γὰρ αὐτὰς καλοῦσιν εἶναι βελτίω, τὴν ἐπιτυχοῦσαν τὴν
χείρω δὲ, τὴν ἀφεστηκυῖαν τοῦ μέσου πλέον ἢ μὴ πρὸς ὑ-
πόθεσιν κεῖμαι τόδε· λέγω δὲ τὸ πρὸς ὑπόθεσιν, ὅτι πολλάκις

οὐσῆς

ὅσης ἄλλης πολιτείας αἱρετωτέρας, ἐνίοις οὐθὲν κωλύσει συμφέρειν ἑτέραν μᾶλλον εἶναι πολιτείαν. τίς δὲ πολιτεία τίσι καὶ ποία συμφέρει ποίοις, ἐχόμενον ἐστὶ τῶν εἰρημένων διελθεῖν. λη-πτέον δὴ πρῶτον περὶ πασῶν καθόλου, ταυτόν. δεῖ γὰρ κρεῖτ-τον εἶναι τὸ βουλόμενον μέρος τῆς πόλεως τοῦ μὴ βουλομένου μέρειν τὴν πολιτείαν. ἔστι δὲ πᾶσα πόλις, ἐκ τε τοῦ ποιοῦ καὶ ποσοῦ. λέγω δὲ ποιὸν μὲν, ἐλευθερίαν. πλοῦτον. παιδείαν. εὐγένειαν. ποσὸν δὲ, τὸ τοῦ πλήθους. ὑπεροχήν. ἐνδέχεται δὲ, τὸ μὲν ποιὸν ὑπάρχειν ἑτέρῳ μέρει τῆς πόλεως. ἐξ ὧν συνέστηκε μερῶν ἡ πόλις. ἄλλῳ δὲ μέρει τὸ ποσόν. οἷον, πλείους τὸν ἀριθμὸν εἶναι τῶν γενναίων, τοὺς ἀγενεῖς ἢ τῶν πλουσίων τοὺς ἀπόρους. μὴ μέντοι τοσοῦτον ὑπερέ-χειν τῷ ποσῷ, ὅσον λείπεσθαι τῷ ποιῷ. διὸ ταῦτα προσάλλη λα-συγκριτέον. ὅπου μὲν οὖν ὑπερέχει τὸ τῶν ἀπόρων πλῆθος τὴν εἰρημένην ἀναλογίαν, ἐνταῦθα πέφυκεν εἶναι δημοκρατίαν. καὶ ἕκαστον εἶδος δημοκρατίας, κατὰ τὴν ὑπεροχὴν τοῦ δήμου ἑκά-στου. οἷον, ἐὰν μὲν τὸ τῶν γεωργῶν ὑπερτείνῃ πλῆθος, τὴν πρώ-την δημοκρατίαν. ἐὰν δὲ τὸ τῶν βαναύσων καὶ μισθαρνούντων, τὴν τελευταίαν. ὁμοίως δὲ, καὶ τὰς ἄλλας τὰς μεταξὺ τού-των. ὅπου δὲ τὸ τῶν εὐπόρων καὶ γνωρίμων ὑπερτείνει τῷ ποιῷ. ἢ λείπεται τῷ ποσῷ, ἐνταῦθα δὲ, ὀλιγαρχίαν, καὶ τῆς ὀ-λιγαρχίας τὸν αὐτὸν τρόπον ἕκαστον εἶδος, κατὰ τὴν ὑπερο-χὴν τοῦ ὀλιγαρχικοῦ πλήθους. δεῖ δ' ἀεὶ τὸν νομοθέτην ἐν τῇ πολιτείᾳ προσλαμβάνειν τοὺς μέσους. ἄν τε γὰρ ὀλιγαρχι-κοὺς τοὺς νόμους τιθῇ, στοχάζεσθαι χρὴ τῶν μέσων. ἐάν τε δημο-κρατικοὺς, προσάγεσθαι τοῖς νόμοις τούτους. ὅπου δὲ τὸ τῶν μέσων ὑπερτείνει πλῆθος, ἢ συναμφοτέρων τῶν ἄκρων, ἢ καθα-τέρου μόνον, ἐνταῦθ' ἐνδέχεται πολιτείαν εἶναι μόνιμον. οὐθὲν γὰρ φοβερόν. μήποτε συμφωνήσωσιν οἱ πλούσιοι τοῖς πένη-σιν ἐπιτούτους. οὐδέποτε γὰρ ἄτεροι βουλήσονται δουλεύειν

τοῖς ἑτέροις· κοινοτέραν δὲ ἀν ζητῶσιν οὐδὲ μίαν εὑρήσουσιν
ἄλλην ταύτης· ἐν μέρει γὰρ ἄρχειν οὐκ ἂν ὑπομείνειαν, διὰ τὴν
ἀπιστίαν τὴν πρὸς ἀλλήλους· πανταχοῦ δὲ πιστότατος ὁ διαι-
τητής· διαιτητὴς δ' ὁ μέσος· ὁσῳδὰν ἄμεινον ἡ πολιτεία μι-
χθῇ τοσούτῳ μονιμωτέρα· διαμαρτάνουσι δὲ πολλοὶ καὶ τῶν
τὰς ἀριστοκρατικὰς βουλομένων ποιεῖν πολιτείας· οὐ μό-
νον ἐν τῷ πλεῖον νέμειν τοῖς εὐπόροις, ἀλλὰ καὶ ἐν τῷ πα-
ρακρούεσθαι τὸν δῆμον· ἀνάγκη γὰρ χρόνῳ τοτὲ ἐκ τῶν ψευδῶς
ἀγαθῶν, ἀληθὲς συμβῆναι κακόν· αἱ γὰρ πλεονεξίαι τῶν πλη-
σίων, ἀπολλύουσι μᾶλλον τὴν πολιτείαν, ἢ αἱ τοῦ δήμου· ἔστι
δ' ὅσα προφάσεως χάριν ἐν ταῖς πολιτείαις σοφίζονται πρὸς
τὸν δῆμον, πέντε τὸν ἀριθμόν· περὶ ἐκκλησίαν· περὶ τὰς ἀρ-
χὰς· περὶ δικαστήρια· περὶ ὅπλησιν· περὶ γυμνασίαν· περὶ ἐκ-
κλησίαν μὲν, τὸ ἐξεῖναι ἐκκλησιάζειν πᾶσι· ζημίαν δὲ ἐπι-
κεῖσθαι τοῖς εὐπόροις, ἐὰν μὴ ἐκκλησιάζωσιν· ἢ μόνοις, ἢ μείζω
πολλῷ· περὶ δὲ τὰς ἀρχὰς, τὸ τοῖς μὲν ἔχουσι τίμημα μὴ ἐξεῖ-
ναι ἐξόμνυσθαι· τοῖς δ' ἀπόροις ἐξεῖναι· καὶ περὶ τὰ δικα-
στήρια, τοῖς μὲν εὐπόροις εἶναι ζημίαν, ἂν μὴ δικάζωσι· τοῖς
δ' ἀπόροις ἄδειαν· ἢ τοῖς μὲν, μεγάλην· τοῖς δέ, μικράν· ὥσ-
περ ἐν τοῖς χαρώνδου νόμοις· ἐνιαχοῦ δ' ἔξεστι μὲν πᾶσιν ἀ-
πογραψαμένοις, ἐκκλησιάζειν καὶ δικάζειν· ἐὰν δὲ ἀπογρα-
ψάμενοι, μήτε ἐκκλησιάζωσι, μήτε δικάζωσιν, ἐπίκεινται
μεγάλαι ζημίαι τούτοις· ἵνα διὰ μὲν τὴν ζημίαν, φεύγωσι
τὸ ἀπογράφεσθαι· διὰ δὲ τὸ μὴ ἀπογράφεσθαι μὴ δικάζωσι·
μὴ δ' ἐκκλησιάζωσι· τὸν αὐτὸν δὲ τρόπον καὶ περὶ τοῦ ὁπλα-
κεκτῆσθαι καὶ τοῦ γυμνάζεσθαι νομοθετοῦσι· τοῖς μὲν γὰρ ἀ-
πόροις, ἔξεστι μὴ κεκτῆσθαι· τοῖς δ' εὐπόροις ἐπιζήμιον μὴ κε-
κτημένοις· κἂν μὴ γυμνάζωνται· τοῖς μὲν, οὐδὲ μία ζημία·
τοῖς δ' εὐπόροις ἐπιζήμιον· ὅπως οἱ μὲν, διὰ τὴν ζημίαν μετέ-

χωσιν

χωσιν· οἱδὲ, διὰ τὸ μὴ φοβεῖσθαι μὴ μετέχωσι ταῦτα μᾶλλον ἢ ὀλιγαρχικὰ σοφίσματα φιλομοθετοῦσιν· ὧν δὲ ταῖς δημοκρατίαις, πρὸς ταῦτ' ἀντισοφίζονται· τοῖς μὲν γὰρ ἀπόροις μισθὸν προσίζησιν ἐκκλησιάζουσι ἃ δικάζουσιν· τοῖς δ' εὐπόροις οὐδεμίαν τάττουσι ζημίαν· ὥστε φανερὸν ὅτι εἴ τις βούλεται μισθοῦν δικαίως, δεῖ τὰ ἀμφότερα τοῖς συναγειν· ἐκ μὲν γὰρ μισθὸν προίζειν· τοῖς δὲ ζημίαν· οὕτω γὰρ ἂν κοινωνοῖεν ἅπαντες· ἐκεῖνως δ' ἡ πολιτεία γίνεται τῶν ἑτέρων μόνον· δεῖ δὲ τὴν πολιτείαν εἶναι μὴ ἐκ τῶν ὅπλα ἐχόντων μόνον· τοῦ δὲ τιμήματος τὸ πλῆθος, ἀφ' οὗ μὲν ὀλίγους δεῖ εἶναι τοσοῦτον ὑπάρχειν· ἀλλὰ σκεπτέα μέτρον τὸ μέτριον ἐφ' ἑκάτερα, ὥστε τοὺς μετέχοντας τῆς πολιτείας εἶναι πλείους τῶν μὴ μετεχόντων τοῦτο τάττειν· ἐθέλουσι γὰρ οἱ πένητες καὶ μὴ μετέχοντες τῶν τιμῶν ἡσυχίαν ἄγειν· ἐὰν μὴ ὑβρίζῃ τις αὐτούς· μήτε ἀφαιρῆται μηθὲν τῆς οὐσίας, ἀλλὰ τοῦτο οὐ ῥᾴδιον· οὐ γὰρ ἀεὶ συμβαίνει χαρίεντας εἶναι τοὺς μετέχοντας τοῦ πολιτεύματος· καὶ εἰώθασι δὲ ὅταν πόλεμος ᾖ, ὀκνεῖν ἂν μὴ λαμβάνωσι τροφήν· ἄποροι δὲ ὦσιν· ἐὰν δὲ τροφὴν τις τροφήν, βούλονται πολεμεῖν· ὅτι δ' ἡ πολιτεία πρέπει, δῆλον· ἐν γὰρ τοῖς ἐλληνικοῖς ἔθνεσιν, ὅπου μὲν ἐκ τῶν ὁπλιτευόντων ἀλλὰ καὶ ἐκ τῶν γεωργούντων· ἔστι δὲ, ἡ μὲν πολιτεία ἐν κρήτῃ ἐκ τῶν περιοίκων· καὶ πρώτη ἡ πολιτεία ἐν τοῖς ἕλλησιν ἐγένετο μετὰ τὰς βασιλείας, ἐκ τῶν πολεμούντων· ἡ μὲν οὖν χώρα, ἐκ ἱππέων· τὴν γὰρ ἰσχὺν ἐν τῇ ὑπεροχῇ ἐν τοῖς ἱππεῦσιν, ὁ πόλεμος εἶχεν· αὐτὴ μὲν γὰρ σωτηρίας ἔχησον· τὸ ὁπλιτικόν· αἱ δὲ περὶ τῶν τοιούτων ἐμπειρίαι καὶ τάξεις, ἐν τοῖς ἀρχαίοις οὐχ ὑπῆρχον· ὥστ' ἐν τοῖς ἱππεῦσιν εἶναι τὴν ἰσχύν· αὐξανομένων δὲ τῶν πόλεων, καὶ τῶν ἐν τοῖς ὅπλοις ἰσχυόντων μᾶλλον, πλείους μετεῖχον τῆς πολιτείας· διὸ περ καὶ νῦν καλοῦμεν πολιτείας, οἱ πρότερον ἐκάλουν δημοκρατίας, ἢ-

σαν δὲ αἱ ἀρχαὶ, πολιτεῖαι εὐλόγους ὀλιγαρχικαὶ, καὶ βασιλι-
καί· διὸ ὀλίγαν θρωπίαν γὰρ ὑκεῖχον πολὺ τὸ μέσον· ὥστ' ὀλί-
γοι τὲ ὄντες· τὸ πλῆθος καὶ κατὰ τὴν σύνταξιν μᾶλλον ὑπέ
μενον τὸ ἄρχεσθαι· διὰ τίνα μὲν οὖν εἰσιν αἰτίαν αἱ πολιτεῖαι
πλείους, καὶ διὰ τί παρὰ τὰς λεγομένας ἕτεραι, δημοκρατία
τὲ γὰρ, οὐμία τὸν ἀριθμόν ἐστι καὶ τῶν ἄλλων ὁμοίως, ἔτι δὲ τίνες
αἱ διαφοραὶ, καὶ διὰ τίνα αἰτίαν συμβαίνει, πρὸς δὲ τούτοις
τίς ἀρίστη τῶν πολιτειῶν, ὡς ἐπὶ τὸ πλεῖστον εἰπεῖν, καὶ τῶν ἄλλων
ποῖα ποίοις ἁρμόττει τῶν πολιτειῶν, εἴρηται· πάλιν δὲ κοινῇ
καὶ χωρὶς περὶ ἑκάστης λέγωμεν· περὶ τῶν ἐφεξῆς λαβόντες ἀρ-
χὴν τὴν προσήκουσαν αὐτῶν· ἐστὶ δὴ τρία μόρια τῶν πολιτειῶν
πασῶν· περὶ ὧν δεῖ θεωρεῖν τὸν σπουδαῖον νομοθέτην, ἑκάστῃ τὸ
συμφέρον· ὧν ἐχόντων καλῶς, ἀνάγκη τὴν πολιτείαν ἔχειν
καλῶς· καὶ τὰς πολιτείας ἀλλήλων διαφέρειν· ἐν τῷ διαφέρειν
ἕκαστον τούτων· ἐστὶ δὴ τῶν τριῶν τούτων, ἓν μέν τι τὸ βουλευόμενον
περὶ τῶν κοινῶν· δεύτερον δὲ τὸ περὶ τὰς ἀρχάς· τοῦ δ' ἐστὶν ἃς
δεῖ· καὶ τίνων εἶναι κυρίας· καὶ ποίαν τινὰ δεῖ σίνεσθαι τὴν
αἵρεσιν αὐτῶν· τρίτον δὲ τί τὸ δικάζον· κύριον δ' ἐστὶ τὸ βουλευό
μενον περὶ πολέμου· καὶ εἰρήνης· καὶ συμμαχίας καὶ διαλύ-
σεως· καὶ περὶ νόμων· καὶ περὶ θανάτου καὶ φυγῆς· καὶ δημεύσεως,
καὶ τῶν εὐθυνῶν· ἀναγκαῖον δὴ τοι πᾶσι τοῖς πολίταις ἀπο-
δεδόσθαι πάσας ταύτας τὰς κρίσεις· ἢ τισὶ πάσας· οἷον ἀρχὴ τινὶ
μιᾷ, ἢ πλείοσιν ἑτέραις ἢ ἑτέρας· ἢ τινὶ μὲν αὐτῶν πᾶσι· τινὰς
δὲ, τισί· τὸ μὲν οὖν πάντας καὶ περὶ ἁπάντων, δημοτικόν·
τὴν τοι αὐτὴν γὰρ ἰσότητα ζητεῖ ὁ δῆμος· εἰσὶ δὲ οἱ τρόποι·
τοῦ πάντας πλείους, εἷς μὲν, τὸ κατὰ μέρος· ἀλλὰ μὴ πάν-
τας ἀθρόους, ὥσπερ ἐν τῇ πολιτείᾳ τῇ τοῦτη λεκλέους ἐστὶ
τοῦ μιλησίου· καὶ ἐν ἄλλαις δὲ πολιτείαις βουλεύονται αἱ-
συναρχίαι συνιοῦσαι· εἰς δὲ τὰς ἀρχὰς βαδίζουσι πάντες
κατὰ μέρος ἐκ τῶν φυλῶν καὶ τῶν μορίων τῶν ἐλαχίστων παντελῶς·

ἕως

ἕως αὖθις ἐλθη διὰ πάντων. συνιέναι δὲ μόνον περὶ τε νόμων θέσεως καὶ τῶν περὶ τὴν πολιτείαν. καὶ τὰ παραγγέλματα ἀκούοντας μόνους ὑπὸ τῶν ἀρχόντων. ἄλλος δὲ ὄχλος, τὸ πάντας ἀθρόους. συνιέναι δὲ μόνον πρός τε τὰς αἱρετὰς ἀρχὰς αἱρησομένους, καὶ πρὸς τὰς νομοθεσίας. καὶ περὶ πολέμου, καὶ εἰρήνης. καὶ πρὸς ὠθωνὰς. τὰς δ' ἄλλας τὰς ἀρχὰς βουλεύεσθαι τὰς ἐφ' ἑκάστοις τεταγμένας, αἱρετὰς οὔσας ἐξ ἁπάντων ἢ κληρωτάς. ἄλλος δὲ ὄχλος, τὸ περὶ τὰς ἀρχὰς καὶ τὰς διαθύμους ἀναιρεῖν τοὺς πολίτας. καὶ περὶ πολέμου βουλεύσομένους, καὶ συμμαχίας. τὰς δ' ἄλλας τὰς ἀρχὰς διοικεῖν. αἱρετὰς οὔσας ὅσας ἐνδέχεται. ῥιζωταὶ δ' εἰσὶν ὅσας ἄρχειν ἀναγκαῖον τοὺς ἐπισταμένους. τέταρτος δὲ ὄχλος, τὸ πάντας περὶ πάντων βουλεύεσθαι συνιόντας. τὰς δ' ἀρχὰς περὶ μηθενὸς κρίνειν. ἀλλὰ μόνον προαιρεῖσθαι, ὁρῶντες ἡ τελευταία δημοκρατία μικρᾶς διοικεῖται πρότερον. διὸ ἀναλογίαν φαίνεται ὀλιγαρχίαν τε δωδεκαστυτικὴν. καὶ μοναρχίαν τυραννικήν. οὗτοι μὲν οὖν οἱ ὄχλοι δημοκρατικοὶ πάντες. τὸ δὲ τιμὰς περὶ πάντων, ὀλιγαρχικόν. ἔχει δὲ καὶ τοῦτο διαφορὰς πλείους. ὅταν μὲν γὰρ ἀπὸ τιμημάτων μεγίστων αἱρεῖ τιθῶσιν ἢ πλείους διὰ τὸ μεγέθη τὰ τιμήματα, καὶ περὶ ὧν ὁ νόμος ἀπαγορεύῃ μὴ κινῶσιν, ἀλλ' ἀκολουθῶσι. καὶ ἐξῆς κατὰ μικρὸν τὸ τίμημα μετέχειν, ὀλιγαρχικόν. πολιτικὴ δ' ἐστὶν ἡ τοιαύτη διὰ τὸ μετριάζειν. ὅταν δὲ μὴ πάντες τοῦ βουλεύεσθαι μετέχωσιν, ἀλλ' αἱρετοί, κατὰ νόμον δ' ἄρχωσιν ὥσπερ καὶ πρότερον, ὀλιγαρχικόν. ὅταν δὲ καὶ αἱρῶνται αὐτοὶ αὑτοὺς οἱ κύριοι τοῦ βουλεύεσθαι. καὶ ὅταν πατὴς υἱοῦ εἰσιν. καὶ κύριοι τῶν νόμων ὦσιν, ὀλιγαρχικὸν ἀναγκαῖον εἶναι τὸ τοιοῦτον. ὅταν δὲ τινῶν τιμὴς οἷον, πολέμου μὲν καὶ ὑπὲρ εἰρήνης καὶ ὠθωνᾶν πάντες, τῶν δ' ἄλλων ἄρχοντες, καὶ οὗτοι αἱρετοὶ ἢ κληρωτοὶ ἀριστοκρατικόν, ἢ πολιτεία. ἐὰν

δ' ἐνίων μὲν αἱρετοὶ, ἐνίων δὲ κληρωτοὶ, ἢ κληρωτοὶ ἁπλῶς· ἢ ἐκ προκρίτων· ἢ κοινῇ αἱρετοὶ καὶ κληρωτοὶ τὰ μὲν, πολιτείας, ἀριστοκρατικῆς ὄντι τούτων· τὰ δὲ, πολιτείας αὐτοῖς δεῖ ῥηθῆναι μὲν οὖν τὸ βουόμενον προστάς πολιτείας τοῦ τόμον τρόπον· καὶ δι οἰκείας ἑκάστη πολιτείᾳ κατὰ τὸν εἰρημένον διορισμόν· συμφέρει δὲ δημοκρατίᾳ τινὶ τῇ μάλιστ' εἶναι δοκούσῃ δημοκρατίαν νῦν· λέγω δὲ τοιαύτην, ἐν ᾗ κύριος ὁ δῆμος· καὶ τῶν νόμων ὅσοι πρὸς τὸ βουλεύεσθαι βέλτιόν τι αὐτὸ ποιεῖν· ὅπερ ἐστὶ τῶν δικαστηρίων ἐν ταῖς ὀλιγαρχίαις· τὰ πουσι γὰρ ζημίαν τούτοις, οὓς βούλονται δικάζειν, ἵνα δικάζωσιν· οἱ δὲ δημοτικοὶ, μισθὸν τοῖς ἀποροις· τοῦτο δὲ καὶ περὶ τὰς ἐκκλησίας ποιεῖν· βουλώσονται γὰρ βέλτιον κοινῇ βουλεύόμενοι μετὰ τοῦ· ὁ μὲν δῆμος μετὰ τῶν γνωρίμων· ὅταν δὲ μετὰ τοῦ πλήθους· συμφέρει δὲ καὶ τὸ αἱρετοὺς εἶναι φυσβουλωομένους, ἢ κληρωτούς· ἴσως ἐκ τῦ μείζονος· συμφέρει γὰρ καὶ ὑπερβάλλωσι πολὺ κατὰ τὸ πλῆθος οἱ δημοτικοὶ τῶν πολιτικῶν ἢ μὴ πᾶσι δοῦναι μισθόν· ἀλλ' ὅσοι σύμμετροι πρὸς τὸ τῦ γνωρίμων πλῆθος· ἢ ἀποκληροῦν τοὺς πλείους· ἐν δὲ ταῖς ὀλιγαρχίαις ἢ προαιρεῖσθαι τινὰς ἐκ τοῦ πλήθους· ἢ καταστήσασθαι τοῦ ἀρχεῖον οἷον, ἐν ἰαις πολιτείαις ὄστιν, οὓς καλοῦσι προβούλους· καὶ νομοφύλακας· καὶ περὶ τούτων χρηματίζειν· περὶ ὧν αὖ οὗτοι προβουλεύσωσιν, οὕτω γὰρ μεθέξει ὁ δῆμος τοῦ βουλεύεσθαι· καὶ λύειν οὐθὲν δυνήσεται τῶν περὶ τὴν πολιτείαν· ἔτι ἢ ταυτὰ ψηφίζεσθαι τὸν δῆμον, ἢ μηθὲν ἐναντίον γρῖς εἰς φερομένοις, ἢ τοῖς συμβουλῆς μὴ μεταδιδόναι πᾶσι· βουλεύεσθαι δὲ τοὺς ἄρχοντας· καὶ τὸ αὐτὸ εἶναι μόνον δεῖ τοῖς πολιτείαις σύμμιγνύμενον δεῖ περὶ εἶναι τὸ πλῆθος· καταψηφιζόμενον δὲ μὴ κύριον· ἀλλ' ἐπαναγέσθω πάλιν ἐπὶ τοὺς ἄρχοντας· ἐν γὰρ ταῖς πολιτείαις, ἀνεσταμένως πρῶσιν· οἱ γὰρ ὀλίγοι ἀποψηφισάμενοι μὲν, κύριοι· καταψηφισάμενοι δὲ, οὐ κύριοι·

ἀλλ' ἐ

ἀλλ' ἐπαναγεται εἰς τοὺς πλείστους αἰεί· περὶ μὲν οὖν τοῦ βουλευομένου καὶ τοῦ κυρίου δεῖ τῆς πολιτείας, τοῦτον διωρίσθω τὸν τρόπον· ἐχομένη δὲ τούτων ἐστὶν ἡ περὶ τὰς ἀρχὰς διαίρεσις· ἔχει γὰρ καὶ τοῦτο τὸ μόριον τῆς πολιτείας πολλὰς διαφοράς· πόσαι τε ἀρχαὶ καὶ κύριαι τίνων· καὶ περὶ χρόνου πόσος ἑκάστης ἀρχῆς· οἱ μὲν γὰρ ἐξαμήνους· οἱ δὲ, δι' ἐλάττονος· οἱ δ' ἐνιαυσίας· οἱ δὲ, πολυχρονιωτέρας ποιοῦσι τὰς ἀρχάς· καὶ πότερον εἶναι δεῖ τὰς ἀρχὰς ἀϊδίους· ἢ πολυχρονίους, ἢ μηδέτερον, ἀλλὰ πλεονάκις τοὺς αὐτούς, ἢ μὴ τὸν αὐτὸν δίς, ἀλλ' ἅπαξ μόνον, ἔτι δὲ περὶ τὴν κατάστασιν τῶν ἀρχῶν ἐκ τίνων δεῖ γίνεσθαι καὶ ὑπὸ τίνων· καὶ πῶς· περὶ πάντων γὰρ τούτων δεῖ δύνασθαι διελεῖν κατὰ πόσους ἐνδέχεται γενέσθαι τρόπους· κἄπειτα προσαρμόσαι· ποίαις ποῖαι πολιτεῖαι συμφέρουσιν· ἔστι δὲ τοῦτο διορίσαι ῥᾴδιον, ποίας δεῖ καλεῖν ἀρχάς· πολλῶν δὲ ἐπιστατῶν ἡ πολιτικὴ κοινωνία δεῖται· διόπερ πάντας, οὔτε τοὺς αἱρετοὺς, οὔτε τοὺς κληρωτοὺς ἄρχοντας θετέον· οἷον τοὺς ἱερεῖς πρῶτον· τοῦτο γὰρ ἕτερόν τι παρὰ τὰς πολιτικὰς ἀρχὰς θετέον· ἔτι δὲ χορηγοὶ καὶ κήρυκες· αἱροῦνται δὲ καὶ πρεσβευταί· εἰσὶ δὲ αἱ μὲν, πολιτικαὶ τῶν ἐπιμελειῶν· ἢ πάντων, τῶν πολιτῶν πρός τινα πρᾶξιν· οἷον, στρατηγὸς στρατευομένων, ἢ κατὰ μέρος· οἷον, ὁγυναικονόμος· ἢ παιδονόμος· αἱ δ' οἰκονομικαί· πολλάκις γὰρ αἱροῦνται σιτομέτρας· αἱ δ' ὑπηρετικαὶ καὶ πρὸς ἃς, ἂν εὐπορῶσι τάττουσι δούλους· μάλιστα δ' ὡς ἁπλῶς εἰπεῖν ἀρχὰς λεκτέον ταύτας· ὅσαις ἀποδέδοται βουλεύσασθαί τε περί τινων, καὶ κρῖναι, καὶ ἐπιτάξαι καὶ μάλιστα τοῦτο· τὸ γὰρ ἐπιτάττειν ἀρχικώτερόν ἐστιν· ἀλλὰ ταῦτα διαφέρει πρὸς μὲν τὰς χρήσεις οὐθὲν ὡς εἰπεῖν· οὐ γὰρ πω κρίσις γέγονεν ἀμφισβητούντων περὶ τοῦ ὀνόματος· ἔχει δέ τιν' ἄλλην διανοητικὴν πραγματείαν· ποῖαι δ' αἱ ἀρχαὶ καὶ πόσαι ἀναγκαῖαι εἰέσται πόλις· καὶ ποῖαι ἀναγκαῖαι μὲν, οὐ χρήσιμοι δὲ πρὸς σπουδαίαν πολιτείαν

μᾶλλον ἄν τις ἀπορήσειε, πρὸς ἅπασάν τε δὴ πολιτείαν· καὶ
δὴ καὶ τὰς μικρὰς πόλεις· ἐν μὲν γὰρ δὴ ταῖς μεγάλαις, ἐν
δέχεταί τε καὶ δεῖ μίαν τε τάχθαι πρὸς ἓν ἔργον· πολλούς τε
γὰρ εἰς τὰ ἀρχεῖα ἐνδέχεται βαδίζειν, διὰ τὸ πολλοὺς εἶναι τοὺς
πολίτας· ὥστε τὰς μὲν, διαλείπειν πολὺν χρόνον· τὰς δ' ἅπαξ
ἄρχειν· καὶ βέλτιον ἕκαστον ἔργον τυγχάνει τοῦ ἐπιμελείας μο-
νοπραγματούσης· ἢ πολυπραγμονούσης ἐν δὲ τοῦ μικροῦ, ἀνάγκη
συνάγ' εἰς ὀλίγους πολλὰς ἀρχάς· διὰ δὲ ὀλιγανθρωπίαν, οὐ ῥᾳ-
διόν ἐστι πολλοὺς ἐν ταῖς ἀρχαῖς εἶναι· τίνες δὲ οἱ τούτοις ἔσον-
διαδεξόμενοι πάλιν· δέονται δ' ἐνίοτε τῶν αὐτῶν ἀρχῶν καὶ νό-
μων αἱ μικραὶ ταῖς μεγάλαις· πλὴν αἱ μὲν, δέονται πολλάκις
τῶν αὐτῶν· ταῖς δ' ἐν πολλῷ χρόνῳ τοῦτο συμβαίνει· διόπερ οὐθὲν
κωλύει πολλὰς ἐπιμελείας ἅμα προστάττειν· οὐ γὰρ ἐμποδιοῦ-
σιν ἀλλήλαις· καὶ πρὸς τὴν ὀλιγανθρωπίαν ἀναγκαῖον τὰ ἀρ-
χεῖα· οἷον, ὀβελισκολύχνια ποιεῖν· ἐὰν οὖν ἔχω μὲν λέγειν πόσας
ἀναγκαῖον ὑπάρχειν πάσῃ πόλει, καὶ πόσας οὐκ ἀναγκαῖον, δεῖ
δ' ὑπάρχειν, ῥᾷον ἄν τις εἰδὼς ταῦτα συνάγοι, ποίας ἁρμόττει
συνάγειν ἀρχὰς, εἰς μίαν ἀρχήν· ἁρμόττει δὲ καὶ τοῦτο μὴ λελη-
θέναι· ποῖα δεῖ κατὰ τόπον ἀρχεῖα, πολλῶν ἐπιμελεῖσθαι· καὶ
ποίων πανταχοῦ μίαν ἀρχὴν εἶναι κυρίαν· οἷον, εὐκοσμίας·
πότερον ἐν ἀγορᾷ μὲν ἀγορανόμον· ἄλλον δὲ κατάλλον τόπον
ἢ πανταχοῦ τὸν αὐτόν· καὶ πότερον κατὰ τὸ πρᾶγμα δεῖ διαι-
ρεῖν, ἢ κατὰ τοὺς ἀνοῦς· λέγω δ' οἷον ἕνα τοῦ εὐκοσμίας, ἢ παί-
δων ἄλλον· καὶ γυναικῶν· καὶ κατὰ τὰς πολιτείας δὲ, πότερον
διαφέρει καθ' ἑκάστην καὶ τὸ τῶν ἀρχῶν γένος ἢ οὐθέν· οἷον, ἐν δη-
μοκρατίᾳ καὶ ὀλιγαρχίᾳ· καὶ ἀριστοκρατίᾳ· καὶ μοναρχίᾳ· πότε-
ρον αἱ αὐταὶ μὲν εἰσιν ἀρχαὶ κύριαι· οὐκ ἐξ ἴσων δ' οὐκ ἐξ ὁμοί-
ων, ἀλλ' ἕτεραι ἐν ἑτέραις· οἷον ἐν μὲν ταῖς ἀριστοκρατίαις ἐκ
πεπαιδευμένων· ἐν δὲ ταῖς ὀλιγαρχίαις, ἐκ τῶν πλουσίων· ἐν δὲ
ταῖς δημοκρατίαις· ἐκ τῶν ἐλευθέρων· ἢ τυγχάνουσι μέν τινες οὖσαι

καὶ

καὶ κατὰ τὰς τοῦ διαφορὰς τῶν ἀρχῶν. ἔστι δ' ὅπου συμφέρουσιν αἱ αὐταὶ, καὶ ὅπου διαφέρουσιν. ἐνθα μὲν γὰρ ἀρμόττει μεσότας. ἔνθεν δ' εἶναι μικρὰς τὰς αὐτάς. οὐ μὴν ἀλλὰ καὶ ἴδιόν τινες εἰσὶν οἷον, ἡ τῶν προβούλων. αὕτη γὰρ οὐδὴ μοκρατική. βουλὴ δὲ δημοτικόν. δεῖ μὲν γὰρ εἶναί τι ριοῦρν. ᾧ ὠὴ μελὲς ἔσαι, τῦ δήμου προβουλλύειν. ὁ ὡσω ἀχολῶν ἔσαι. τοῦρ δὲ αὖ ὀλίγοιτ' ἀεὶ θμὸν ὦσιν, ὀλιγαρχικόν. τοὺς δὲ προβούλους ὀλίγους ἀναγκαῖον εἶναι τὸ πλῆθος. ὥσ τ' ὀλιγαρχικόν. ἀλλ' ὅπου ἀμφω αὐταὶ αἱ ἀρχαί, οἱ πρόβουλοι καθεζάσιν ἐπὶ τοῖς βουλευταῖς. ὁμὴ γὰρ βουλὴ τῆς δημοτικόν. ὁδὲ πρόβουλος ὀλιγαρχικόν. καπελύεται δὲ ἡ τῆς βυλῆς ἡδύναμις ὢν ταῖς τοιαύταις δημοκρατίαις. ἐναῖς αὐτὸς σωιὼν ὁδῆμος, χηματίζει ωιεὶ πάντων. τοῦρ δὲ συμβαίνειν εἰωθεν ὅταν μὴ πορίατιζῇ ἡμιοθὸς τοῖς ἐκκλησιάζουσι. σχολάζοντες γὰρ συλλέγονται τε πολλάκις. καὶ ἄωντα αὐτοὶ κρίνουσι. παισδνόμος δὲ καὶ γυναικονόμος, καὶ εἴτις ἄλλος ἄρχων κύριός ὅστι τοιαύτης ὠὴμελείας ἀριστοκρατικόν. δημοκρατικὸν δ' οὔ. ὡὼσ γὰρ οἵουτικωλύειν ἐξιέναι τὰς τῶν ἀπόρων. οὐδ' ὀλιγαρχικόν. τρυφῶσι γὰρ αἱ τῶν ὀλιγαρχούντων. ἀλλὰ περὶ μὲν τούτων, ἐωι τοσοῦτον εἰρήσθω μῶ. Περὶ δὲ τὰς τῶν ἀρχῶν καταστάσεις, πειρατέον ἐξ ἀρχῆς διελθεῖν. εἰσὶ δ' αἱ διαφοραὶ τῶν τρισὶν ὅροις. ὧν σωιτιθεμὲν ὁμὼσ αὐ κ καὶ ὁν ωοήσαντας εἰληφθαι τοὺς τρόπους. ὅστι δὲ τῶν τριῶν τούτων, ᾧ μὲν, τίνες οἱ καθιστάντις τὰς ἀρχάς. δεύτερον δ' ἐκ τίνων. λοιπὸν δὲ τίνα τρόπον. ἑκάστου δὲ τῶν ξιῶν ρύτων διαφοραὶ ξεῖς εἰσίν. ἢ γὰρ πάντες οἱ πολῖται καθιστᾶσιν, ἢ τινες, καὶ ἢ ἐκ πάντων. ἢ ἐκ τινῶν ἀφωρισμένων. οἷον, ἢ τιμήματι. ἢ γνώσει. ἢ ἀρετῇ. ἢ τινὶ τοιούτῳ ἄλλῳ. ὥσπερ ἐν μεταβάροις ἐκτῶν συγκατελθόντων. ἢ συμμαχησάντων ὁμὼσ πρόσθεν δῆμον. καὶ ταῦτα ἢ αἱρέσει. ἢ κλήρῳ, ἢ ἀμφοτέροις τούτοις ωοσωδυαζόμενα. λέγω δὲ, τὸσ μὲν, τινὲς. τὰς δὲ, πάντες. καὶ τὸς

μὲν, ἐκ πάντων· τὰς δ' ἐκ τίνων· καὶ τὰς μὲν, αἱρέσει· τὰς δὲ, κλήρῳ· τούτων δ' ἑκάστης ἔσονται τῆς διαφορᾶς, τρόποι τέσσαρτες ἢ γὰρ πάντες ἐκ πάντων αἱρέσει· ἢ πάντες ἐκ πάντων κλήρω καὶ ἢ ἐξ ἁπάντων, ἢ ὡς ἀνὰ μέρος· οἷον, κατὰ φυλὰς καὶ δήμους· καὶ φατρίας, ἕως ἂν διέλθη διὰ πάντων τῶν πολιτικῶν· ἢ ἀεὶ ἐξ ἁπάντων· καὶ τὰ μὲν, οὕτω· τὰ δὲ, ἐκείνως· πάλιν εἰ τινὲς οἱ καθιστάντες ἢ ἐκ πάντων αἱρέσει· ἢ ἐκ πάντων κλήρῳ· ἢ ἐκ τινων αἱρέσει ἢ ἐκ τινων κλήρω· ἢ τὰ μὲν οὕτω τὰ δ' ἐκείνως λέγω δὲ τὰ μὲν ἐκ πάντων αἱρέσει· τὰ δὲ, κλήρω· ὡς τε δώδεκα οἱ τρόποι γίνονται χωρὶς τῶν δύο συνδυασμῶν· τούτων δ' αἱ μὲν δύο καταστάσεις, δημοτικαὶ· τὸ πάντας ἐκ πάντων αἱρέσει· ἢ κλήρῳ γίνεσθαι, ἢ ἀμφοῖν· τὰς μὲν κλήρω· τὰς δ' αἱρέσει τῶν ἀρχῶν· τὸ δὲ, μὴ πάντας ἅμα μὲν καθιστάναι, ἐξ ἁπάντων δ' ἢ ἐκ τινων, ἢ κλήρω· ἢ αἱρέσει, ἢ ἀμφοῖν ἢ τὰς μὲν ἐκ πάντων· τὰς δ' ἐκ τίνων ἀμφοῖν· τὸ δὲ ἀμφοῖν λέγω, τὰς μὲν, κλήρῳ· τὰς δ' αἱρέσει, πολιτικόν· καὶ τὸ τινὰς ἐκ πάντων· τὰς μὲν, αἱρέσει καθιστάναι· τὰς δὲ κλήρῳ ἢ ἀμφοῖν, τὰς μὲν, κλήρῳ· τὰς δ' αἱρέσει ὀλιγαρχικόν ὀλιγαρχικώτερον δὲ καὶ τὸ ἐξ ἀμφοῖν· τὸ δὲ τὰς μὲν, ἐκ πάντων, τὰς δ' ἐκ τινων, πολιτικὸν ἀριστοκρατικῶς· ἢ τὰς μὲν, αἱρέσει· τὰς δὲ, κλήρῳ· τὸ δὲ, τινὰς ἐκ τινων ὀλιγαρχικόν· καὶ τὸ, τινὰς ἐκ τινων· μὴ γενόμενον δ' ὁμοίως καὶ τὸ τινὰς ἐκ τινων ἀμφοῖν· τὸ δὲ τινὰς ἐξ ἁπάντων, τὸ δὲ ἐκ τίνων αἱρέσει πάντας, ἀριστοκρατικὸν· οἱ μὲν οὖν τρόποι τῶν περὶ τὰς ἀρχὰς, τοσοῦτοι τὸν ἀριθμόν εἰσι· καὶ διῄρηται κατὰ τὰς πολιτείας οὕτω· τίνα δὲ τίσι συμφέρει, ἢ πῶς Δεῖ γίνεσθαι τὰς καταστάσεις ἁμαδυνάμεσι τῶν ἀρχῶν, καὶ τίνες εἰσὶν, ἔσται φανερόν· λέγω δὲ δύναμιν ἀρχῆς· οἷον τὴν κυρίαν τῶν προσόδων· καὶ τὴν κυρίαν τῆς φυλακῆς· ἄλλο γὰρ εἶδος δυνάμεως, οἷον, στρατηγίας, καὶ τῆς τῶν περὶ τὴν ἀγορὰν συμβολαίων κυρίας· λοι-

πὸν δὲ

πὸν ἢ τῶν ζῳῶν τὸ δικαστικὸν εἰπεῖν. λειπτέον δὲ καὶ τούτων
τοὺς τρόπους, κατὰ τὴν αὐτὴν ὑπόθεσιν. ἔστι δὲ διαφορὰ τῶν
δικαστηρίων ἐν τρισὶν ὅροις· ἐξ ὧν τε, καὶ περὶ ὧν καὶ πῶς. λέγω
δὲ ἐξ ὧν μὲν, πότερον ἐκ πάντων ἢ ἔκτινων. περὶ ὧν δὲ πόσα
εἴδη δικαστηρίων· τὸ δὲ πῶς, πότερον· κλήρῳ, ἢ αἱρέσει· πρῶτον
οὖν διαιρείσθω πόσα εἴδη δικαστηρίων. ἔστι δὲ τὸν ἀριθμὸν, ὀκτὼ·
ἓν μὲν εὐθυντικόν· ἄλλο δὲ, εἴτις τι τῶν κοινῶν ἀδικεῖ· ἕτερον
ὅσα εἰς τὴν πολιτείαν φέρει· τέταρτον καὶ ἄρχουσι καὶ ἰδιώ-
ταις, ὅσα περὶ ζημιώσεων ἀμφισβητοῦσι· πέμπτον τὸ περὶ τῶν
ἰδίων συναλλαγμάτων, καὶ ἐχόντων μέγεθος· καὶ παρὰ ταῦτα,
τό, τε φονικὸν, καὶ τὸ ξενικόν· φονικῶν μὲν εἴδη, ἄν τ' ἐν τοῖς αὐ-
τοῖς δικασταῖς, ἄν τ' ἐν ἄλλοις· περί τε τῶν ἐκ προνοίας καὶ περὶ
τῶν ἀκουσίων· καὶ ὅσα μὲν, ὁμολογεῖται· ἀμφισβητεῖται δὲ
περὶ τοῦ δικαίου· τέταρτον δὲ ὅσα τοῖς φεύγουσι φόνου, ἀπὸ κα-
θόδῳ ἀπὸ φέρεται· οἷον, ἀθύνῃσι λέγεται καὶ τὸ ἐν φρεαττοῖ δικα
στήριον· συμβαίνει δὲ τὰ τοιαῦτα ἐν τῷ παντὶ χρόνῳ, ὀλίγα καὶ
ἐν ταῖς μεγάλαις πόλεσι· τοῦ δὲ ξενικοῦ ἐν μὲν ξένοις πρὸς ξέ-
νους· ἄλλο ξένοις πρὸς ἀστούς· ἔτι δὲ παρὰ πάντα ταῦτα περὶ
τῶν μικρῶν συναλλαγμάτων· ὅσα δραχμιαῖα· καὶ πεντάδρα-
χμα· καὶ μικρῶν πλείονος· δεῖ μὲν γὰρ καὶ περὶ τούτων γίνεσθαι
κρίσιν· οὐκ ἐμπίπτει δὲ εἰς δικαστῶν πλῆθος· ἀλλὰ περὶ μὲν
τούτων ἀφείσθω καὶ τῶν φονικῶν καὶ τῶν ξενικῶν· περὶ δὲ τῶν
πολιτικῶν, λέγω μὲν· περὶ ὧν μὴ γινομένων καλῶς, διαστάσεις
γίνονται τῶν πολιτειῶν αἱ κινήσεις· ἀνάγκη δ' ἤτοι πάντας
περὶ πάντων κρίνειν τῶν διῃρημένων· αἱρέσει ἢ κλήρῳ ἢ πάντας
περὶ πάντων· τὰ μὲν κλήρῳ· τὰ δ' αἱρέσει· ἢ περὶ ἐνίων τῶν αὐ-
τῶν· τοὺς μὲν, κλήρῳ· τοὺς δ' αἱρετοὺς· οὗτοι μὲν οὖν οἱ τρόποι
τέτταρες τὸν ἀριθμὸν· τοσοῦτοι δ' ἕτεροι καὶ οἱ κατὰ μέρος· πά-
λιν γὰρ ἔκτινων καὶ οἱ δικάζοντες περὶ πάντων αἱρέσει· ἢ ἔκ
τινων περὶ πάντων κλήρῳ· ἢ τὰ μὲν, κλήρῳ· τὰ δὲ, αἱρέσει· ἢ

ἔνια δικαστήρια περὶ τῶν αὐτῶν ἐκκλήρω τῶν καὶ αἱρετῶν. οὗ-
τοι μὲν οὖν ὥσπερ ἐλέχθησαν οἱ τρόποι τοῖς εἰρημένοις. ἔτι δὲ
τὰ αὐτὰ συνδιαζόμενα. λέγω δ' οἷον, τὰ μὲν, ἐκ πάντων. τὰ
δ' ἔκτινων. τὰ δ' ἐξ ἀμφοῖν. οἷον, εἰ τοῦ αὐτοῦ δικαστηρίου εἶεν.
οἱ μὲν, ἐκ πάντων, οἱ δ' ἔκτινων. καὶ ἢ κλήρῳ, ἢ αἱρέσει ἢ ἀμφοῖν.
ὅσους μὲν οὖν ἐνδέχεται τρόπους εἶναι τὰ δικαστήρια,
εἴρηται. τούτων δὲ, τὰ μὲν πρῶτα δημοτικὰ
ὅσα ἐκ πάντων ἢ περὶ πάντων. τὰ δὲ δεύ-
τερα ὀλιγαρχικά. ὅσα ἔκτινων περὶ
πάντων. τὰ δὲ τρίτα, ἀρι-
στοκρατικὰ, στρατηλιτι
κά. ὅσα τὰ μ̅,
ἐκ πάντ̃.
τὰ δ' ἔκ
τιν̃.

τέλος, τοῦ δ'.

ἈΡΙΣΤΟΤΈΛΟΥΣ ΠΟΛΙΤΙΚΩ̂Ν.
ΤῸ Ε.



Περὶ μὲν οὖν τῶν ἄλλων ὧν προειλόμεθα, σχεδὸν εἴρηται περὶ πάντων· ἐκ τίνων δὲ μεταβάλλουσιν αἱ πολιτεῖαι καὶ πόσων, καὶ ποίων, καὶ τίνες ἑκάστης πολιτείας φθοραὶ, καὶ ἐκ τρίων εἰς τρίας μάλιστα μεθίστανται· ἔτι δὲ σωτηρίαι τίνες, καὶ κοινῇ καὶ χωρὶς ἑκάστης εἰσίν, ἔτι δὲ διὰ τίνων ἂν μάλιστα σώζοιτο τῶν πολιτειῶν ἑκάστη, σκεπτέον ἐφεξῆς τοῖς εἰρημένοις· δεῖ δὲ πρῶτον ὑπολαβεῖν τὴν ἀρχὴν, ὅτι πολλαὶ γεγένηνται πολιτεῖαι· πάντων μὲν ὁμολογούντων τὸ δίκαιον, καὶ τὸ κατὰ ναλογίαν ἴσον· τούτου δ' ἁμαρτανόντων, ὥσπερ εἴρηται καὶ πρότερον· δῆμ' μὲν γὰρ ἐγένετο, ἐκ τοῦ ἴσους ὁτιοῦν ὄντας, οἴεσθαι ἁπλῶς ἴσους εἶναι νομίζουσιν· ὀλιγαρχία δὲ, ἐκ τοῦ ἀνίσους ἔντι ὄντας, ὅλως εἶναι ἀνίσους ὑπολαμβάνειν· κατ' οὐσίαν γὰρ ἄνισοι ὄντες, ἁπλῶς ἄνισοι ὑπολαμβάνουσιν εἶναι· εἶτα οἱ μὲν, ὡς ἴσοι ὄντες, πάντων τῶν ἴσων ἀξιοῦσι μετέχειν· οἱ δ' ὡς ἄνισοι ὄντες, πλεονεκτεῖν ζητοῦσι· τὸ γὰρ πλεῖον ἄνισον· ἔχουσι μὲν οὖν τι πᾶσαι δίκαιον· ἡμαρτημέναι δ' ἁπλῶς εἰσι· καὶ διὰ ταύτην τὴν αἰτίαν ὅταν μὴ κατὰ τὴν ὑπόληψιν ἑκάτεροι τυγχάνουσιν ἔχοντες μετέχωσι τῆς πολιτείας, στασιάζουσι· πάντων δὲ, δικαιότατα μὲν ἂν στασιάζοιεν, ἥκιστα δὲ,

τοῦτο πράττουσιν οἱ κατ' ἀρετὴν διαφέροντες· μάλιστα γὰρ
δῆλον ἀνίσους καὶ ἁπλῶς εἶναι τούτους μόνον· εἰσὶ δέ τινες
οἱ κατὰ γένος ὑπερέχοντες, οὐκ ἀξιοῦσι δὲ τῶν ἴσων αὐτοὺς διὰ
τὴν ἀνισότητα ταύτην· ὧν ἡμεῖς γὰρ εἰμὶ δικοῦσιν, οἷς ὑπάρχει
προγόνων ἀρετή, καὶ πλοῦτος· ἀρχὰς μὲν οὖν ὡς εἰπεῖν αὐ-
ται· καὶ πάντες τῶν ἑκόντων εἰσίν, ὅθεν καὶ ἀζημιοῦσι· διὸ καὶ αἱ
μεταβολαὶ γίνονται δικαίως· ὅτι μὲν, ὃ πρὸς τὴν πολιτείαν ὅσοι
ἐκ καθεστηκυίας ἄλλως μεταστήσωσιν· οἷον, ἐκ δημοκρατίας
ὀλιγαρχίαν· ἢ δημοκρατίαν, ἐξ ὀλιγαρχίας ἢ πολιτείαν· ἢ
ἀριστοκρατίαν ἐκ τούτων ἢ ταύτας ἐξεικεῖν· ὅτι δ' ὁ πρὸς τὴν καθεστη-
κυῖαν πολιτείαν· ἀλλὰ τὴν μὴ κατάστασιν προαιρῆται τὴν αὐ-
τὴν διὰ ταῦτ' ἂν δ' εἶναι βούλοιτο ταύτην· οἷον, τὴν ὀλιγαρχίαν·
ἢ τὴν μοναρχίαν· ἔτι μεῖζον τοῦ μᾶλλον δικαίου· οἷον, ἡ ὀλιγαρχίαν
οὖσαν, εἰς τὸ μᾶλλον ὀλιγαρχεῖσθαι, ἢ εἰς τὸ ἧττον· ἢ δημοκρατί-
αν οὖσαν, εἰς τὸ μᾶλλον δημοκρατεῖσθαι· ἢ εἰς τὸ ἧττον· ὁμοίως
δὲ καὶ ὧν τῶν λοιπῶν πολιτειῶν, ἢ ἵνα μᾶλλον ταῦτα ὦσιν, ἢ ἀνειμένα
ὦσιν· ἔτι πρὸς τὸ μέρος τι κινῆσαι τῆς πολιτείας· οἷον, ἀρχήν
τινα καταστῆσαι, ἢ ἀνελεῖν· ὥσπερ ἐν Λακεδαίμονί φασι λύσαν-
δρόν τινες ἐπιχειρῆσαι καταλῦσαι τὴν βασιλείαν· καὶ Παυ-
σανίαν τὴν βασιλείαν τὴν ἐφορείαν· ἢ ὅλως δὲ μόνῳ μεταβάλ-
λειν ἡ πολιτεία κατὰ μόριον· ἀπὸ τοῦ γὰρ τῶν φυλάρχων, βουλὴν
ἐποίησαν· εἰσὶ δὲ τιμὴ ἡ λιαία ἐπ' ἀναγκαίς ὅσιν· ἔτι τὸ ἐν τῷ πολι
τεύμα τὸ βαδίζειν τὰς ἀρχάς, ὅταν ὦσι ψηφίζηται αἱ ἀρχαὶ τῆς·
ὀλιγαρχικοῦ δὲ, καὶ ὁ ἄρχων ὁ εἷς ἦν ἐν τῇ πολιτείᾳ ταύτῃ·
πάντων γὰρ διὰ τὸ ἀνίσου ἡ στάσις· οὐ μὴν τοῖς ἀνίσοις ὑπάρχει
ἀναλογία· ἀεὶ δίκαιος γὰρ βασιλεία, ἀνίσοις ἐὰν ἢ ἐν ἴσοις· ὅλως
γὰρ τὸ ἴσον ζητοῦντες στασιάζουσιν· ἔστι δὲ διττὸν τὸ ἴσον· τὸ μὲν
γὰρ ἀριθμῷ τὸ δὲ κατ' ἀξίαν ὅτι· λέγω δὲ ἀριθμῷ μὲν, τὸ
πλήθει ἢ μεγέθει τοὐτὸ καὶ ἴσον· κατ' ἀξίαν δὲ τὸ ἀνὰ λόγῳ· οἷον
ὑπερέχει κατὰ ἀριθμὸν μὲν ἴσον τὰ ἥττω τῶν μειζόνων· καὶ ταῦτα

τοῦ ὑγιοῦς.

τοῦ ἑνὸς· λέγω δὲ τέτταρα τοῖν δυοῖν· ϛ ταῦτα τοῦ ἑνὸς· ἴσον ϛ μέρ τὰ
δύο τῶν τεττάρων· ϛ τὸ ἐν τῶν δυοῖν· ἄμφω ϛ ἡ μέση· ὁμολογοῦντες
δὲ τὸ ἁπλῶς εἶναι δίκαιον, τὸ κατἄξίαν διαφέρονται· καθάπερ ἐ-
λέχθη πρότερον· οἱ μὲν ὅτι ἐὰν κατά τι ἴσοι ὦσιν, ὅλως ἴσοι
νομίζουσιν εἶναι· οἱ δ' ὅτι ἐὰν κατά τι ἄνισοι πάντων ἀνίσων
ἀξιοῦσιν ἑαυτούς· διὸ καὶ μάλιστα δύο σίνονται πολιτεῖαι·
δῆμος καὶ ὀλιγαρχία· εὐγένεια γὰρ καὶ ἀρετὴ ἐν ὀλίγοις· ταῦτα
δ' ἐν πλείοσιν· εὐγενεῖς γὰρ καὶ ἀγαθοὶ οὐδαμοῦ ἑκατόν· εὔπο-
ροι δὲ πολλοὶ πολλαχοῦ· τὸ δὲ ἁπλῶς πάντη καθ' ἑκατέραν τε
τάχθαι τὴν ἰσότητα φαῦλον· φανερὸν δ' ἐκ τοῦ συμβαίνον-
τος· οὐδεμία γὰρ μόνιμος ἐκ τῶν τοιούτων πολιτειῶν· τού
του δ' αἴτιον, ὅτι ἀδύνατον ἀπὸ τοῦ πρώτου καὶ τοῦ ἐν ἀρχῇ
ἡμαρτημένου, μὴ ἀπαντᾶν εἰς τὸ τέλος κακόν τι· διὸ δεῖ τὰ
μὲν, ἀριθμητικῇ· ἰσότητι χρῆσθαι· τὰ δὲ, τῇ κατἄξίαν· ὅμως
δὲ ἀσφαλεστέρα καὶ ἀστασίαστος μᾶλλον ἡ δημοκρατία, τῆς
ὀλιγαρχίας· ἐν μὲν γὰρ ταῖς ὀλιγαρχίαις, ἐγγίγνονται δύο·
ἥτε πρὸς ἀλλήλους στάσις· καὶ ἔτι ἡ πρὸς τὸν δῆμον· ἐν δὲ ταῖς
δημοκρατίαις, ἡ πρὸς τὴν ὀλιγαρχίαν μόνον· αὐτῷ δὲ πρὸς
αὐτὸν, ὅτι καὶ ἄξιον εἰπεῖν, οὐκ ἐγγίγνεται τῷ δήμῳ στάσις·
ἔτι δὲ ἡ ἐκ τῶν μέσων πολιτεία ἐγγυτέρῳ τοῦ δήμου, ἢ ἡ τῶν ὀ-
λίγων, ἥπερ ἐστὶν ἀσφαλεστάτη τῶν τριῶν πολιτειῶν, ἐπεὶ δὲ σκο-
ποῦ μὲν ἐκ τίνων αἱ τε στάσεις γίγνονται· καὶ αἱ μεταβολαὶ περὶ
τὰς πολιτείας, ληπτέον καθόλου πρῶτον τὰς ἀρχὰς καὶ τὰς
αἰτίας αὐτῶν· εἰσὶ δὲ σχεδὸν ὡς εἰπεῖν τρεῖς τὸν ἀριθμόν· ἃς
διορίστεον καθ' αὑτὰς τύπῳ πρῶτον· δεῖ γὰρ λαβεῖν πῶς τε
ἔχοντες στασιάζουσι· καὶ τίνων ἕνεκεν· καὶ τρίτον, τίνες ἀρ-
χαὶ γίνονται τῶν πολιτικῶν ταραχῶν· καὶ τῶν πρὸς ἀλλήλους
στάσεων· τοῦ μὲν οὖν αὐτοὺς ἔχειν πῶς, πρὸς τὴν μεταβο-
λὴν αἰτίαν καθόλου μάλιστα θετέον, περὶ ἧς ἥδη τυγχάνομεν

εἰρηκότες· οἱ μὲν γὰρ ἰσότητος ἐφιέμενοι στασιάζουσιν, ἀνομίζωσιν ἔλαττον ἔχειν ὄντες ἴσοι τοῖς πλεονεκτοῦσιν· οἱ δὲ τῆς ἀνισότητος καὶ τῆς ὑπεροχῆς· ἂν ὑπολαμβάνωσιν ὄντες ἄνισοι μὴ πλέον ἔχειν· ἀλλ' ἴσον ἢ ἔλαττον· τούτων δ' ἔστι μὲν ὀρέγεσθαι δικαίως· ἔστι δὲ ἀδίκως· ἐλάττους τὲ ὄντες ὅπως ἴσοι ὦσι στασιάζουσι· καὶ ἴσοι ὄντες ὅπως μείζους· πῶς μὲν οὖν ἔχοντες στασιάζουσιν, εἴρηται· περὶ ὧν δὲ στασιάζουσιν, ἔστι κέρδος καὶ τιμὴ καὶ τἀναντία τούτοις· καὶ γὰρ ἀτιμίαν φεύγοντες καὶ ζημίαν, ἢ ὑπὲρ αὐτῶν, ἢ τῶν φίλων, στασιάζουσιν ἐν ταῖς πόλεσιν· αἱ δ' αἰτίαι καὶ ἀρχαὶ τῶν κινήσεων, ὅθεν αὐτοί τε διατίθενται τὸν εἰρημένον τρόπον καὶ περὶ τῶν λεχθέντων, ἔστι μὲν ὡς τὸν ἀριθμὸν ἑπτὰ τυγχάνουσιν οὖσαι· ἔστι δ' ὡς πλείους· ὧν δύο μὲν ἔστι ταυτὰ τοῖς εἰρημένοις· ἀλλ' οὐχ ὡσαύτως· διὰ κέρδος γὰρ καὶ διὰ τιμὴν παροξύνονται πρὸς ἀλλήλους· οὐχ ἵνα κτήσωνται σφίσιν αὐτοῖς ὥσπερ εἴρηται πρότερον· ἀλλ' ἑτέρους ὁρῶντες· τοὺς μὲν, δικαίως τοὺς δ' ἀδίκως πλεονεκτοῦντας τούτων· ἔτι διὰ ὕβριν· διὰ φόβον· διὰ ὑπεροχὴν· διὰ καταφρόνησιν· διὰ αὔξησιν τὴν παρὰ τὸ ἀνάλογον· ἔτι δὲ ἄλλον τρόπον, δι' ἐρίθειαν· δι' ὀλιγωρίαν· διὰ μικρότητα· δι' ἀνομοιότητα· τούτων δὲ, ὕβρις μὲν καὶ κέρδος, τίνα ἔχουσι δύναμιν, καὶ πόσ' αἴτια, σχεδὸν ἔστι φανερόν· ὑβριζόντων τὲ γὰρ τῶν ἐν ταῖς ἀρχαῖς καὶ πλεονεκτούντων, στασιάζουσι καὶ πρὸς ἀλλήλους καὶ πρὸς τὰς πολιτείας τὰς διδούσας τὴν ἐξουσίαν· ἡ δὲ πλεονεξία γίνεται, ὁτὲ μὲν, ἀπὸ τῶν ἰδίων· ὁτὲ δὲ, ἀπὸ τῶν κοινῶν· δῆλον δὲ καὶ ἡ τιμὴ· καὶ τί δύναται καὶ πῶς αἰτία στάσεως· καὶ γὰρ αὐτοὶ, ἀτιμαζόμενοι· καὶ ἄλλους ὁρῶντες τιμωμένους, στασιάζουσι· ταῦτα δὲ ἀδίκως μὲν γίνεται· ὅταν παρὰ τὴν ἀξίαν ἢ τιμῶν ταί τινες, ἢ ἀτιμάζωνται·

δικαίως

δικαίως ἢ ὅταν κατὰ τὴν ἀξίαν. δυσπεροχὴν δὲ, ὅταν τὸς μὴ τῇ δυνάμει μείζων. ἢ εἷς. ἢ πλείους. ἢ κατὰ τὴν πολιτικὴν τὴν δύναμιν τοῦ πολιτεύματος. πέφυκε γὰρ εἶναι ἐκ τῶν τοιούτων μοναρχία, ἢ δυναστεία. διὸ ὠστρακίζειν. οἷον, ἐν Ἄργει καὶ Ἀθήνησι. καὶ τοι βέλτιον ἐξαρχῆς ὁρᾶν ὅπως μὴ ὦσιν τοιοῦτοι τὴν ὑπεροχὴν τοιοῦτον ὑπερέχοντες. ἢ ἐὰν συνταξαμένοις ἰᾶσθαι ὕστερον. διὰ δὲ φόβον ταῦτα ἁρπάζουσιν οἱ τὴν δικαιότατον δεδιότες, μὴ δῶσι δίκην. καὶ οἱ μέλλοντες ἀδικεῖσθαι βουλόμενοι φθάσαι πρὶν ἀδικηθῆναι. ὥσπερ ἐν Ῥόδῳ συνέβησαν οἱ ναῦται τοῖς τὸν δῆμον. διὰ τὰς ἐπιφερομένας δίκας. διὰ καταφρόνησιν δὲ καὶ ταῦτα ἁρπάζουσι, καὶ ἐπιτίθενται. οἷον, ἐν τοῖς ὀλιγαρχίαις ὅταν πλείους ὦσιν, οἱ μὴ μετέχοντες τῆς πολιτείας. κρείττους γὰρ οἴονται εἶναι, καὶ ἐν ταῖς δημοκρατίαις, οἱ ὑπερφρονήσαντες τῆς ἀταξίας. καὶ ἀναρχίας. οἷον, καὶ ἐν Θήβαις μετὰ τὴν ἐν οἰνοφύτοις μάχην. κακῶς πολιτευομένων, ἡ δημοκρατία διεφθάρη. καὶ ἡ μεγαρέων διὰ ταξίαν καὶ ἀναρχίαν ἡττηθέντων. καὶ ἐν Συρακούσαις, πρὸ τῆς τέλωνος τυραννίδος. ἐν ᾗ ἐρόδῳ ὁ δῆμος πρὸ τῆς ἐπαναστάσεως. γίνονται δὲ καὶ διὰ ξένους τὴν παρὰ τὸ ἀνάλογον, μεταβολαὶ τῶν πολιτειῶν. ὥσπερ γὰρ σῶμα ἐκ μερῶν σύγκειται, καὶ δεῖ αὐξάνεσθαι ἀνάλογον, ἵνα μένῃ συμμετρίαν. εἰ δὲ μή, φθείρεται. ὅταν ὁ μὲν πόδα τριπάλαιον ποιήσῃ, τὸ δ' ἄλλο σῶμα δυσῖν πηχῶν ᾖ, τὸ δ' ἄλλο σῶμα δυοῖν πηχαῖν. ἐνίοτε δὲ, καὶ εἰς ἄλλο ζῷον μεταβάλλοι μορφὴν εἰ μὴ μόνον κατὰ τοσοῦτον, ἀλλὰ καὶ κατὰ τὸ ποιὸν αὐξάνοιτο παρὰ τὸ ἀνάλογον, οὕτω δὲ πόλις σύγκειται ἐκ μερῶν, ὧν πολλάκις λανθάνοι τι αὐξανόμενον. οἷον, τὸ τῶν ἀπόρων πλῆθος, ἐν ταῖς δημοκρατίαις καὶ πολιτείαις. συμβαίνει δ' ἐνίοτε τοῦτο καὶ διὰ τύχας. οἷον, ἐν τοῖς ἀρανθίνων καὶ ἀπολομένων πολλῶν γενέμενον

ὑπὸ τῶν ἱππέων· μικρὸν ὕστερον τῶν μηδικῶν, δημοκρατία ἐγένετο ἐκ πολιτείας· καὶ ἐνάρχει τῶν ἐν τῇ ἑβδόμῃ ἀποστολομένων, ὑπὸ λεοκράτους τοῦ λάκωνος, ἀναγκάσθησαν παραδέξασθαι τῶν φειδιππιδῶν· καὶ ἐν ἀθήναις ἀτυχήσαντων τῇ ξῇ, οἱ πένητες ἐλάττους ἐγένοντο, διὰ τὸ ἐκ καταλόγου γραφῆναι ὑπὸ τὸν λακωνικὸν πόλεμον· συμβαίνει δὲ τοῦτο καὶ ἐν ταῖς δημοκρατίαις· ἧττον δέ· πλειόνων γὰρ τὸ ἀπόρων σπουδῶν ἢ τῶν ὀλίγων αὐξανομένων μεταβάλλουσιν εἰς ὀλιγαρχίας ἡδίους εἰς· μεταβάλλουσι δ' αἱ πολιτεῖαι, ἢ ἀνωμάλως· διά τε τὰς ἐλευθερίας ὥσπερ ἐν ἡραίᾳ· ἀφαιροῦντες ἢ διὰ τοῦτο, ἐποίησαν πλήρωτὸς, ὅτι ἠροῦντο τοὺς ἐλευθερωμένους· καὶ διὸ ὀλιγαρχείαν, ὅταν ἐάσωσιν εἰς τὰς ἀρχὰς τοὺς κυρίους πάντας μὴ τῆς πολιτείας φίλους ὡσπερ ἐν ὠρεῷ κατελύθη ἡ ὀλιγαρχία· τῶν ἀρχόντων ἡρακλεοδώρου· ὅσ ἐξ ὀλιγαρχίας πολιτείαν καὶ δημοκρατίαν κατασκευάσειν· ἔτι διὰ τὸ παραμικρόν· λέγω δὲ παρὰ μικρὸν, ὅτι πολλάκις λανθάνει μεταβάλλουσα μεταβάσις τῶν νομίμων· ὅταν παρορῶσι τὸ μικρὸν ὡσπερ ἐν ἀμβρακίᾳ μικρὸν ἦν τὸ τίμημα· τέλος δ' οὐθενὸς ἦρχον· ὡς ἔγγιον ἢ μηδὲν διαφέρον, τοῦ μηδὲν τὸ μικρόν· σασιωτικὸν δὲ καὶ τὸ μὴ ὁμόφυλον, ἕως ἂν συμπνύσῃ· ὥσπερ γὰρ οὐδ' ἐκ τοῦ τυχόντος πλήθους πόλις γίνεται, οὕτως οὐδ' ἐν πᾶν τυχόντι χρόνῳ· διὸ ὅσοι ἥδησαν οἴκους ἐδέξαντο ἢ ἐποίκους οἱ φλεῖοι ἐξαισίαχαν· οἷον, τροιζηνίοις, ἀχαιοὶ συνῴκισαν σύβαριν· εἶτα τοὺς οἰκείους οἱ ἀχαιοὶ γνώμῃ, ἐξέβαλον τοὺς ξοιζηνίους· ὅθεν τὰ κατὰ σιβύρτιος συβαρίταις· ἠγνωμονεῖσις συβαρεῖται τοῖς συνοικήσασι· πλέον ἐκτεῖν γὰρ ἀξιοῦντες, ὥσθ' ἅπαντα τὴν χώραν ἐξέπεσον· ἠδυζαντίοις οἱ ἕρικοι ἐπιβαλλόμενοι φοραθέντες, ἐξέπεσον διὰ μάχης· καὶ ἀντισσαῖοι τοὺς χώ-

ρους φυτεύσας

ων φυγάδας, εἰς δεξάμενοι, διὰ μάχης ἐξέβαλον. ζαγκλαῖοι
δὲ σαμίους ὑποδεξάμενοι, ἐξέπεσον καὶ αὐτοί· καὶ ἀπολλω-
νειάται οἱ ἐν τῷ εὐξείνῳ πόντῳ, ἐποίκους ἐπαγαγόμενοι, ἐ-
στασίασαν· καὶ συρρακούσιοι μετὰ τὰ τυραννικὰ, τοὺς ξέ-
νους καὶ τοὺς μισθοφόρους πολίτας τριησάμενοι, ἐστασίασαν,
καὶ εἰς μάχην ἦλθον· καὶ ἀμφιπολῖται δεξάμενοι χαλκιδέων
ἀποίκους, ἐξέπεσον ὑπὸ τούτων οἱ πλεῖστοι αὐτῶν· στασιάζουσι
δὲ ἐν μὲν ταῖς ὀλιγαρχίαις οἱ πολλοὶ, ὡς ἀδικούμενοι, ὅτι οὐ-
μετέχουσι τῶν ἴσων, καθάπερ εἴρηται πρότερον, ἴσοι ὄντες·
ἐν δὲ ταῖς δημοκρατίαις οἱ γνώριμοι, ὅτι μετέχουσι τῶν ἴσων
οὐκ ἴσοι ὄντες· στασιάζουσι δὲ ἐνίοτε αἱ πόλεις, καὶ διὰ τοὺς
τόπους, ὅταν μὴ εὐφυῶς ἔχει ἡ χώρα πρὸς τὸ μίαν εἶναι πόλιν·
οἷον, ἐν κλαζομεναῖς· οἱ ἐπὶ χύτρῳ, πρὸς τοὺς ἐν νήσῳ· καὶ κο-
λοφώνιοι καὶ νοτιεῖς· καὶ ἀθήνησιν οὐχ ὁμοίως εἰσὶν, ἀλλὰ
μᾶλλον δημοτικοὶ οἱ τὸν πειραιᾶ οἰκοῦντες τῶν τὸ ἄστυ· ὥσπερ
γὰρ ἐν τοῖς πολέμοις, αἱ διαβάσεις τῶν ὀχετῶν καὶ τῶν πάνυ σμι-
κρῶν, διασπῶσι τὰς φάλαγγας, οὕτως ἔοικε πᾶσα διαφορὰ τρι-
εῖν διάστασιν· μεγίστη μὲν οὖν ἴσως διάστασις, ἀρετὴ καὶ μοχθη-
ρία· εἶτα πλοῦτος καὶ πενία· καὶ οὕτω δὴ ἑτέρα ἑτέρας μᾶλλον· ὧν
μία καὶ ἡ εἰρημένη ἐστί· γίγνονται μὲν οὖν αἱ στάσεις οὐ περὶ μι-
κρῶν, ἀλλ' ἐκ μικρῶν· στασιάζουσι δὲ περὶ μεγάλων· μάλιστα
δὲ καὶ αἱ μικραὶ ἰσχύουσιν ὅταν ἐν τοῖς κυρίοις γένωνται· οἷον
συνέβη καὶ ἐν συρακούσαις ἐν τοῖς ἀρχαίοις χρόνοις· μετέ-
βαλε γὰρ ἡ πολιτεία ἐκ δύο νεανίσκων στασιασάντων· ἐν ταῖς
ἀρχαῖς ὄντων, περὶ ἐρωτικὴν αἰτίαν· θατέρου γὰρ ἀποδη-
μοῦντος, ἑταῖρος ὤν τις, τὸν ἐρώμενον αὐτοῦ ὑπεποιήσα-
το· πάλιν δὲ ἐκεῖνος τούτῳ χαλεπήνας, τὴν γυναῖκα αὐτοῦ
ἀνέπεισεν ὡς αὐτὸν ἐλθεῖν· ὅθεν προσλαμβάνοντες τοὺς

ψῆτῷ πολιτεύματι, διεσοίσασαν πάντας· διόπερ ἀρχομένων
δὲ λαβεῖν δεῖ τῶν τοιούτων καὶ διαλύειν τὰς τῶν ἡγεμόνων
καὶ δωσαμένων στάσεις· ἐν ἀρχῇ γὰρ γίνεται τὸ ἁμάρτημα·
καὶ δ' ἀρχὴ λέγεται ἥμισυ εἶναι παντός· ὥστε καὶ τὸ ψαύειν τῇ μι-
κρὸν ἁμάρτημα, ἀνάλογον ὂν πρὸς τὰς ψυχὰς τοῖς ἄλλοις μέ-
ρεσιν· ὅλως δὲ αἱ τῶν ψυχῶν στάσεις σώματα πολλὰ εἰσι δέ-
σιν καὶ τὴν ὅλην πόλιν· οἷον, ἐνέστασαν μετὰ τὰ δημοτι-
κὰ· δύο ἀδελφῶν περὶ τῆς πατρῴας διαφερόντων· ὁ
μὲν γὰρ ἀπορώτερος, ὡς οὐκ ἀποφαίνοντος θατέρου τὴν οὐ-
σίαν οὐδὲ τὸν θησαυρὸν οὗ ὤρυεν ὁ πατήρ, προσήγετο τοὺς δημο-
τικούς· ὁ δ' ἕτερος ἔχων οὐσίαν πολλὴν τοὺς εὐπόρους· καὶ ψυ-
χὰς ἀδελφοῖς, ἐκκλησίας γενομένης διαφορᾶς, ἀρχὴ πασῶν ἐγέ-
νετο τῶν στάσεων τῶν ὕστερον· ὁμοῦ γάρ, οἱονεὶ σάλπιγγος πτύμ-
πτωμα, ὡς ἦλθεν ἐπὶ τὴν νύμφην, οὐλαβὼν ἀπῆλθεν· οἷόν ὡς
ὑβριωθέντος· ἐνέβαλον τῶν ἱερῶν χρημάτων θύοντος· καίπερ τοῦ
ὡσιερόσυλον ἀπείρξειν ἂν· ἐπὶ μιτυλήνην δὲ ἐξεπολε-
μοῦντος στάσεως γενομένης, πολλῶν ἐγένετο ἀρχὴ κακῶν· καὶ γὰρ
τοῦ πολέμου τοῦ πρὸς ἀθηναίους, ᾧπερ πάχος ἔλαβε τὴν πόλιν
αὐτῶν· τιμοφάνους γὰρ τῶν ὑπόρων τινὸς καταλιπόντος
δύο θυγατέρας, ὀπιθωλαθεὶς καὶ οὐλαβὼν τοῖς υἱέσιν αὐ-
τοῦ, δόξαν δρος, ἧρξε τῆς στάσεως· ἢ τοὺς ἀθηναίους παρώξυνε
πρόξενος ὢν τῆς πόλεως· καὶ ἐν φωκεῦσιν ἐξεπολεμοῦντος στά-
σεως γενομένης περὶ μυκασίαν τὸν μυήσωνος πρᾶ· λυθυκρά-
της τὸν ὀνομάρχου· ἡ στάσις αὕτη, ἀρχὴ τοῦ ἱεροῦ πολέμου κα-
τέστη τοῖς φωκεῦσι· μετέβαλε δὲ καὶ ἐν ὠδαῖς μνῷ ἡ πολιτεία
ἐκ δημοκρατικῶν· ὑπομνησθυάμβος γάρ τις θυγατέρα, ὃς ἐζη-
μίωσεν αὐτὸν ὑπομνησθέντος πατὴρ, γενόμενος
τῶν ἀρχόντων, ἄτερος συμπαρέλαβε τοὺς ἐκ τοῦ τῆς πο-
λιτείας ὡς ἑταιρειασθεὶς· μεταβάλλουσι δὲ καὶ εἰς ὀλιγαρχίαν
καὶ εἰς

καὶ εἰς δῆμον, καὶ εἰς πολιτείαν, ἐκ τοῦ βιάζεσθαι μᾶσάν τι ἢ αὔξη
θῆναι· ἢ ἀρχεῖον ἢ μόριον τῆς πόλεως· οἷον, ἢν ἀφέλῃ τις τὸ ἐμ-
βιάζεσθαι μᾶσασθαι ἐν τοῖς μηδικοῖς, ἔδοξεσωτὸν ναυτέραν ποιῆ-
σαι τὴν πολιτείαν· καὶ πάλιν ὀναυτικὸς ὄχλος γενόμενος αἴ-
τιος τῆς περὶ σαλαμῖνα νίκης· καὶ διὰ ταύτης τῆς ἡγεμο-
νίας, καὶ διὰ τὴν κατὰθάλατταν δύναμιν, τὴν δημοκρα-
κρατίαν ἰσχυροτέραν ἐποίησε· καὶ ἐναργεῖ οἱ πρώειμοι βιάσα-
μένους, περὶ τὴν ἐμαντινείαμάχην τὴν πρὸς λακεδαι-
μονίους, ἐπιχείρησαν καταλύειν τὸν δῆμον· καὶ ἐπὶ σύραν οὐ-
σαις ὁ δῆμος αἴτιος γενόμενος τῆς νίκης τοῦ πολέμου, τῶν πρὸς
ἀθηναίους, ἐκ πολιτείας εἰς δημοκρατίαν μετέβαλε· καὶ ἐν
χαλκίδι Φόξον τὸν τύραννον μετὰ τῶν πρώειμων ὁ δῆμος ἀπε
λὼν, βίᾳ εἶχε τὰς πολιτείας· καὶ ἐναμβρακείᾳ πάλιν
ὡσαύτως πειράσαντος συνεκβαλεῖν τοῖς ἐκ τῶν μυρίων ὁ δῆ
μος τὸν τύραννον, εἰς ἑαυτὸν περιέστησε τὴν πολιτείαν. Ἔ ὅλως
δὴ δεῖ τοῦτο μὲν λαν θάνειν ὡς οἱ δυνάμεως αἴτιοι γινόμενοι·
καὶ ἰδιῶται καὶ ἀρχαὶ καὶ φυλαί, καὶ ὅλως μέρος καὶ ὁ-
ποιονοῦν πλῆθος, στάσιν κινοῦσιν· ἡ γὰρ οἱ τούτοις φθονοῦντες
τιμωμένοις, ἄρχουσι τῆς στάσεως, ἢ οὗτοι διὰ τὴν ὑπεροχὴν
οὐθέλουσι μένειν ἐν τῶν ἴσων· κινοῦνται δ' αἱ πολιτεῖαι, καὶ
ὅταν τἀναντία εἶναι δοκοῦντα μέρη τῆς πόλεως, ἰσάζῃ ἀλ
λήλοις· οἷον οἱ πλούσιοι Ἔ ὁ δῆμος· μέσον δ' ἢ μικρὸν ἢ μηδὲν πάμ
παν· αὐ γὰρ πολὺ ὑπερέχῃ ὁποτερονοῦν τῶν μερῶν, πρὸς τὸ
φαυερῶς κρεῖττον, τὸ λοιπὸν οὐθέλειν κινδυνεύειν· διὸ καὶ οἱ κα-
τάρετὴν διαφέροντες, οὐ ποιοῦσι στάσιν ὡς εἰπεῖν· ὀλίγοι γὰρ εἰ
σὶν αὐτοῖς πρὸς πολλούς· καθόλου μὲν οὖν περὶ πάσας τὰς πολι-
τείας αἱ ἀρχαὶ καὶ αἱ τῆς στάσεως Ἔ τῆς μεταβολῆς, τοῦτον ἔχουσι
τὸν τρόπον· κινοῦσι δ' ἢ τὰς πολιτείας· ὅτὲ μὲν, διὰ βίας· ὅτὲ δ' ἀ-
πατῶντες· διὰ βίας μὲν, εὐθὺς ἐξ ἀρχῆς, ἢ ὕστερον ἀνακαλοῦντες·

καὶ γὰρ ἐξαπατήσαντες τὸν πρῶτον ἑκόντων μεταβάλλουσι τὴν πολιτείαν· εἶθ' ὕστερον βιαζόμενοι ἀκόντων, οἷον, τῶν τριακοσίων τὸν δῆμον ἐξηπάτησαν φάσκοντες τὸν βασιλέα χρήματα παρέξειν πρὸς τὸν πόλεμον τὸν πρὸς Λακεδαιμονίους· ψευσάμενοι δὲ, κατέσχον ἐπειρῶν τοῦτο τὴν πολιτείαν· ὅτι δὲ ἐξ ἀρχῆς τινὲς πεισθέντες, καὶ ὕστερον πάλιν πεισθέντων ἑκόντων ἄρχουσιν αὐτῶν· ἀπλῶς μὲν οὖν περὶ πάσας τὰς πολιτείας, ἐκ τῶν εἰρημένων συμβαίνει γίνεσθαι τὰς μεταβολάς· καθ' ἕκαστον δ' εἶδος πολιτείας ἐκ τούτων μερίζοντας, τὰ συμβαίνοντα δεῖ θεωρεῖν· αἱ μὲν οὖν δημοκρατίαι μάλιστα μεταβάλλουσι, διὰ τὴν τῶν δημαγωγῶν ἀσυλλογιστίαν· τὰ μὲν γὰρ ἰδίᾳ συκοφαντοῦντες τοὺς τὰς οὐσίας ἔχοντας, συνεφιστᾶσιν αὐτούς· συμφέρει γὰρ καὶ τοῖς ἐχθίστοις ὁμοίως φόβος· τὰ δὲ, κοινῇ, τὸ πλῆθος ἐπάγοντες ἢ τοῦ μὴ πλουτεῖν αὐτοὺς ἴδιον μόνον οὕτω· ἢ γὰρ ἀφαιροῦσι, ἢ δημοκρατίαν μετιόντα λειτουργῶν ἐγγενομένων δημαγωγῶν· οἷον ἐνίοις συνέβη καὶ ἐν Ἐφέσῳ· μισθοφοράν τινα, οἱ δημαγωγοὶ ἐπέτεινον· ἢ ἐκώλυον ἀποδιδόναι, τὰ ὀφειλόμενα τοῖς πρότερον ἄρχουσι· οἱ δὲ διὰ τὰς ὠφερομένας δίκας, ἠναγκάσθησαν συστάντες καταλῦσαι τὸν δῆμον· καὶ κατέλυθη δὲ καὶ ἐν Ἡρακλείᾳ ὁ δῆμος, μετὰ τὸν ἀποικισμὸν εὐθὺς διὰ τοὺς δημαγωγούς· ἀδικούμενοι γὰρ ὑπ' αὐτῶν οἱ γνώριμοι, ἐξέπεσον· ἔπειτα συναθροισθέντες οἱ ἐκπεσόντες, κατελθόντες κατέλυσαν τὸν δῆμον· παραπλησίως δὲ καὶ ἡ ἐν Μεγάροις, κατελύθη δημοκρατία· οἱ γὰρ δημαγωγοὶ, ἵνα χρήματα ἔχωσι δημεύειν, ἐξέβαλλον πολλοὺς τῶν γνωρίμων· ἕως πολλοὺς ἐποίησαν τοὺς φεύγοντας· οἱ δὲ, κατιόντες, ἐνίκησαν μαχόμενοι τὸν δῆμον· καὶ κατέσχον τὴν ὀλιγαρχίαν· συνέβη δὲ ταὐτὸν καὶ περὶ Κύμην ἐπὶ τῆς δημοκρατίας· ἣν κατέλυσε βραχύμαχος· χαλεπὸν δὲ καὶ ἐπὶ τῶν ἄλλων αὐτὸν ἰδεῖν θεωρῶν τὰς μεταβολὰς

τοῦτον

τοῦτον ἐχούσης τὸν τρόπον· ὅτε μὲν γὰρ ἴναχρείζωνται ἀν-
κῶν τες τὰς τῶν πολεμίων σωτηρίας, ἢ τὰς οὐσίας αὐξούσας ποι-
οῦντες ἢ τὰς προσόδους τοῖς λειτουργίαις· ὅτε δὲ, διαβάλ-
λοντες ἵνε χωσι δημοῦν τὰ κτήματα τῶν πλουσίων· ὧν δὲ τῶν
ἀρχαίων, ὅτι μόνοι τοῦ αὐτοῦ δημαγωγὸς ἀγαθὸς εἰς τυ-
ραννίδα μετέβαλλον· σχεδὸν γὰρ οἱ πλεῖστοι τῶν ἀρχαίων τυραν-
νων, ἐκ δημαγωγῶν γεγόνασιν· αἴτιον δὲ τοῦ τότε μὲν οὐ γενέσθαι
νῦν δὲ μή, ὅτι τότε μὲν, οἱ δημαγωγοὶ ἦσαν ἐκ τῶν στρατηγούντων· ὃ
γὰρ πόλεως οἱ ἦσαν λέγειν· νῦν δὲ τῆς ῥητορικῆς ἠυξημένης, οἱ δυ-
νάμενοι λέγειν δημαγωγοῦσι μᾶλλον· διὰ πειρίαν δὲ τῶν πολεμικῶν, ἐκείνοι-
τίθεντο· πλὴν εἴ που βραχύ τι γέγονε τοιοῦτον· ἐπὶ πλεῖστον δὲ τυ-
ραννίδες πρότερον μᾶλλον ἦσαν· διὰ τὸ μεγάλας ἀρχὰς ἔχειν
εἴζεσθαι τισὶν ὡς περ ἐν μιλήτῳ ἐκ τῆς πρυτανείας· πολλῶν δὲ νῦν
ἐν μεγάλων κύριος ὁ πρύτανις· ἔτι δὲ διὰ τὸ μὴ μεγάλας εἶναι
πρότερον πόλεις ἀλλ' ἐπὶ τῶν ἀγρῶν οἰκεῖν τὸν δῆμον ἀσχόλουντε
πρὸς τοῖς ἔργοις, οἱ προστάται τοῦ δήμου ὅτι πολεμικοὶ ἦσαν τὸ
τυραννίδα ἐπετίθεντο· πάντες δὲ τοῦτο ἔδρων, ὑπὸ τοῦ δήμου
πεισθέντες· ἢ ὃ πίστις ἦν ἢ ἀπέχθεια ἢ πρὸς τοὺς πολιτικούς· ὡς
Θήβησι πεισίστρατος πεισάσας πρὸς τοὺς πολεμικούς· καὶ
θεαγένης ἐν μεγάροις τῶν ὑποζυγίων τὰ κτήνη προφάξας λαβὼν
ταυρὲ τὸν ποταμὸν ὠνίμον τους· καὶ διονύσιος κατηγορῶν
δαφναίου, καὶ τῶν πλουσίων, ὡς ἀθυμοῦντας τυραννίδος, διὰ τοῦτο
ἔχθραν πεισθεὶς ὡς δημοτικὸς ὢν· μεταβάλλουσι ἢ μὴ ἐκ τῆς
πολιτείας δημοκρατίας εἰς τοῦτο μεθιστάντων· ὅπου γὰρ αἱρε-
τοὶ μὲν, αἱ ἀρχαὶ, μὴ ἀπὸ τιμημάτων δὲ αἱρεῖται δὲ ὁ δῆμος,
δημαγωγοῦντος οἱ ἀπουδαρχοῦντες, εἰς τοῦτο καθίστασιν ὡς
κύριον εἶναι τὸν δῆμον καὶ τῶν νόμων· ἄκος δὲ, τοῦ ἢ μὴ γί-
νεσθαι· ἢ τοῦ γίνεσθαι ἧττον, τὸ τοὺς φυλακὰς φέρειν τοὺς ἄρ-
χοντας, ἀλλὰ μὴ πάντας τὸν δῆμον· τὸ μὲν οὖν δημοκρατίαν
αἱ μεταβολαὶ γίνονται πολλαχοῦ διὰ ταύτας τὰς αἰτίας·

αἱ δ' ὀλιγαρχίαι μεταβάλλουσι, διὰ δύο μάλιστα τρόπους τοὺς φανερωτάτους· ἵνα μὲν, ἐὰν ἀδικῶσι τὸ πλῆθος· πᾶς γὰρ ἱκανὸς γίνεται προστάτης· μάλιστα δ' ὅταν ἐξ αὐτῆς συμβῇ τῆς ὀλιγαρχίας γίνεσθαι τὸν ἡγεμόνα· καθάπερ ἐν ἀξῳ λύγδαμις· ὃς καὶ ἐτυράννησεν ὕστερον τῶν ναξίων· ἔχει δὲ καὶ ἡ ἐξ ἄλλων ἀρχηστάσεως διαφοράς· ὁ τὲ μὲν γὰρ ἐξ αὐτῶν τῶν ἐν πόρων οὐ τῶν ὄντων δ' ἐν ταῖς ἀρχαῖς γίνεται κατάλυσις ὅταν ὀλίγοι σφόδρα ὦσιν, οἱ ἐν ταῖς τιμαῖς· οἷον, ἐν μασσαλίᾳ, καὶ ἐν ἴστρῳ· καὶ ἐν ἡρακλείᾳ· καὶ ἐν ἄλλαις πόλεσι συμβέβηκεν· οἱ γὰρ μὴ μετέχοντες τῶν ἀρχῶν· ἐκίνουν ἕως μετέλαβον οἱ πρεσβύτεροι πρότερον τῶν ἀδελφῶν, ὕστερον δ' οἱ νεώτεροι πάλιν· οὐ γὰρ ἄρχουσιν, ἐνιαχοῦ μὲν ἅμα πῆρτε καὶ υἱός· ἐνιαχοῦ δὲ ὁ πρεσβύτερος· καὶ ὁ νεώτερος ἀδελφός· καὶ ἔνθα μὲν, πολιτικωτέρα ἐγένετο ὀλιγαρχία· ἐν ἴστρῳ δ' εἰς δῆμον ἀπετελεύτησεν· ἐν ἡρακλείᾳ δ' ἐξ ἐλαττόνων εἰς ἑξακοσίους ἦλθε· μετέβαλε δὲ καὶ ἐν κνίδῳ ἡ ὀλιγαρχία στασιασάντων τῶν γνωρίμων αὐτῶν πρὸς αὐτούς· διὰ τὸ ὀλίγους μετέχειν· καὶ καθάπερ εἴρηται, εἰ πῆρ, υἱὸν μὴ μετέχειν μὴ δ' εἰ πλείους ἀδελφοὶ, ἀλλ' ἢ τὸν πρεσβύτατον· ἐπιλαβόμενος γὰρ στασιαζόντων ὁ δῆμος, καὶ λαβὼν προστάτην, ἐκ τῶν γνωρίμων, ἐπιθέμενος ἐκράτησεν· ἀσθενὲς γὰρ τὸ στασιάζον· καὶ ἐν ἐρυθραῖς τῇ, ἐπὶ τῆς τῶν βασιλίδων ὀλιγαρχίας, ἐν τοῖς ἀρχαίοις χρόνοις· καὶ περκαλῶς ἐπιμελουμένων τῶν ἐν τῇ πολιτείᾳ· ὅμως διὰ τὸ ὑπὸ ὀλίγων ἄρχεσθαι ἀγανακτῶν ὁ δῆμος, μετέβαλε τὴν πολιτείαν· κινοῦνται δ' αἱ ὀλιγαρχίαι ἐξ αὐτῶν, καὶ διὰ φιλονεικίαν δημαγωγούντων· ἡ δημαγωγία δὲ, διττὴ· ἡ μὲν; ἐν αὐτοῖς τοῖς ὀλίγοις· ἐγγίνεται γὰρ δημαγωγὸς κἂν πάνυ ὀλίγοι ὦσιν· οἷον, ἐν τοῖς τριάκοντα ἀθήνησιν, οἱ περὶ χαρικλέα ἴσχυσαν τοὺς τριάκοντα δημαγωγοῦντας· καὶ ἐν τοῖς τετρακοσίοις οἱ περὶ φρύνιχον· τὸν αὐτὸν τρόπον· ἢ ὅταν τὸ ὅλλον δημαγωγῶσιν οἱ ἐν τῇ ὀλιγαρχίᾳ ὄντες· οἷον, ἐν λαρίσσῃ

οἱ πολιτο

οἷον πολίχνη φύλακες· διὰ τὸ αἱρεῖσθαι αὐτοὺς, τὸν ὅλον δῆμον γίγνεσθαι ἐνόσους ὀλιγαρχίαις ἀχθόμενοι αἱροῦνται τοὺς ἀρχὰς ἐξ ὧν οἱ ἄρχοντές εἰσιν· ἀλλ' αἱ μὲν ἀρχαὶ ἐκ τιμημάτων μεγάλων εἰσὶν ἢ ἐταιρικῶν· αἱροῦνται δὲ οἱ ὀλίγοι πλῆθος, ἡ δῆμος ὥσπερ ἐν ἀριστοκρατίᾳ συμβαίνει· καὶ ὅπου τὰ δικαστήρια μὴ ἐκ τοῦ πολιτεύματός ἐστι· δημαγωγοῦντες γὰρ πρὸς τὰς κρίσεις, μεταβάλλουσι τὴν πολιτείαν, ὥσπερ ἡ ἐν Ῥαικλείᾳ ἐγένετο τῇ ἐν τῷ Πόντῳ· ἔτι δὲ ὅπου μὴ ἔνιοι εἰσὶ λαμπροὶ ἔλκουσι τὴν ὀλιγαρχίαν. οἱ γὰρ ἴσον ζητοῦντες, ἀναγκάζονται βοηθὸν ἐπαγαγέσθαι τὸν δῆμον· γίνονται δὲ, μεταβολαὶ τῆς ὀλιγαρχίας· ἢ ὅταν ἀναλώσωσι τὰ ἴδια ζῶντες ἀσωτεύεσθαι· ἐν γὰρ οἱ τοιοῦτοι καινοτομοῦσιν ζητοῦσι· καὶ ἢ τυραννίδα ἐπιτίθενται αὐτοὶ· ἢ κατασκευάζουσιν ἕτερον, ὥσπερ ἱππαρῖνος Διονύσιον ἐνσυρακούσαις· καὶ ἐν Ἀμφιπόλει· ᾧ ὄνομα ἦν κλεότιμος, τοὺς ἐποίκους τοὺς χαλκιδέων ἤγαγε· καὶ ἐλθόντα μέσεσασίασεν αὐτοὺς πρὸς τοὺς δυνάστας· καὶ ἐν αἰτίᾳ ἦν ὅτι τὴν πρᾶξιν τὴν πρὸς χάρη ταν πράξας, ἐπεχείρησε μεταβαλεῖν τὴν πολιτείαν διὰ τοιαύτην αἰτίαν· ῥᾳδίως μὲν ἂν ὑπ' ἐχθρῶν σίνεσθαι· ὅτε δὲ, κλέπτουσι τὰ κοινά· ὅθεν πρόσοδον τοῖς στασιάζουσιν ἢ οὗτοι· ἢ οἱ πρὸς τούτους μαχόμενοι κλέπτοντας· ὥσπερ ἐν Ἀπολλωνίᾳ συνέβη τῇ ἐν Πόντῳ· ὁμοίως δὲ ὀλιγαρχία, οὐκ εὐδαίμων φθορὰς ἔχουσα τὰς· σημεῖον δὲ, ἡ ἐν Φαρσάλῳ πολιτεία· ἐκεῖνοι γὰρ ὀλίγοι ὄντες, πολλῶν κύριοι εἰσὶ διὰ τὸ χρῆσθαι σφίσιν αὐτοῖς καλῶς· καταλύονται δὲ, ἢ ὅταν ἐν τῇ ὀλιγαρχίᾳ ἑτέραν ὀλιγαρχίαν ἐμποιῶσι· τοῦτο δ' ἐστὶν, ὅταν τοῦ ὦσιν τὸ πολίτευμα ὀλίγου ὄντος, τῶν μετέχωσιν οἱ ὀλίγοι πάντες· ὅπερ ἐν Ἡλίδι συνέβη ποτὲ· τῆς πολιτείας γὰρ ὀλίγων οὔσης, τῶν στρατευομένων οἱ ὀλίγοι πάμπαν ἐπόνουν διὰ τὸ ἀεὶ δοῦναι εἶναι, ἐν μεν ἡκοντα ὄντας· τὴν δ' αἵρεσιν δυναστικὴν εἶναι καὶ ὁμοίαν.

τῇ τῶν ἐν λακεδαίμονι γερόντων. γίγνεται δὲ μεταβολὴ τῶν
ὀλιγαρχιῶν, καὶ ἐν πολέμῳ καὶ ἐν εἰρήνῃ ἐν μὲν πολέμῳ, διὰ τὴν
πρὸς τὸν δῆμον ἀπιστίαν· στρατιώταις ἀναγκαζομένων χρῆσθαι·
ὧν γὰρ ἂν ἐγχειρίσωσιν, οὗτος πολλάκις γίγνεται τύραννος· ὥς
περ ἐν κορίνθῳ τιμοφάνης· ἂν δὲ πλείους οὗτοι, αὐτοῖς περι
ποιοῦν ταιδυναστείαν· ὅτε δὲ ταῦτα δεδιότες, μεταδιδόασι
τῷ πλήθει τῆς πολιτείας, διὰ τὸ ἀναγκάζεσθαι τῷ δήμῳ χρῆσθαι
ἐν δὲ τῇ εἰρήνῃ διὰ τὴν ἀπιστίαν τὴν πρὸς ἀλλήλους, ἐγχειρίζουσι τὴν
φυλακὴν στρατιώταις καὶ ἄρχοντι μεσιδίῳ· ὃς ἐνίοτε γίνε-
ται κύριος ἀμφοτέρων· ὅπερ συνέβη ἐν λαρίσσῃ· ἐπὶ τῆς τῶν
ἀλευάδων ἀρχῆς τῶν περὶ σάμον· καὶ ἐν ἀβύδῳ ἐπὶ τῶν ἑται
ριῶν· ὧν ἦν μία ἡ ἰφιάδου· γίνονται δὲ στάσεις καὶ ἐκ τοῦ περιω
θεῖσθαι ἑτέρους ὑφ' ἑτέρων, τῶν ἐν τῇ ὀλιγαρχίᾳ αὐτῶν· καὶ κα
τα στασιάζεσθαι κατὰ γάμους, ἠδίκας· οἷον, ἐκ γαμικῆς μὲν
αἰτίας, αἱ εἰρημέναι πρότερον· καὶ τὴν ἐν ἐρετρίᾳ δ' ὀλιγαρχίαν
τὴν τῶν ἱππέων· διαγόρας δὲ κατέλυσεν ἀδικηθεὶς περὶ γά-
μον· ἐκ δὲ δικαστηρίου κρίσεως, ἡ ἐν ἡρακλείᾳ στάσις ἐγένετο· καὶ ἐν θή
βαις ἐπαιτίᾳ μοιχείας· δικαίως μὲν, στασιωτικῶς δὲ πρίησα
μένων τὴν κόλασιν· τῶν μὲν ἐν ἡρακλείᾳ, κατευτίωνος· τῶν
δ' ἐν θήβαις κατ' ἀρχίου· ἐφιλονείκησαν γὰρ αὐτοὺς οἱ ἐχθροὶ,
ὥστε δεθῆναι ἐν ἀγορᾷ ἐν τῷ κυφῶνι· πολλαὶ δὲ καὶ διὰ τὸ ἄγαν
δεσποτικὰς εἶναι τὰς ὀλιγαρχίας, ὑπὸ τῶν ἐν τῇ πολιτείᾳ
τινῶν δυσχεραναντων, κατελύθησαν· ὥσπερ ἡ ἐν κνίδῳ καὶ ἡ ἐν χίῳ
ὀλιγαρχία· γίγνονται δὲ καὶ ἀπὸ συμπτώματος μεταβολαί· καὶ τῆς
καλουμένης πολιτείας· καὶ τῶν ὀλιγαρχιῶν· ἐν ὅσαις ἀπὸ τιμή-
ματος βουλεύουσι καὶ δικάζουσι, καὶ τὰς ἄλλας ἀρχὰς ἄρχουσι·
πολλάκις γὰρ τὸ ταχθὲν πρῶτον τίμημα πρὸς τοὺς παρόν
τας καιροὺς· ὥστε μετέχειν, ἐν μὲν τῇ ὀλιγαρχίᾳ ὀλίγους·

ἐν δὲ τῇ

ἐν δὲ τῇ πολιτείᾳ τοὺς μέσους, ὑπ' ἐτηρείας ἐπομένους διείρηνται. ἢ διὰ ἄλλην τιμὴν ὑπ' ἀτυχίαν, συμβαίνει πολλαχοῦ πολίτευμα τοῦ τιμήματος ἀξιῶσαι τοὺς αὐτοὺς κτήσεις· ὥστε πάντων πάντων μετέχειν· ὀλίγα μὲν, ἐκπροσαγωγῆς· καὶ κατὰ μικρὸν γινομένης τῆς μεταβολῆς, ὀλιγοχρόνιον οὖσης· ἔθος ἦν ἔθαττον. αἱ μὲν οὖν ὀλιγαρχίαι μεταβάλλουσι καὶ ἵστασι ἄλλους διαφυλάττουσι δὲ μάλιστα τὰς αἰτίας· ὅλως δὲ καὶ αἱ δημοκρατίαι· καὶ ὀλιγαρχίαι, ἐξίστανται ἐνίοτε, οὐκ εἰς τὰς ἐναντίας πολιτείας, ἀλλ' εἰς τὰς ἐν τῷ αὐτῷ γένει· οἷον, ἐκ τῶν νόμων δημοκρατιῶν καὶ ὀλιγαρχιῶν, εἰς τὰς κυρίους· καὶ ἐκ τούτων εἰς ἐκείνας· ἐν δὲ ταῖς ἀριστοκρατίαις ἐπίνοιαι αἱ σπάνεις· αἱ μὲν διὰ τὸ ὀλίγους τῶν τιμῶν μετέχειν· ὅπερ εἴρηται κινεῖν, καὶ τὰς ὀλιγαρχίας· διὰ τὸ καὶ τὴν ἀριστοκρατίαν, ὀλιγαρχίαν εἶναί πως· ἐν μὲν φοτέραις γὰρ, ὀλίγοι οἱ ἄρχοντες· οὐ μὴν τοι διὰ ταῦτὸν ὀλίγοι· ἐπεὶ δοκεῖ διὰ ταῦτα καὶ ἡ ἀριστοκρατία εἶναι· μάλιστα δὲ τοῦτο συμβαίνειν ἀναγκαῖον· ὅταν ἡ τὸ πλῆθος τῶν εὐφρονημασμένων, ὡσόμοιον κατ' ἀρετήν· οἷον, ἐν Λακεδαίμονι, οἱ λεγόμενοι παρθενίαι· ἐκ τῶν ὁμοίων γὰρ ἦσαν, οὓς φωράσαντες ἐβουλεύσαντας, ἀπῴκειλαν τοὺς ἀντοὺς οἰκίσεις ἢ ὅταν τινὲς ἀναζοῦνται μεγάλοι ὄντες, καὶ μὴ θεμιτὸς ἦ πολὺς κατ' ἀρετήν, ὑποτιμῶν ἐν τιμοτίμων· οἷον, Λύσανδρος ὑπὸ τῶν βασιλέων. ἢ ὅταν ἀνδρώδης τις ὢν, μὴ μετέχῃ τῶν τιμῶν οἷον, κινάδων ὁ τὴν ἐπαγωγὴν λαφύξας ἐπὶ θέσιν, ἐπὶ τοὺς ἀστυρτιάτας· ἔτι ὅταν οἱ μὲν ἀπορῶσι λίαν· οἱ δ' ὑπερῶσι· μάλιστα γὰρ τοῖς πολέμοις τοῦτο γίνεται· συμβαίνει δὲ καὶ ὑπὸ νόμον γίνεσθαι ὑπὸ τὸν μεσηνιακὸν πόλεμον· δῆλον δὲ καὶ ἐκ τῆς τυρταίου ποιήσεως τῆς καλουμένης εὐνομίας· θλιβόμενοι γάρ τινες διὰ τὸν πόλεμον, ἠξίουν ἀνάδασον ποιεῖν τὴν χώραν· ἔτι ἀνὴρ μέγας ἦ, καὶ δυνάμενος ἔτι μείζων εἶναι ἵνα μοναρχῇ·

ὥσπερ ἐν Λακεδαίμονι δοκεῖ παυσανίας ὁ στρατηγήσας κατὰ
τὸν μηδικὸν πόλεμον· καὶ ἐν καρχηδόνι ἄννων· λύονται δὲ μά-
λιστα αἵ τε πολιτεῖαι καὶ αἱ ἀριστοκρατίαι διὰ τὴν ἐν αὐτῇ τῇ πο-
λιτείᾳ τοῦ δικαίου παρέκβασιν· ἀρχὴ γὰρ τὸ μὴ μεμίχθαι
καλῶς, ἐν μὲν τῇ πολιτείᾳ, δημοκρατίαν· καὶ ὀλιγαρ-
χίαν· ἐν δὲ τῇ ἀριστοκρατίᾳ, ταῦτά τε καὶ τὴν ἀρετήν· μά-
λιστα δὲ, τὰ δύο· λέγω δὲ τὰ δύο, δῆμον, καὶ ὀλιγαρχίαν· ταῦ-
τα γὰρ αἱ πολιτεῖαί τε πειρῶνται μιγνῦναι· καὶ αἱ πολλαὶ
τῶν καλουμένων ἀριστοκρατιῶν· διαφέρουσι γὰρ τῶν ὀνομα-
ζομένων πολιτειῶν αἱ ἀριστοκρατίαι τούτῳ· καὶ διὰ τοῦτ' ἐ-
σὶν αἱ μὲν, ἧττον· αἱ δὲ, μᾶλλον μόνυμοι αὐτῶν· τὰς γὰρ ἀ-
ποκλινούσας μᾶλλον πρὸς τὴν ὀλιγαρχίαν, ἀριστοκρατίας
καλοῦσι· τὰς δὲ πρὸς τὸ πλῆθος, πολιτείας· διόπερ ἀσφα-
λέστεραι αἱ τοιαῦται, τῶν ἑτέρων εἰσί· κρεῖττόν τε γὰρ τὸ πλεῖ-
ον, καὶ μᾶλλον ἀγαπῶσιν ἶσον ἔχοντες· οἱ δ' ἐν ταῖς εὐπο-
ρίαις, ἂν ἡ πολιτεία διδῶ τὴν ὑπεροχήν, ὑβρίζειν ζητοῦσι
καὶ πλεονεκτεῖν· ὅλως δ' ἐφ' ὁπότερον ἂν ἐγκλίνῃ ἡ πολι-
τεία, ἐπὶ ταῦτα μεθίστα ται ἑκατέρων τὸ σφέτερον αὐξα-
νόντων· οἷον, ἡ μὲν πολιτεία, εἰς δῆμον· ἀριστοκρατία δ' εἰς
ὀλιγαρχίαν· ἢ εἰς τἀναντία· οἷον, ἡ μὲν ἀριστοκρατία, εἰς
δῆμον· ὡς ἀδικούμενοι γὰρ περιπτῶσιν εἰς τἀναντίον οἱ
ἀπορώτεροι· αἱ δὲ πολιτεῖαι, εἰς ὀλιγαρχίαν· μόνιμον τὸ
κατ' ἀξίαν ἶσον· καὶ τὸ ἔχειν τὰ αὐτῶν· συνέβη δὲ τὸ εἰρημένον
ἐνθουρίοις· διὰ μὲν γὰρ τὸ ἀπὸ πλείονος τιμήματος εἶναι τὰς
ἀρχάς, εἰς ἔλαττον μετέβη· καὶ εἰς ἀρχεῖα πλείω· διὰ δὲ
τὸ τὴν χώραν ὅλην τοὺς γνωρίμους συγκτήσασθαι παρὰ τὸν νό-
μον· ἡ γὰρ πολιτεία, ὀλιγαρχικωτέρα ἦν· ὥστε ἐδύναντο πλεο-
νεκτεῖν· ὁ δὲ δῆμος γυμνασθεὶς ἐν τῷ πολέμῳ, τῶν φρουρῶν
ἐγένετο κρείττων, ἕως ἀφεῖσαν τῆς χώρας, ὅσοι πλείω ἦσαν ἔ-
χοντες· ἔτι διὰ τὸ πάσας τὰς ἀριστοκρατικὰς πολιτείας·

ὀλιγαρχικὰς

ὀλιγαρχικὰς εἶναι, μᾶλλον πολεμοκρυσίν οἱ γνώριμοι. οἷον, ἐν
λακεδαίμονι εἰς ὀλίγους αἱ ὁσίαι περὶ χρημ. ἐξεστι γὰρ εἶν ὅτι αὐ
θέλωσι τοῖς γνωρίμοις μᾶλλον· μὴ κινδυνῶ ὅτῳ θέλωσι· διὸ καὶ ἡ
λοκρῶν πόλις ἀπώλεσε ἐκφυλ πρὸς διονύσιον κινδύνας· ὁ ἐν δημο
κρατίᾳ, ὃ καὶ ἐγένετο· οὐ δεῖ γὰρ ἀεὶ ὀλιγοκρατίᾳ δῦ με μιγμένη.
μάλιστα δὲ λανθάνουσιν αἱ ἀριστοκρατίαι μεταβάλλουσαι, τῷ
λύεσθαι κατὰ μικρὸν, ὥσπερ εἴρηται καὶ τοῖς πρότερον καθόλου.
καὶ πασῶν τῶν πολιτειῶν, ὅτι αἴτιον τῶν μεταβολῶν, ἐν τὸ μι-
κρόν ἐστιν· ὅταν γάρ τι πρόωνται τῆς πρὸς τὴν πολιτείαν, μετὰ τοῦτο
καὶ ἄλλο μικρῷ μεῖζον ῥᾳδίως ἐπιχειρήσουσιν· ἴσως δὴ πάντα κι-
νήσουσι τὸν κόσμον· συμβέβηκε δὲ τοῦτο καὶ ἐφ' ὀλιγαρχίαν πολιτεί-
νόμου γὰρ ὄντος διὰ πάντα τὸν ἐν τῇ πολιτείᾳ στρατηγεῖν, γυμνάζοντοί τινες πολε
μικοὶ τῶν νεωτέρων, καὶ παρὰ τὴν πλήθει τῶν φρονούντων δυναμένων
τες, καταφρονήσαντες τῶν ἐν τοῖς πράγμασιν, ὡς νομίζοντες
ῥᾳδίως κατασχήσειν, τοῦτον τὸν νόμον λύειν ἐπεχείρησαν πρῶ-
τον· ὡς τὸ ἔξεῖναι τοὺς αὐτοὺς συνεχῶς στρατηγεῖν· ὁρῶντες τὸν
δῆμον αὐτοὺς χειροτονήσοντα προθύμως· οἱ δ' ἐπὶ τύραννοι τεταγ-
μένοι τῶν ἀρχόντων οἱ καλούμενοι σύμβουλοι, ὁρμήσαντες
πρῶτον ἐναντιοῦσθαι, συνεπείσθησαν, ὑπολαμβάνοντες τοῦτον
καινήσαντες τὸν νόμον, ἐάσειν τὰλλα πολιτείαν· ὕστερον δ'
βουλόμενοι καὶ λύειν, ἄλλων κινούμενων, οὐκέτι πλέον ἐπιούν
οὐθέν· ἀλλὰ μεταβαλοῦσα ἡ τάξις πᾶσα φυλ πολιτείας, εἰς δημο
κρατείαν τὴν χειρίστην ἐνεωτερίζησαν· πᾶσαι δ' αἱ πολιτεῖαι λύ
ονται ὅτὲ μὲν, ἔξ αὐτῆς· ὅτε δ' ἔξωθεν, ὅταν ἐναντία πολιτεία ᾖ·
ἢ πλησίον· ἢ πόρρω μὲν, ἔχουσα δὲ δύναμιν· ὥσπερ συμβαίνει ἐ-
πὶ θηβαίων καὶ λακεδαιμονίων· οἱ μὲν γὰρ ἀθηναῖοι πάντας χοῦ
τὰς ὀλιγαρχίας· οἱ δὲ λάκωνες τοὺς δήμους κατέλυον· ὅθεν
μὲν οὖν αἱ μεταβολαὶ γίνονται τῶν πολιτειῶν καὶ αἰτίαι, εἴ-
ρηται σχεδόν· περὶ δὲ σωτηρίας καὶ κοινῇ καὶ χωρὶς ἑκάστης πολι
τείας ἐχόμενόν ἐστιν εἰπεῖν· πρῶτον μὲν δὴ λοιπὸν ὥσπερ ἐχόμενον

δίων φθείρονται πολιτεῖαι, ἐὰν μὴ ἐλάττων ὁ δίων σώζῃ. τὸ γὰρ ἐναντίον τοῦ ἐναντίου ἐναντίον· φθορὰ δὲ σωτηρίᾳ ἐναντία. ἐν μὲν οὖν ταῖς δικαιοκρατουμέναις πολιτείαις, ὥσπερ ἀμότητι δεῖ τῆς ὀλιγαρχίας, ὅπως μηθὲν ὑπερνομῶσι· μᾶλλον δὲ μικρᾷ φυλάττειν· λανθάνει γὰρ ἡδονὴ ποιοῦσα διὰ τὸ μὴ ἀθρόα γίνεσθαι· παραλογίζεται γὰρ ἡδονὴ αὑτὴν αὐτῇ ὡς περ ὁ σοφιστικὸς λόγος· εἰ ἓν μικρόν, καὶ πολλὰ τῶν ἓν τούτων δ' ἐστὶ μικρόν, ὡς ὁ δίδωσι, ὃ τὸ γὰρ ὅλον μὴ τὸ πολλὰ τὸ μικρόν· ἀλλὰ σύγκειται ἐκ μικρῶν· μίαν μὲν δὴ φυλακὴ πρὸς ταύτην τὴν ἀρχὴν δεῖ προειδέναι· ἐπειτα μὴ πιστεύειν τοῖς σοφίσμασι χάριν πρὸς τὸ πλῆθος συγκειμένοις· ὠφελεῖ γὰρ ὑπὸ τῶν ἔργων· ποῖα δ' ἐλέγομεν τὰ πολιτειῶν σοφίσματα πρότερον εἰρηται· ὅτι δὲ ὁρᾶν, ὅτι ζητοῦσιν οὐ μόνον ἀριστοκρατίαι ἀλλὰ καὶ ὀλιγαρχίαι· διὰ τὸ ἀσφαλεῖς εἶναι τὰς πολιτείας· ἀλλὰ διὰ τὸ δύνασθαι τοὺς ἐν ταῖς ἀρχαῖς γινομένους μὴ τοῖς ἐξωτικῆς πολιτείας· καὶ τοῖς ἐν τῷ πολιτεύματι· τοὺς μὲν μὴ μετέχοντας, τῷ μὴ ἀδικεῖν· μὴ τῷ τοὺς ἡγεμονικοὺς αὐτῶν εἰσάγειν εἰς τὴν πολιτείαν· καὶ τοὺς μὲν φιλοτίμους μὴ ἀδικεῖν εἰς ἀτιμίαν· τοὺς δὲ πολλοὺς εἰς κέρδος· πρὸς αὐτοὺς δὲ καὶ τοὺς μετέχοντας τῷ δύνασθαι ἀλυπήτοις δημοτικῶς· ὁ γὰρ ἐπὶ τοῦ πλήθους ζητοῦσιν οἱ δημοτικοὶ τὸ ἴσον, τοῦτ' ἐστὶ τὸ ὁμοίων, τὸ μόνον δίκαιον, ἀλλὰ καὶ συμφέρον ὅτι· διὸ ἐὰν πολίτας ὦσιν ἐν τῷ πολιτεύματι πολλὰ συμφέρει τῶν δημοτικῶν νομοθετημάτων· οἷον, τὸ ἐξαμιλλοῦσθαι τὰς ἀρχὰς εἶναι, ἵνα πάντες οἱ ὅμοιοι μετέχωσιν· ὅτι γὰρ ὥσπερ δῆμος ἤδη οἱ ὅμοιοι· διὸ καὶ ἐν τούτοις ἐγγίνονται δημαγωγοὶ πολλάκις, ὥσπερ εἴρηται πρότερον· ἐπεισθήσεται εἰς δυναστείας ἐμπίπτουσιν αἱ ὀλιγαρχίαι καὶ ἀριστοκρατίαι· οὐ γὰρ ὁμοίως ἐᾶδον κακουργοῦσαν ὀλίγον χρόνον ἄρχοντας καὶ πολύ· ἐπεὶ διὰ τοῦτο φυτοῖς ὀλιγαρχίαις καὶ δημοκρατίαις γίνονται τυραννίδες· ἢ γὰρ οἱ μέσοι ἐνίοτε ἐπὶ τὴν τῶν τυραννίδων· ὥθεν μὲν, οἱ δημαγω-

γοί· ἔνθα δ' οἱ δυνάσται· ἢ οἱ τὰς μεγίστας ἔχοντες ἀρχὰς, ὅταν πολὺν χρόνον ἄρχωσι· σώζονται δ' αἱ πολιτεῖαι, οὐ μόνον διὰ τὸ πόρρω εἶναι τῶν διαφθειρόντων, ἀλλ' ἐνίοτε καὶ διὰ τὸ ἐπὶ ὑς· φοβούμενοι γὰρ, διαχειρῶν ἔχουσι μᾶλλον τὴν πολιτείαν· ὥστε δεῖ τοὺς τῆς παλιτείας φροντίζοντας, φόβους παρασκευάζειν· ἵνα φυλάττωσι καὶ μὴ καταλύωσιν ὥσπερ νυκτερινὴν φυλακὴν τὴν τῆς πολιτείας τήρησι· καὶ τὸ πόρρω ἐπὶ ὑς ποιεῖν· ἔτι τὰς τῶν σωρίμων φιλονεικίας καὶ στάσεις· καὶ διὰ τῶν νόμων πειρᾶσθαι δεῖ φυλάττειν· καὶ τοὺς ἔξω τῆς φιλονεικίας ὄντας πρὶν παρεληφέναι καὶ αὐτοὺς ὡς τὸ ἀρχὴ σινόμενον κακὴ σνῶναι ὑπὸ τοῦ τυχόντος· ἀλλὰ πολιτικοῦ ἀνδρός· πρὸς ἢ τῆς διὰ τὰ τιμήματα σιγνομένην μεταβολὴν, ἐξ ὀλιγαρχίας καὶ πολιτείας· ὅτε συμβαίνει τοῦτο· μενόντων μὲν τῶν αὐτῶν τιμημάτων· εὐπορίας δὲ νομίσματος γιγνομένης συμφέρει τοῦ τιμήματος ὑπὸ σκοπεῖν τοῦ κοινοῦ τὸ πλῆθος, πρὸς τὸ παρελθὸν κατὰ τοῦτον τὸν χρόνον, ἐν ὅσαις μὲν πόλεσι τιμῶνται κατὰ τὴν ἰαυτόν· ἐν δὲ ταῖς μείζοσι, διατριετηρίδος, ἢ πεντα ετηρίδος, κἂν ἦ πολλαπλάσιον ἢ πολλοστημόριον, τοῦ πρότερον, ἐνῶ αἱ τιμήσεις κατέστησαν τῆς πολιτείας, νόμον εἶναι· καὶ τὰ τιμήματα ὑπὸ τείνειν ἢ ἀνιέναι· ἐὰν μὲν ὑπερβάλλη ὑπὸ τείνοντας κατὰ τὴν πολλαπλασίωσιν· ἐὰν δ' ἐλλείπῃ ἀνιέντας καὶ ἐλάττω ποιοῦντας τὴν τίμησιν· ἐν μὲν γὰρ ταῖς ὀλιγαρχίαις καὶ ταῖς πολιτείαις, μὴ, ποιούντων μὲν οὕτως· ἔνθα μὲν ὀλιγαρχίαν, ἔνθα δὲ δυναστείαν σίνεσθαι συμβαίνει· ἐκείνως δὲ, ἐκ μὲν πολιτείας δημοκρατίαν· ἐκ δ' ὀλιγαρχίας, πολιτείαν ἢ δῆμον· κοινὸν δὲ καὶ ἐν δήμῳ καὶ ὀλιγαρχίᾳ καὶ πάσῃ πολιτείᾳ, μὴ τὰ ὑξάνειν λίαν μηθένα παρὰ τὴν συμμετρίαν· ἀλλὰ μᾶλλον πειρᾶσθαι μικρὰς καὶ πολυχρονίους διδόναι τιμάς· ἢ ταχὺ μεγάλας διαφθείρονται γὰρ· καὶ φέρειν ὑπὸ πάντος ἀνδρὸς εὐτυχίαν· εἰ δὲ μὴ, μήτοι γ' ἀθρόας δόντας, ἀφαιρεῖσθαι πάλιν ἀθρόας· ἀλλ' ἐκ προσαγωγῆς μά-

λιστα μὲν πειρᾶσθαι τοῖς νόμοις· οὕτως ἄγειν, ὥστε μηθένα
ἐγγίγνεσθαι πολὺ ὑπερέχοντα δυνάμει μήτε φίλων μήτε χρη-
μάτων· εἰ δὲ μὴ, ἀποδημητικὰς τοιεῖσθαι τὰς πρᾶς στάσεις αὐτῶν·
ἐπεὶ δὲ, καὶ διὰ τοὺς ἰδίους βίους νεωτερίζουσι, δεῖ ἐμποιεῖν
ἀρχήν τινα τὴν ἐποψομένην τοὺς ζῶντας ἀσυμφόρως πρὸς
τὴν πολιτείαν· ἐν μὲν δημοκρατίᾳ, πρὸς τὴν δημοκρατίαν·
ἐν δὲ ὀλιγαρχίᾳ· πρὸς τὴν ὀλιγαρχίαν· ὁμοίως δὲ καὶ τῶν ἄλ-
κων πολιτειῶν ἑκάστη· καὶ τὸ εὐημεροῦν δὲ τῆς πόλεως ἀνὰ
μέρος φυλάττεσθαι διὰ τὰς αὐτὰς αἰτίας· τούτου δ' ἄκος τὸ
αἰεὶ τοῖς ἀντικειμένοις μορίοις ἐγχειρίζειν τὰς πράξεις καὶ
τὰς ἀρχάς· λέγω δ' ἀντικεῖσθαι τοὺς ἐπιεικεῖς τῷ πλήθει· καὶ
τοὺς ἀπόρους τοῖς εὐπόροις· καὶ τὸ πειρᾶσθαι ἢ συμμιγνύναι
τὸ τῶν ἀπόρων πλῆθος· καὶ τὸ τῶν εὐπόρων ἢ τὸ μέσον αὔξειν· τοῦτο
γὰρ διαλύει τὰς διὰ τὴν ἀνισότητα στάσεις· μέγιστον δὲ ἐν πάσῃ
πολιτείᾳ, τὸ καὶ τοῖς νόμοις καὶ τῇ ἄλλῃ οἰκονομίᾳ, οὕτω τε-
τάχθαι, ὥστε μὴ εἶναι τὰς ἀρχὰς κερδαίνειν· τοῦτο δὲ μάλιστα
ἐν ταῖς ὀλιγαρχικαῖς δεῖ τηρεῖν· οὐ γὰρ οὕτως ἀγανακτοῦσιν
εἰργόμενοι τῶν ἄρχειν οἱ πολλοί· ἀλλὰ καὶ χαίρουσιν ἐάντες ἐᾷ
πρὸς τοῖς ἰδίοις σχολάζειν· ὡς ἐὰν οἴωνται τὰ κοινὰ κλέπτειν
τοὺς ἄρχοντας· τότε δ' ἀμφότερα λυπεῖ· τό, τε τῶν τιμῶν μὴ
μετέχειν, καὶ τὸ τῶν κερδῶν· μοναχῶς δὲ καὶ ἐνδέχεται ἅμα
εἶναι δημοκρατίαν καὶ ἀριστοκρατίαν, εἰ τοῦτο κατασκευάσει
ἔτις· ἐνδέχοιτο γὰρ ἂν καὶ τοὺς γνωρίμους καὶ τὸ πλῆθος ἔχειν, ἃ
βούλονται ἀμφοτέρους· τὸ μὲν δὲ ἐξεῖναι πᾶσιν ἄρχειν, δημοκρα-
τικόν· τὸ δὲ τοὺς γνωρίμους εἶναι ἐν ταῖς ἀρχαῖς, ἀριστοκρα-
τικόν· τοῦτο δ' ἔσται· ὅταν μὴ ἦν κερδαίνειν ἀπὸ τῶν ἀρχῶν· οἱ γὰρ
ἄποροι, οὐβουλήσονται ἄρχειν τῷ μηδὲν κερδαίνειν, ἀλλὰ πρὸς
τοῖς ἰδίοις εἶναι μᾶλλον· οἱ δὲ εὔποροι, δυνήσονται διὰ τὸ μη-
δενὸς πρὸς δεῖσθαι τῶν κοινῶν· ὥστε συμβήσεται τοῖς μὲν ἀπό-
ροις γίνεσθαι εὐπόροις, διὰ τὸ διατρίβειν πρὸς τοῖς ἔργοις· τοῖς

δὲ

δὲ γνωρίμοις μὴ ἀρχαῖς ὑπὸ τ̃ τυχόντων· τὸ μὲν ὃν μὴ κλέπτειν τὰ κοινά, ἢ παράδοσις ἐγγυᾶσθαι τ̃ χρημάτων, παρόντων πάντων τ̃ πολιτῶν· καὶ ἀντιγραφὰς τὰς φανερίας ἢ λόχους ἢ φυλακὰς τιθέσθαι τὸν ἢ ἀκέρδως ἄρχειν, τιμὰς εἶναι δεῖ μενομοθετημένας τοῖς σώφροσι μοῦσι· δεῖ δ' ἐν μὲν ταῖς δημοκρατίαις τ̃ ὀλίγων φείδεσθαι, μὴ μόνον τὰς κτήσεις μὴ πριεῖν αὐξανούσας, ἀλλὰ μὴ δὲ τοὺς καρπούς· ὀλιγαρχίας τ̃ πολιτειῶν, λαμβάνειν γιγνόμενον· βέλτιον δὲ ἢ βουλομένους σκολύειν λαμβάνειν λειτουργεῖν τὰς δαπανηρὰς μὲν, μὴ χρησίμους δὲ, λειτουργίας, οἷον χορηγίας καὶ λαμπαδαρχίας καὶ ὅσαι ἄλλαι τοιαῦται· ἐν δ' ὀλιγαρχίᾳ τ̃ ἀπόρων ὠφελεῖσθαι πρείττω μᾶλλον· καὶ τὰς ἀρχὰς ἀφ' ὧν λήμματα τούτοις ἀπρεπέμφ· καὶ πάντως ὑβρίσθη τ̃ ὀλίγων, εἰς τοῦτο μείζω τὰ ὠφελήματα εἶναι, ἢ αὐ σφῶν αὐτῶν· καὶ τὰς κληρονομίας, μὴ ἐξ ἑνὸς εἶναι, ἀλλὰ ἐξ ὑμοῦ· μὴ ἢ πλείονων ἢ μιᾶς τὸν αὐτὸν κληρονομεῖν, οὕτω γὰρ ἂν ὁμαλώτεραι αἱ οὐσίαι εἶεν· ἢ τ̃ ἀπόρων εἰς εὐπορίαν ἂν καθίστασθαι τὸ πλείστος· συμφέρει δὲ καὶ ἐν δημοκρατίᾳ καὶ ἐν ὀλιγαρχίᾳ, τ̃ ἄλλων, ἢ ἰσότητα, ἢ προεδρίαν νέμειν τοῖς ἥττοσι μετέχουσι πολιτείας· ἐν μὲν δήμῳ, τοῖς εὐπόροις, ἐν δ' ὀλιγαρχίᾳ, τοῖς ἀπόροις· πλείω ὅσαι ἀρχαὶ κύριαι τ̃ πολιτείας· ταύτας δὲ τοῖς ἐκ τ̃ πολιτείας ἐγχωρεῖν μόνοις ἢ πλείοσι· τρία δέ τινα χρὴ ἔχειν, τοὺς μέλλοντας ἄρξειν τὰς κυρίας ἀρχάς· πρῶτον μὲν, φιλίαν πρὸς τὴν καθεστῶσαν πολιτείαν· ἔπειτα δυνάμιν μεγίστην τ̃ ἔργων τ̃ ἀρχῆς· τρίτον δ' ἀρετὴν καὶ δικαιοσύνην ἐν ἑκάστῃ πολιτείᾳ, τὴν πρὸς τὴν τ̃ πολιτείαν· εἰ γὰρ μὴ ταὐτὸν τὸ δίκαιον κατὰ πάσας τὰς πολιτείας, ἀνάγκη καὶ τ̃ δικαιοσύνης εἶναι διαφοράς· ἔχει δ' ἀπορίαν ὅταν μὴ συμβαίνῃ ταῦτα πάντα περὶ τὸν αὐτὸν, πῶς χρὴ ποιεῖσθαι τὴν αἵρεσιν· οἷον, εἰ στρατηγικὸς μὲν τις εἴη, πονηρὸς δὲ, καὶ μὴ τῇ πολιτείᾳ φίλος· ὁ δὲ, δίκαιος καὶ φίλος πῶς

δεῖ ποιεῖσθαι τὴν αἵρεσιν· ἔοικε δὲ δεῖν βλέπειν εἰς δύο· τίνος πλεῖον μετέχουσι πάντες· ἢ τίνος ἔλαττον· δὸ ἐν τραγικῇ μὲν, εἰς τὴν ἐμπειρίαν μᾶλλον φ ἀρετῆς· ἔλαττον γὰρ τραγῳδίας μετέχουσι· φ δ' ἐπῳδικῆς πλεῖον· ἐν δὲ φυλακῇ καὶ ταμιείᾳ, τὰναντία· πλείονος γὰρ ἀρετῆς δεῖται ἢ ὅσην οἱ πολλοὶ ἔχουσιν· ἡ δὲ ὠνητικὴ μιμητικὴ πᾶσιν· ἀπορήσειε δ' ἄν τις καὶ δύναμιν ὑφ' ἁρχὴν φ πολιτείας ἑκάστης, τί δεῖ τῆς ἀρετῆς· πρῶτον γὰρ τὰ συμφέροντα κ' δύο· ἢ ὅτι ἐνδέχεται τοὺς τὰ δύο ταῦτα ἔχοντας, ἀκρατεῖς εἶναι· ὥστε καθάπερ καὶ αὐτοῖς ἀχώστη ρε τοῦσιν εἰσὶ τινες ἑ φιλόνικοι αὐτοὺς, ὅτων πρὸς τὸ κοινὸν οὐθὲν κωλύει ἔχειν χρήσιμος· ἁπλῶς δὲ ὅσα ἐν τοῖς νόμοις, ὡς συμφέροντα λέγομεν ταῖς πολιτείαις, ἅπαντα ταῦτα σώζει τὰς πολιτείας· καὶ ὁ πολλάκις εἰρημένος μέγιστος στοιχεῖον τὸ τηρεῖν ὅπως κρεῖττον ἔσται τὸ βουλόμενον τὴν πολιτείαν πλῆθος τοῦ μὴ βουλομένου· παρὰ πάντα δὲ ταῦτα δεῖ μὴ λανθάνειν ὃν νῦν λανθάνει τὰς παρεκβεβηκυίας πολιτείας τὸ μέσον· πολλὰ γὰρ τῶν δοκούντων δημοτικῶν, λύει τὰς δημοκρατίας· καὶ τῶν ὀλιγαρχικῶν τὰς ὀλιγαρχίας· οἱ δ' οἰόμενοι ταύτην εἶναι μίαν ἀρετὴν ἐλκύσαντες εἰς τὴν ὑπερβολήν· ἀγνοοῦντες ὅτι καθάπερ εἶς ὅτι παρεκβεβηκὼς μὲ τὴν ῥυθμὸν τὴν καλλίστην, πρὸς τὸ γλυκὺν ἢ τὸ σιμὸν, ἀλλ' ὅμως ἔτι καλὴν ἀχαλὴν ἔχουσα πρὸς τὴν ὄψιν· δῆλον, ἀλλ' ἐὰν ὠὶ τείνῃ τις ἔτι μᾶλλον εἰς τὴν ὑπερβολήν, πρῶτον μὲν ἀπροβάλῃ τὴν μετριότητα· τὰ μορίᾳ· τέλος δ' ὥστε ὡς τε μηδεμίαν ποιήσει φαίνεσθαι, διὰ τὴν ὑπεροχὴν τὴν ἐλλιψιν τ' ἐναντίων· τὸν αὐτὸν δὲ τρόπον ἔχει καὶ περὶ τ' ἄλλων μορίων· συμβαίνει δὴ τοῦτο καὶ περὶ τὰς ἄλλας πολιτείας· ἢ ὀλιγαρχίαν ἢ δημοκρατίαν ὄντιν, ὥστ' ἴσχειν ἱκανῶς, καὶ περιῳξησκυίας φ βελτίσης τάξεως· ἐὰν δέ τις ὠὶ τείνῃ μᾶλλ' ἑκατέραν αὐτῶν, πρῶτον μὲν χείρω ποιήσει τὴν πολιτείαν· τέλος δ' ὀδὲ πολιτείαν·

πὸ

διὸ δεῖ τοῦτο μὴ ἀγνοεῖν τὸν νομοθέτην ϛ τὸν πολιτικὸν ποῖα σώζει τὸν δημοτικόν· καὶ ποῖα φθείρει τὴν δημοκρατίαν· καὶ ποῖα τῶν ὀλιγαρχικῶν τὴν ὀλιγαρχίαν· οὐδετέραν μὲν γὰρ ἐνδέχεται αὐτῶν εἶναι καὶ διαμένειν ἄνευ τῶν εὐπόρων, ϛ τοῦ πλήθους· ἀλλ' ὅταν ὁμαλότης γένηται τῆς οὐσίας, ἄλλην ἀνάγκη εἶναι ταύτην τὴν πολιτείαν· ὥστε φθείροντες τοὺς καθ' ὑπεροχὴν νόμους, φθείρουσι τὰς πολιτείας· ἁμαρτάνουσι δὲ ϛ ἐν ταῖς δημοκρατίαις, καὶ ἐν ταῖς ὀλιγαρχίαις· ἐν μὲν ταῖς δημοκρατίαις οἱ δημαγωγοὶ ὅπου τὸ πλῆθος κύριον τῶν νόμων· δύο γὰρ ποιοῦσιν ἀεὶ τὴν πόλιν μαχόμενοι τοῖς εὐπόροις· δεῖ δὲ τοὐναντίον, αἰεὶ δοκεῖν λέγειν ὑπὲρ εὐπόρων· ἐν δὲ ταῖς ὀλιγαρχίαις, ὑπὲρ τοῦ δήμου τοὺς ὀλιγαρχικούς· καὶ τοὺς ὅρκους ἐναντίους ἢ νῦν ὀμνύναι τοὺς ὀλιγαρχικούς· νῦν μὲν γὰρ ἐν ἐνίαις ὀμνύουσι· καὶ τῷ δήμῳ κακόνους ἔσομαι· καὶ βουλεύσω ὅτι ἂν ἔχω κακόν· χρὴ δὲ καὶ ὑπολαμβάνειν καὶ ὑποκρίνεσθαι τοὐναντίον· ὑπὸ σημαινομένους ἐν τοῖς ὅρκοις, ὅτι οὐκ ἀδικήσω τὸν δῆμον· μέγιστον δὲ πάντων τῶν εἰρημένων πρὸς τὸ διαμένειν τὰς πολιτείας, οὗ νῦν ὀλιγωροῦσι πάντες, τὸ παιδεύεσθαι πρὸς τὰς πολιτείας· ὄφελος γὰρ οὐθὲν τῶν ὠφελιμωτάτων νόμων, καὶ συνδεδοξασμένων ὑπὸ πάντων τῶν πολιτευομένων, εἰ μὴ ἔσονται εἰθισμένοι καὶ πεπαιδευμένοι ἐν τῇ πολιτείᾳ· εἰ μὲν οἱ νόμοι δημοτικοὶ, δημοτικῶς· οἱ δ' ὀλιγαρχικοὶ, ὀλιγαρχικῶς· εἴπερ γὰρ ἔστιν ἐφ' ἑνὸς ἀκρασία, ἔστι ϛ ἐπὶ πόλεως· ἔστι δὲ τὸ πεπαιδεῦσθαι πρὸς τὴν πολιτείαν, οὐ τοῦτο τὸ ποιεῖν οἷς χαίρουσιν οἱ ὀλιγαρχοῦντες, ἢ οἱ δημοκρατίαν βουλόμενοι· ἀλλ' οἷς δυνήσονται· οἱ μὲν, ὀλιγαρχεῖν· οἱ δὲ, δημοκρατεῖσθαι· νῦν δ' ἐν μὲν ταῖς ὀλιγαρχίαις οἱ τῶν ἀρχόντων ἡ οἱ τρυφῶσιν· οἱ δὲ τῶν ἀπόρων γίγνονται γεγυμνασμένοι καὶ πεπονηκότες· ὥστε καὶ βούλονται μᾶλλον, καὶ δύνανται νεωτερίζειν· ἐν δὲ ταῖς δημοκρα

τίαις ταῖς μάλιστα εἶναι δοκούσαις δημοκρατικαῖς, τὸ ἐναν-
τίον τοῦ συμφέροντος καθέστηκεν· αἴτιον δὲ τούτου, ὅτι κα-
κῶς ὁρίζονται τὸ ἐλεύθερον· δύο γὰρ ἐστὶν οἷς ἡ δημοκρατία δοκεῖ
ὡρίσθαι, τῷ τὸ πλεῖον εἶναι κύριον· καὶ τῇ ἐλευθερίᾳ· τὸ μὲν δὲ
δίκαιον, ἴσον δοκεῖ εἶναι· ἴσον δ' ὅτι ἂν δόξῃ τῷ πλήθει τοῦτ'
εἶναι κύριον· ἐλεύθερον δὲ καὶ ἴσον τὸ ὅτι ἂν βούληταί τις τοιεῖν
ὥστε ζῆν ἐν ταῖς τοιαύταις δημοκρατίαις ἕκαστος ὡς βού-
λεται, καὶ εἰς ὃ χρήζων, ὥς φησιν εὐριπίδης· τοῦτο δ' ἐστὶ φαῦλον·
οὐ γὰρ δεῖ οἴεσθαι δουλείαν εἶναι τὸ ζῆν πρὸς τὴν πολιτείαν,
ἀλλὰ σωτηρίαν· ἐξῶν μὲν οὖν αἱ πολιτεῖαι μεταβάλλουσι καὶ
φθείρονται, καὶ διὰ τίνων σώζονται καὶ διαμένουσιν, ὡς ἁπλῶς
εἰπεῖν, τοσαῦτά ἐστι· λείπεται δ' ἐπελθεῖν καὶ περὶ μοναρχίας
ἐξῶν τε φθείρεται, καὶ δι' ὧν σώζεσθαι πέφυκε· σχεδὸν δὲ παρα-
πλήσια τοῖς εἰρημένοις περὶ τὰς πολιτείας ἐστὶ, καὶ τὰ συμ-
βαίνοντα περὶ τὰς βασιλείας, καὶ τὰς τυραννίδας· ἡ μὲν γὰρ
βασιλεία, κατὰ τὴν ἀριστοκρατίαν ἐστίν· ἡ δὲ τυραννὶς, ἐξ ὀ-
λιγαρχίας τῆς ὑστάτης σύγκειται, καὶ δημοκρατίας· διὸ δὴ
καὶ βλαβερωτάτη τοῖς ἀρχομένοις ἐστίν· ἅτε ἐκ δυοῖν συγκει-
μένη κακῶν· καὶ τὰς παρεκβάσεις καὶ τὰς ἁμαρτίας ἔχουσα
τὰς παρ' ἀμφοτέρων τῶν πολιτειῶν· ὑπάρχει δ' ἡγεύεσις εὐθὺς
ἐξ ἐναντίων, ἑκατέρᾳ τῶν μοναρχιῶν· ἡ μὲν γὰρ βασιλεία,
πρὸς βοήθειαν τὴν ἀπὸ τοῦ δήμου τοῖς ὠλιγικέσι γέγονε· καὶ κα-
θίσταται βασιλεὺς ἐκ τῶν ἐπιεικῶν καθυπεροχὴν ἀρετῆς ἢ
πράξεων τῶν ἀπὸ τῆς ἀρετῆς· ἢ καθυπεροχὴν τοιούτου γένους·
ὁ δὲ τύραννος ἐκ τοῦ δήμου καὶ τοῦ πλήθους ἐπὶ τοὺς γνωρί-
μους· ὅπως ὁ δῆμος ἀδικῆται μηθὲν ὑπ' αὐτῶν· φανερὸν δ' ἐκ
τῶν συμβεβηκότων· σχεδὸν γὰρ οἱ πλεῖστοι τῶν τυράννων γεγόνα-
σιν ἐκ δημαγωγῶν, ὡς εἰπεῖν, πιστευθέντες ἐκ τοῦ διαβάλλειν
τοὺς γνωρίμους· αἱ μὲν γὰρ τοῦτον τὸν τρόπον κατέστησαν τῶν

τυραννίδων

τυραννίδων, ἡ δὴ τῶν πόλεων ἠυξημένων· αἱ δὲ πρὸ τούτων, ἐκ τετῶν βασιλέων παρεκβαινόντων τὰ πάτρια· καὶ δεσποτικωτέρας ἀρχῆς ὀρεγομένων· αἱ δὲ ἐκ τῶν αἱρετῶν ἐπὶ τὰς κυρίας ἀρχάς· τὸ γὰρ ἀρχαῖον οἱ δῆμοι καθίστασαν πολυχρονίους τὰς δημιουργίας, καὶ τὰς θεωρίας· αἱ δ' ἐκ τῶν ὀλιγαρχιῶν αἱρουμένων ἕνα τινὰ κύριον ἐπὶ τὰς μεγίστας ἀρχάς· πᾶσι γὰρ ὑπῆρχε τοῖς τρόποις τούτοις τὸ κατεργάζεσθαι ῥᾳδίως εἰμόνον βουληθεῖεν διὰ τὸ δύναμιν προὔπάρχειν· τοῖς μὲν, βασιλικῆς ἀρχῆς· τοῖς δὲ, τὴν τῶν τιμῆς· οἷον, φείδων μὲν περὶ ἄργος· καὶ ἕτεροι τύραννοι κατέστησαν βασιλείας ὑπαρχούσης· οἱ δὲ περὶ τὴν ἰωνίαν καὶ φάλαρις, ἐκ τῶν τιμῶν· παναίτιος δὲ ἐν λεοντίνοις· καὶ κύψελος ἐν κορίνθῳ· καὶ πεισίστρατος, ἀθήνησι· καὶ διονύσιος ἐν συρακούσαις· καὶ ἕτεροι τὸν αὐτὸν τρόπον ἐκ δημαγωγίας· καθάπερ οὖν εἴπομεν ἡ βασιλεία τέτακται κατὰ τὴν ἀριστοκρατίαν· κατὰ ξίαν γὰρ ἐστιν, ἢ κατ' ἰδίαν ἀρετήν· ἢ κατὰ γένους· ἢ κατ' εὐεργεσίας· ἢ κατὰ ταῦτά τε καὶ δύναμιν· ἅπαντες γὰρ εὐεργετήσαντες, ἢ δυνάμενοι τὰς πόλεις, ἢ τὰ ἔθνη εὐεργετεῖν, ἐτύγχανον τῶν τιμῆς ταύτης· οἱ μὲν, κατὰ πόλεμον κωλύσαντες δουλεύειν, ὥσπερ κόδρος· οἱ δ' ἐλευθερώσαντες ὥσπερ κύρος· ἢ κτίσαντες, ἢ κτησάμενοι χώραν, ὥσπερ οἱ λακεδαιμονίων βασιλεῖς· καὶ μακεδόνων καὶ μολοττῶν· βούλεται δ' ὁ βασιλεὺς εἶναι φύλαξ· ὅπως οἱ μὲν κεκτημένοι τὰς οὐσίας μηθὲν ἄδικον πάσχωσιν· ὁ δὲ δῆμος μὴ ὑβρίζηται μηθέν, ἡ δὲ τυραννὶς ὥσπερ εἴρηται πολλάκις, πρὸς οὐδὲν ἀποβλέπει κοινόν· εἰμήτις ἰδίας ὠφελείας χάριν· ἔστι δὲ σκοπὸς τυραννικὸς μὲν, τὸ ἡδύ· βασιλικὸς δὲ, τὸ καλόν· διὸ καὶ τῶν πλεονεκτημάτων· τὰ μὲν χρήματα τυραννικά· τὰ δ' εἰς τιμὴν, βασιλικὰ μᾶλλον· καὶ φυλακὴ βασιλικὴ μὲν, πολιτική· τυραννικὴ δὲ, διὰ ξένων· ὅτι δ' ἡ τυραννὶς ἔχει κακά· καὶ τὰ τῶν

δημοκρατίας, καὶ φιλ ὀλιγαρχίας. Φανερὸν. ἐκ μὲν ὀλιγαρχίας, τῷ τὸ τέλος εἶναι πλοῦτον· οὕτω γὰρ καὶ διαμένουσιν ἀναγκαῖον μόνους, τοὺς τὰ φυλακὴν, καὶ τοὺς τροφὴν· καὶ τὸ πολὺ πλήθος μηδὲν πιστεύειν· διὸ ἐὰν τοὺς παραίρεσιν ποιῶσι τοὺς ὅπλων· καὶ τὸ κακοῦν τὸν ὄχλον· καὶ τὸ ἐκτὸς ἄστεως ἀπελαύνειν καὶ διοικίζειν, ἀμφοτέρων κοινόν· ἡ φιλ ὀλιγαρχίας· καὶ φιλ τυραννίδος. ἐκ δημοκρατίας δὲ, τὸ πλεῖστον χρείαις ἐπιμένειν καὶ διαφθείρειν λάθρα· καὶ φανερῶς· καὶ φυγαδεύειν ὡς ἀντιτίχους· ἢ πρὸς τὴν ἀρχὴν ἐμποδίους· ἐκ γὰρ τούτων συμβαίνει γίνεσθαι καὶ τὰς ἐπιβουλάς. τῶν μὲν ἄρχειν αὐτῶν βουλομένων· τὸ δὲ μὴ δουλεύειν· ὅθεν ἡ τοῦ ἀνδρὸς πρόσθεσις, συμβούλου μᾶλλόν ἐστιν, ἢ τοῦ ὑπερέχοντος τῶν σαχόντων κόλουσις· ὡς δεῖ ἀεὶ τοὺς ὑπερέχοντας τῶν πολιτῶν αἱρεῖν· καθάπερ οὖν ἐλέχθη, τοὺς αὐτοὺς ἀρχὰς δεῖ νομίζειν εἶναι τῶν μεταβολῶν ἡ περὶ τὰς μοναρχίας· διότι γὰρ ἀδικίαν, ἢ διὰ φόβον ἢ διὰ καταφρόνησιν, ὑπέθηκαν οἱ πολλοὶ τῶν ἀρχομένων τοῖς μοναρχίαις· ἡ δὲ ἀδικίας μάλιστα δι' ὕβριν ἐνίοτε δὲ καὶ διὰ τὴν τῶν ἰδίων στέρησιν· ὅτι δὲ καὶ τὸ τέλος τοῦτο καθάπερ καὶ ἐκεῖ· ἡ περὶ τὰς τυραννίδας καὶ τὰς βασιλείας· μέγεθος γὰρ ὑπάρχει πλούτου καὶ τιμῆς τοῖς μοναρχοῦσιν, ὧν ἐφίενται πάντες· τῶν δ' ἐπιθέσεων, αἱ μὲν, ἐπὶ τὸ σῶμα γίνονται τοῦ ἀρχοντος· αἱ δ' ἐπὶ τὴν ἀρχήν· αἱ μὲν δὴ ὕβρεως οὔσης πολυμεροῦς, ἕκαστον αὐτῶν αἴτιον γίνεται φιλ ὀργῆς· τῶν δ' ὀρεγομένων χρήσιμοι οἱ πολέμιοι τιμωρίας χάριν ἐπιτίθενται· ἀλλ' οὐχ ὑπερόχως· οἷον, ἡ μὲν τοῦ πεισιστρατιδῶν διὰ τὸ προσηλακίσαι μὲν τὸν ἁρμόδιον ἀδελφὸν ἐπιχειρῆσαι δ' ἁρμόδιον· ὁμοίως δὲ ἁρμόδιος διὰ τὸν ἀδελφιδοῦν· ὃν ἤγαγε σογείτων· διὰτὸν ἁρμόδιον· ἐπιβάλλουσαν ἡ περιανδρου τῷ ἐν ἀμβρακίᾳ τυραννοῦντι διὰ τὸ συμπίνοντα μετὰ

τῶν παιδικῶν, ἐρωτηθεὶς αὐτὸν εἰ ἤδη ἐξαὐτοῦ κύει. ἡδέως ὁμιλεῖ σου ὑπὸ παντὸς δὲ τὸ ἐᾶσαι ὑβρισθῆναι αὐτὸν, ὑπὸ τῶν περὶ Ἄτταλον, καὶ ἡ ἁμαρτία τοῦτο μικροῦ ὑπὸ δέρδα δι' ὃ καὶ χρήσασθαι εἰς τὴν ἡλικίαν αὐτοῦ. καὶ ἡ τοῦ βίου ἀγόρασις τῷ κυρίῳ. διὰ γὰρ τὸ τὴν γυναῖκα παρελέσθαι τὸν υἱὸν αὐτοῦ ἀπέκτεινεν ὡς ὑβρισμένος. πολλαὶ δ' εἰσὶ θέσεις γεγένηται. καὶ διὰ τὸ εἰς τὸ σῶμα αἰσχύνεσθαι τῶν μοναρχούντων τινάς. οἷον, καὶ ἡ Περδίκκου εἰς Ἀρχέλαον. αἰεὶ γὰρ βαρέως εἶχε πρὸς τὴν ὁμιλίαν. ὡς τι ἱκανὴ καὶ ἐλάττων ἐγκλήματος πρόφασις. ἢ δι' ὅτι τῶν θυγατέρων οὐδεμίαν ἔδωκεν ὁμολογήσας αὐτῷ. ἀλλὰ τὴν μὲν πρεσβυτέραν, καταχόμενος ὑπὸ πολέμου πρὸς Ἰλλυριούς, καὶ ἀρραβὼν, ἔδωκε τῷ βασιλεῖ τῷ Ἐλιμειώτου. τὴν δὲ νεωτέραν τῷ ἑαυτοῦ υἱῷ. οἰόμενος οὕτως ἂν ἐκεῖνον ἧττον ἀφίστασθαι. καὶ τὸν ἐκβαλὼν ἀρχὴν. τὸ βαρέως φέρειν πρὸς τὴν ἀφροδισιαστικὴν χάριν. σημεῖον δὲ τὸ καὶ ἐλθόντος ὁλκάδος ἐξ Αἰγίνης διὰ τὴν αὐτὴν αἰτίαν. ὡς γὰρ χωλὸς αὐτοῦ τὴν ἡλικίαν, οὐκ ἀτιμάζων ὑποχόμενος. δὲ ὑβρισμένος ἐρωτικὴν ὑπεθυμίαν φέρειν τὴν μεγαλομανῆ ὁμιλίαν. πάρων δὲ καὶ Ἡρακλεῖδης οἱ Ἀργεῖοι, κότυν διέφθειραν τὸν παῖδα τῶν μωρῶντες. ἀδάμας δ' ἀπὸ Ζακύνθου, διὰ τὸ ἐκμαθεῖν παρ' αὐτοῦ τὴν ὑβρισμένος. πολλοὶ δὲ καὶ διὰ τὸ εἰς τὸ σῶμα αἰκισθῆναι πλησίον ὀργισθέντες. οἱ μὲν, διέφθειραν. οἱ δὲ, ἐπεχείρησαν ὡς ὑβρισθέντες. καὶ τῶν περὶ τὰς ἀρχὰς καὶ βασιλικὰς δυναστείας. οἷον, ὁ Μιτυλήνης τοὺς περὶ Πελλίδας μεταπεμψάμενος περὶ τὸν πόλεμον τὸν πρὸς τοὺς Κορυναίους, ἐπεθύμησε μετὰ τῶν φίλων αὐτοῦ λαβεῖν ὕστερον ἡμέρᾳ περὶ τὴν πλησίον λαβὼν καὶ τὰς γυναῖκας ἐξελκυσθείς. διέφθειρε. καὶ ὁ Ἀρχελάου δὲ ὑπὸ Κρατέως δικάμενος ἡμῶν

ἐγκύε το παροξύνων τοὺς ἐπιθυμοῦντας πρῶτος αἴτιον δὲ φοβεῖσθαι ὅτι αὐτὸν ἐξέδωκε μαστιγῶσαι ὑπερηφάνῳ τῷ πρώτῃ. ὀργῇ ὑπερηφάνως ἐχαλέπαινεν εἰπόντος τί αὐτῷ εἰς δυσωλίαν τοῦ σώματος· καὶ ἄλλοι δὲ πολλοὶ διὰ τοιαύτης αἰτίας. οἱ μὲν ἀνῃρέθησαν· οἱ δ' ἐπεβουλεύθησαν· ὁμοίως δὲ καὶ διαφόβου· ἐν γάρ τι τοῦ τῶν αἰτιῶν ἐστιν, ὥσπερ καὶ περὶ τὰς πολιτείας καὶ τὰς μοναρχίας· οἷον ξέρξης ἀρταπάνης φοβούμενος τὴν διαβολὴν τὴν περὶ Δαρεῖον ὅτι εἰκῇ μάσιν οὐκ ἐλθόντος ξέρξου· ἀλλ' ὑπὸ μὴ δοσυγνώσεσθαι ὡς ἀμνημονοῦντα διὰ τὸ δεῖπνον· αἰδὲ διὰ καταφρόνησιν· ὥστε σαρδαναπάλλος ἰδὼν τὶς ξαίνοντα μετὰ τῶν γυναικῶν, εἰ ἀληθῆ ταῦτα οἱ μυθολογοῦντες λέγουσιν· εἰδὲ μὴ ἐπιχείρου, ἀλλ' ἐπάλουν αὐ γένοιτο ἀληθές· καὶ δορυσθένη τὸν ὕστερον δίωνι πεῖθεσθαι διὰ τὸ καταφρονεῖν· ὁρῶν τοὺς τυραννοῦντας οὕτως ἔχοντας· καὶ αὐτὸν ἀεὶ μεθύοντα· καὶ τῶν φίλων δέ τινες ἐπιτίθενται διὰ καταφρόνησιν· διὰ γὰρ τὸ πιστεύεσθαι, καταφρονοῦσιν ὡς λήσοντες· καὶ οἱ οἰόμενοι δύνασθαι καταρχεῖν τὴν ἀρχήν, τρόπον τινὰ διὰ τὸ καταφρονεῖν ἐπιτίθενται· ὡς δυνάμενοι γὰρ καὶ καταφρονοῦντες τοῦ κινδύνου διὰ τὴν δύναμιν, ἐπιχειροῦσιν ἐλάττω ὡς ὥσπερ οἱ στρατηγοῦντες τῶν μοναρχῶν οἷον κῦρος ἀσυάγη· καὶ τοὺς βίου καταφρονῶν καὶ φρονήσεως δυνάμεως. διὰ τὸ τὴν μὲν δύναμιν ἐξηρτῆσθαι, αὐτὸν δὲ τυφλὸν· καὶ σεύθης ὁ θρᾴξ ἀμαδόκῳ στρατηγὸς ὤν· οἱ δὲ καὶ διὰ πλείω φύτων ἐπιτίθενται· οἷον καὶ καταφρονοῦντες· καὶ διὰ κέρδος· ὥσπερ ἀριοβαρζάνη μιθριδάτης· μάλιστα δὲ διὰ ταύτην τὴν αἰτίαν ἐγχειροῦσιν οἱ τὴν φύσιν μὲν θρασεῖς· τιμὴν δ' ἔχοντες πολεμικὴν παρὰ τοῖς μοναρχοῖς· αἱ δρία γὰρ δύναμιν ἔχουσι, θράσος δέ· διὰ δὲ ἀμφοτέρας ὡς ἔστιν ῥᾳδίως κρατήσοντες, πιστεύονται τὰς ἐπιθέσεις· τιμὴν δὲ φιλοτιμίαν ἐπι-

ἐπιθεμένων

τιθεμένων, ἕτερος τρόπος ἐστὶ φυλακῆς παρὰ τοὺς εἰρημένους πρότερον· ὁ γὰρ ὡς ὥσπερ φασί τοὺς τυράννους ὑπερχειροῦσιν, ὁρῶντες κέρδη τιμητέλα μὴ τιμᾶς μεγάλας ἅσας αὐτοῖς ὅταν δὲ διὰ φιλοτιμίαν ὑπὸ τιθεμένων ἕκαστος προαιρεῖται κινδυνεύειν· ἀλλ' ἐκεῖνοι μὲν, διὰ τὸ εἰρημένων αἰτίαν· ὅτοι δ' ὥσπερ καὶ ἄλλης τινὸς ὑπομονῆς πράξεως ἐπιπλῆς· καὶ διὰ τὸ ὀνομαστοὶ εἶναι καὶ ἐνδόξοι τοῖς ἄλλοις, οὕτω μὴ τοῖς μοναρχοις ἐπιχειροῦσιν, οὐκ τήσασθαι βουλόμενοι μοναρχίαν, ἀλλὰ δόξαν· οὐ μὴν ἀλλ' ἐλάχιστοί γε τὸν ἀριθμὸν εἰσιν· οἱ διὰ ταύτην τὴν αἰτίαν ὁρμῶντες· ὑπάρχειν γὰρ δεῖ τὸ τοὺς σωθῆναι μηδὲν φροντίζειν αὐτὸν μὴ μέλλειν καταλήσειν τὴν πρᾶξιν· οἷς ἀκολουθεῖν μὴ δεῖ τὴν δύναμιν ὑπολήψιν· ῥᾴδιον δ' αὐτὴν ἐγγενέσθαι πολλοῖς· ἐκεῖνος γὰρ μετ' ὀλίγων ἐπράττησεν ἐπὶ Διονυσίου οὕτως ἔχειν φάσκων, ὡς ὅπου πυρ αὐξήσεται προσελθεῖν, ἱκανὸν αὐτῷ τοσοῦτον μεταλαβεῖν φυλακῆς πράξεως· οἷον, εἰ μικρὸν ἐπιβαίνει φυλακῆς εὐθὺς συμβαίη τελευτῆσαι τὸν τύραννον, καλῶς ἔχειν αὐτῷ τὸν θάνατον· φθείρεται ἡ τυραννὶς, ἐὰν μὴ ξόπρον ὥσπερ ἔτ' ἄλλη ἐκ ἄσης πολιτειῶν ἐξωθεν· ἐὰν ἐναντία τις ἡ πολιτεία κρείττων· τὸ μὲν βέλεσθαι δῆλον ὡς ὑπάρξει διὰ τὴν ἐναντιότητα προαιρέσεως· οἱ δὲ βούλονται δι' ἀμφότερα, πράττουσι πάντες· ἐναντία δ' αἱ πολιτεῖαι· δῆμος μὲν τυραννὶς καθ' ἡσίοδον, ὡς κεραμεῖ κεραμεύς· καὶ γὰρ ἡ δημοκρατία, ἡ τελευταία, τυραννίς ἐστι· βασιλεία δὲ καὶ ἀριστοκρατία, διὰ τὴν ἐναντιότητα τῆς πολιτείας, διὸ λακεδαιμόνιοι πλείους κατέλυσαν τυραννίδας· καὶ συρακούσιοι κατὰ τὸν χρόνον, ὃν ἐπολιτεύοντο καλῶς· ἐπὶ δὲ ἀὐτοῦ, ὅταν οἱ μετέχοντες σαφῶς ἁζωσιν· ὥσπερ ἡ τῶν περὶ γέλωνα καὶ ἱππαρίνων περὶ διονύσιον· ἡ μὲν γέλωνος, θερασυβούλου τοῦ ἱέρωνος ἀδελφοῦ· τὸν νόμον τοῦ γέλωνος δημαγωγῶντος, καὶ πρὸς ἡδονὰς ὀρ-

μῶντος ἵνα αὐτὸς ἄρχῃ· τῶν δὲ οἰκείων συστησάντων, ἵνα μὴ τυ-
ραννὶς ὅλως καταλυθῇ, ἀλλὰ θρασύβουλος· οἱ δὲ συστάν-
τες αὐτῶν ὡς καιρὸν ἔχοντες ἐξέβαλον ἅπαντας αὐτούς·
διονύσιον δὲ δίων στρατεύσας κηδεστὴς ὢν καὶ προσλαβὼν
τὸν δῆμον ἐκεῖνον ἐκβαλὼν, διεφθάρη· δύο δὲ οὐσῶν αἰτιῶν
δι' ἃς μάλιστ' ἐπιτίθενται ταῖς τυραννίσι, μίσους καὶ κα-
ταφρονήσεως, θάτερον μὲν δεῖ τούτων ὑπάρχειν τοῖς τυ-
ράννοις, τὸ μῖσος· ἐκ δὲ τοῦ καταφρονεῖσθαι, πολλαὶ γίνον-
ται τῶν καταλύσεων· σημεῖον δὲ, τῶν μὲν γὰρ κτησαμένων
οἱ πλεῖστοι, καὶ διεφύλαξαν τὰς ἀρχάς· οἱ δὲ παραλαβόντες,
εὐθὺς ὡς εἰπεῖν, ἀπολλύασι πάντες· ἀπολαυστικῶς γὰρ ζῶν-
τες, εὐκαταφρόνητοί γε γίνονται· καὶ πολλοὺς καιροὺς παρα-
διδόασι τοῖς ἐπιτιθεμένοις· μόριον δέ τι τοῦ μίσους, καὶ τὴν
ὀργὴν δεῖ τιθέναι· τρόπον γάρ τινα τῶν αὐτῶν αἰτία γίνεται
πράξεων· πολλάκις δὲ καὶ πρακτικώτερον τοῦ μίσους·
συντονώτερον γὰρ ἐπιτίθενται διὰ τὸ μὴ χρῆσθαι λογισμῷ τὸ
πάθος· μάλιστα δὲ συμβαίνει τοῖς θυμοῖς ἀκολουθεῖν, διὰ
τὴν ὕβριν· δι' ἣν αἰτίαν, ἥ τε τῶν πεισιστρατιδῶν κατελύθη τυραν-
νίς· καὶ πολλαὶ τῶν ἄλλων· ἀλλὰ μᾶλλον τὸ μῖσος· ἡ μὲν γὰρ ὀργὴ
μετὰ λύπης πάρεστιν· ὥστε οὐράδιον λογίζεσθαι· ἡ δ' ἔχθρα,
ἄνευ λύπης· ὡς δὲ ἐνκεφαλαίοις εἰπεῖν ὅσας αἰτίας εἰρή-
κα μὲν τῶν τε ὀλιγαρχίας τῶν ἀκράτου καὶ τελευταίας, καὶ
τῶν δημοκρατίας τῶν ἐσχάτης, τοσαύτας καὶ τὰς τυραννί-
δος θετέον· καὶ γὰρ αὗται τυγχάνουσιν οὖσαι διαιρεταὶ τυραν-
νίδες· βασιλεία δ' ὑπὸ μὲν τῶν ἔξωθεν, ἥκιστα φθείρεται· διὸ
καὶ πολυχρόνιός ἐστιν, ἐξ αὐτῆς δ' αἱ πλεῖσται φθοραὶ συμβαί-
νουσι· φθείρεται δὲ κατὰ δύο τρόπους· ἕνα μὲν, στασιασάν-
των τῶν μετεχόντων τῶν βασιλείας· ἄλλον δὲ τρόπον τυραν-
νικώτερον πειρωμένων διοικεῖν, ὅταν εἶναι κύροι πλειό-

νων

μων ἀξιῶσι καὶ παρὰ τὸν νόμον· οὐ γίνονται δ' ἐπὶ βασιλείαις μὴν· ἀλλ' αὐτοκράτορες γίνωνται μοναρχίαι καὶ τυραννίδες μᾶλλον· διὰ τὸ τὴν βασιλείαν ἑκούσιον μὴ ἀρχὴν εἶναι· μείζονων δὲ κυρίαν· πολλοὺς δ' εἶναι τοὺς ὁμοίους· καὶ μηδένα διαφέρον τοσοῦτον· ὥστε ἀπαρτίζειν πρὸς τὸ μέγεθος τῆς ἀξιώματος τῆς ἀρχῆς· ὥστε διὰ μὴ τοῦτο, ἑκόντες οὐχ ὑπομένουσιν· ἂν δὲ διά τινος ἄρξῃ τις ἢ βίας, ἢ δι' εὐεργεσίαν τοῦτο εἶναι τυραννίς· ἢ δὲ ταῖς κατὰ γένος βασιλείαις, τιθέναι δεῖ φθορᾶς αἰτίαν πρὸς ταῖς εἰρημέναις, καὶ τὸ ὑπερέχειν πολλοὺς ὡς καταφρονήτους· καὶ τὸ δύναμιν μὴ κεκτημένους τυραννικὴν, ἀλλὰ βασιλικωτέραν· εὐβέλτιον· ἐξαίφνης δὲ ἐπιγενομένη κατάλυσις· μὴ βουλομένων γὰρ εὐθὺς οὐκέτι εἶναι βασιλείαν, ἀλλ' ὁτιοῦν τυραννος καὶ μὴ βουλομένων· φθείρονται μὲν οὖν αἱ μοναρχίαι, διὰ ταῦτα καὶ τοιαῦτας ἑτέρας αἰτίας· σώζονται δὲ δῆλον ὡς ἀπ' ὀλίγων μὲν εἰπεῖν ἐκ τῶν ἐναντίων· ὡς ἔστι καθ' ἕκαστον· τῷ τοὺς μὲν βασιλέας ἄγειν ἐπὶ τὸ μεσιώτερον, ὅσῳ δ' ἂν ἐλαττόνων ὦσι κύριοι, πλείω χρόνον ἀναγκαῖον μένειν τῷ ἀρχήν· αὐτοί τε γὰρ ἧττον ὑβριστικοὶ, καὶ τοῖς ἤθεσιν ἴσοι μᾶλλον· ἢ ὑπὸ τῶν ἀρχομένων φθονοῦνται ἧττον· διὰ δὲ τοῦτο καὶ πολὺν χρόνον βασιλεία διέμεινε· ἢ ὀλιγανδρίαι μοναρχίαι· τὸ μὴ χρῆσθαι τοῖς ἴσοις· διὰ δὲ τὸ ὑπάρχειν τισὶ δύο μέρη διαιρεθῆναι τὴν ἀρχήν· ἢ πάλιν θεραπεύσαντος τοῖς τε ἄλλοις, καὶ τῶν τὰ φορὰς ἀρχὴν ὑπὸ κατασκήσαντος· τῷ δῆλον ἐκ μέσου ἀφελὼν, ἢ ὑποστῆναι χρόνῳ τὴν βασιλείαν· ὥστε τρόπον τινὰ ἐπὶ μικρὸν ἐκ βασιλείας, αὖ ἐκ μείζονος αὖ τῶν· ὅσπερ καὶ πρὸς τὴν γυναῖκα ἀπεικάζουσιν αὐτήν· εἰ τοῦσαν εἰ μηδὲν αἰχμὴν τὴν βασιλείαν ἐλάττω ποιῆσαι δοῦναι τὰ ἥμισυ· ἢ ποιῆσαι τὸ πρῶτον παρέλαβεν, ὅθεν τε φάναι· παρασκευάζω μὴ πολυχρονιώτερον αἱ δὲ τυραννίδες σώζονται κατὰ δύο τρόπους τοὺς ἐναντιωτάτους· ὧν ὁ τέρος ἐστὶν, ὁ παραδοθεὶς μὲν καὶ ὑπὸ ἰδιωτῶν οἱ πλείστοι τὴν τυραννίδα τὴν ἀρχήν· τῶν δὲ τὰ πολλὰ φασὶ κατ-

τασῆσαι πειράσθαι τὸν κοσμοῦντα. πλὴν ὅ γε παρὰ φύσιν πρόσωπον ἀρχῆς ὅτι μάλιστα δεῖται. ὅτι δὲ τά, τε πάλαι λεχθέντα πρὸς σωτηρίαν ὡς οἷόν τε φυλάττειν μίσους τὸ τοὺς ὑπερέχοντας κολούειν μὴ τοῖς φρονήμασι πίστεως. ἔτι μήτε συσσίτια ἐᾶν, μήτε πανηγύρεις μήτε πανδημίαν. μήτε ἄλλο μηδὲν τοιοῦτον. ἀλλὰ φυλάττειν. ὅθεν εἰώθασι γίνεσθαι δύο, φρονήματά τε καὶ πίστις. καὶ μήτε σχολὰς. μήτε ἄλλας συλλόγους ἐπιτρέπειν γίνεσθαι σχολαστικάς. ἃ πάντα ποιεῖν, ἐξὸν ὅτι μάλιστα ἀγνῶτες ἀλλήλοις ἐπιτηδεύωσιν. ἡ γὰρ γνῶσις πίστιν ποιεῖ μᾶλλον πρὸς ἀλλήλους, ἃ δὲ τοὺς ἐπιδημοῦντας ἀεὶ φανερὸς εἶναι καὶ διαξίφει περὶ βύρσας. ὥστε γὰρ ἂν ἧκιστα λανθάνοιεν τὰ πραττόμενα. καὶ φρονεῖν ἂν ἐθίζοιντο μικρόν, αἰεὶ δουλεύοντες. καὶ τἆλλα ὅσα τοιοῦτα περιποιεῖ μὴ ἐᾶν βαρβαρικὰ τυραννικά ἐστι. πάντα δὲ ταὐτὸν δύναται. καὶ τὸ μὴ λανθάνειν πειρᾶσθαι, ὅσα τυγχάνει τις λέγων, ἢ πράττων τῶν ἀρχομένων. ἀλλ' εἶναι κατασκόπους, οἷον, περὶ συρακούσας αἱ πρασαγωγίδες καλούμεναι. καὶ τοὺς ὠτακουστὰς ἐξέπεμπεν ἱέρωνος ποτὲ τὰς εἰς ἡσυχίαν συλλόγους. παρρησιάζονται γὰρ ἧττον φοβούμενοι τοὺς πλείστους. καὶ παρρησιάζονται, λανθάνουσιν ἧττον. ἃ δὲ διαβάλλει ἀλλήλοις ἃ συγκρούει. φίλους φίλοις. καὶ τὸν δῆμον τοῖς γνωρίμοις. καὶ τοὺς πλουσίους ἐαυτοῖς. καὶ τὸ πένητας ποιεῖν τοὺς ἀρχομένους, τυραννικόν, ὅπως μήτε φυλακὴ τρέφηται. καὶ πρὸς τῇ καθημένῃ ἀσχολίαν ὄντες, ἀσχολοῖεν ἐπιβουλεύειν. παράδειγμα δὲ τούτου αἵ τε πυραμίδες, αἵ τε τοῦ Κύψελου. καὶ τὰ ἀναθήματα τῇ Κυψελιδῶν, καὶ τὸ ὀλυμπιεῖον ἡ οἰκοδόμησις ὑπὸ τῶν Πεισιστρατιδῶν. καὶ τὸ Σάμιον ἔργον τὸ μεγάλου. πάντα γὰρ ταῦτα δύναται ταυτὸν ἀσχολίαν καὶ πενίαν τοῖς ἀρχομένοις. καὶ ἡ εἰσφορὰ τῶν τελῶν. οἷον, ἐν συρακούσαις. ἐν πέντε γὰρ ἔτεσιν, ἐπιδιοικοῦσι τὴν οὐσίαν ἅπασαν εἰσφοραῖς χρήσασαι συνέβαινεν. ὅτι δὲ, καὶ πολεμοποιὸς ὁ τύραννος. ὅπως ἀσχολοῖτο ὥστε καὶ ἡγεμόνος ἐν χειρὶ δεῖται

τελῶσιν

τελῶσιν ὄντες· καὶ ἡ μὲν βασιλεία σώζεται διὰ τὴν φίλων.
τυραννικὸν δὲ, τὸ μᾶλλον ἐπιστεῖν τοῖς ξένοις· ὡς δῆλον μὲν
μὴ πέντων· δῆλον μέντοι ἢ μᾶλλον τούτων αὐτὸν καθελεῖν· ὁ
τὰς πρὸς τὴν δημοκρατίαν ἢ τινὰ μέντοι τὴν τελευτέαν· τυραν-
νικὰ μὲν οὖν τὰ γυναικοκρατία τε πρὸς τὰς οἰκίας· ἵνα ἔξα-
γέλωσι κατὰ τῶν ἀνδρῶν· ἢ δούλων ἄνεσις· διὰ ταῦτα τὴν αἰτίαν·
ὅτι γὰρ ἐπιβουλεύουσιν οἱ δοῦλοι, ἢ αἰτιῶνται πρὸς τοὺς τυράννους·
ὑπομένουσί τι, ἀναγκαῖον δοῦναι καὶ τοῖς τυραννίσι,
καὶ τοῖς δημοκρατίαις· καὶ ὁ δῆμος, ἐναντία βούλεται μοναρχο-
δὸ, ὁ οἰκολαξ πρὸς ἀμφοτέρους ἄτιμος, παρὰ μὲν γὰρ τοῖς δήμοις
ὁ δημαγωγός· ὅτι ὁ δημαγωγός, τῷ δήμῳ κολαξ· παρὰ δὲ τοῖς
τυράννοις, οἱ τὰ πεινῶσι μὲν λοῦντες· ὅπερ ἔστιν ἔργον κολακεῖ·
καὶ γὰρ δὴ καὶ τοῦτ' ἐστὶν φίλον ἡ τυραννὶς· κολακευόμενοι γὰρ
χαίρουσι· τοῦτο δ' οὐ δεῖ εἰς ποιήσει φρόνημα ἔχον ἐλεύθερον·
ἀλλὰ φιλοῦσιν οἱ ἐπιεικεῖς, ἢ οὐκολακεύουσι· καὶ χρήσιμοι οἱ
πονηροὶ εἰς τὰ πονηρά· ἅλως γὰρ ὅλος ὥσπερ ἡ παροιμία·
τὸ μηδὲν χαίρειν σεμνὸν, μηδ' ἐλευθέρῳ, τυραννικόν· αὐτὸν γὰρ
εἶναι μόνον ἄξιοι, τοιοῦτον ὁ τύραννος· ὃ δ' αὐτὸ σεμνυόμενος
ἐλευθεριάζων ἀφαιρεῖται τὴν ὑπεροχήν, καὶ τὸ διαστατικὸν
τῆς τυραννίδος· μισοῦσιν οὖν ὡς περ καταλύοντας τὴν ἀρ-
χήν· καὶ τὸ χρῆσθαι συσίτοις, καὶ σωφρονιστῆσι, ξενικοῖς μᾶλ-
λον ἢ πολιτικοῖς, τυραννικόν· ὡς τοὺς μὲν πολεμίους· τοὺς δ' ἀπ'
αὐτῆς ἱδρυμένους τοῦ τε μὴ τὰ ἀνάγκαια τυραννικὰ μὲν ἀσωτήρια τῆς
ἀρχῆς· ἀθρόα δὲ πλείστου μοχθεῖ· ὅτι δ' ὡς εἰπεῖν ταῦτα ποιεῖ
εἰλημμένα ξίσιν εἴδεσι σχεδὸν ἡ τυραννὶς ξιῶν· ὧν μὲν, τὸ
μικρὰ φρονεῖν τῆς ἀρχομένης· ὀλιγανδρεῖν δὲ καὶ μικρόψυχος ἐπιβουλεύ-
σειε· δι' ὅτι δὲ τοῦ διαπιστεῖν ἀλλήλοις· οὐκ ἀκαίρως λύεται νῦν
πρότερον τυραννὶς πρὶν ἢ πιστεύσουσί τινες αὐτοῖς· διὸ καὶ
τοῖς ἐπιεικέσι πολεμοῦσιν ὡς βλαβεροῖς πρὸς τὴν ἀρχήν·
οὐ μόνον διὰ τὸ μὴ ἀξιοῦν ἄρχειν δικαίως, ἀλλὰ καὶ

διὰ τὸ πλείους εἶναι αὐτοῖς καὶ τοῖς ἄλλοις ἀνθρώποις, μὴ μὴ κατασκευάζῃ μήτε ἑαυτῷ, μήτε τῶν ἄλλων· ζητοῦσι δ' αἱ δι' αἰδῶ αἰτίαι τῶν πραγμάτων· διὸ εἰς χεῖρας τοῖς αἰδῶ ἔχουσιν· ὥστε καὶ ἡ τυραννὶς καταλύεται, μὴ δι' ὀλίγου ὑπαρχούσης· εἰς ὃ μόρια ἀνάγεται τὰ βουλήματα τῶν τυράννων· οὗτοι γάρ εἰσι, τυγχάνουσιν ὄντες· πάντα γὰρ ἀναγκάζουσι τὰς αὐτὰ, τὰ τυραννικὰ πρὸς ταύτας τὰς ὑπάρχουσας· τὰ μὲν ὅπως μὴ πιστεύωσιν ἀλλήλοις· τὰ δὲ ὅπως μὴ δύνωνται· τὰ δ' ὅπως μικρὰ φρονῶσιν· ὁμοίως δὲ εἰς πρόσοδον γίνεται σωτηρία τοῖς τυραννίσι, τοιαῦτός ἐστιν· ὅλως γὰρ ἐδεῖ ἐξ ἐναντίας ἔχειν τοῖς εἰρημένοις τὴν ἐπιμέλειαν· ὅθεν ἔλαβεν αὐξησιν καὶ μοναρχίας τῆς τῶν βασιλέων· ὥσπερ γὰρ βασιλείας εἶναι ὅρος φυλακὴ τοῦ ποιεῖν τὰ ἄρχοντα τυραννικώτερον, ἵνα σωτηρία τυραννίδος σωτηρία, τὸ εἶναι αὐτὸν βασιλικώτερον· φυλάττοντα μόνον, τὸ δύνασθαι ὅσον ἄρχει μὴ μόνον βούλεσθαι, ἀλλὰ καὶ μὴ βούλεσθαι· προϊέμενος γὰρ τοῦτο προΐεται καὶ τὸ τυραννεῖν· ἀλλὰ τοῦτο μόνον, ὥσπερ ὑπάρχουσιν ἀεὶ μόνον· τὰ δ' ἄλλα τὸ μὲν πρᾶξαι, τὸν δοκεῖν ὑπάρχειν ὄντα βασιλικὸν καλῶς· πρῶτον μὲν δοκεῖν φρονίζειν τῶν κοινῶν· μήτε δαπανῶν ὥρας τοιαύτας ἐφ' αἷς τὸ πλῆθος χαλεπαίνουσιν ὅταν ἀπ' αὐτῶν μὲν λαμβάνωσιν ἀργύριον ἃ καὶ πρόσθεν ἐλάμβανον· ἀδίδωσι δ' ἑτέροις καὶ ξένοις καὶ τεχνίταις ἀφθόνως· λόγον τε ἀποδιδόντα τῶν λαμβανομένων καὶ δαπανωμένων· ὅπερ ἤδη ποιεῖ καί τινες τῶν τυράννων· ὅτῳ γὰρ αὐτὸς οἰκονόμος, ἀλλ' ὅτι τύραννος εἶναι δόξει· δεῖ δὲ φοβεῖσθαι μήποτε ἀπορήσῃ χρημάτων κύριος ὢν φυλάττειν, ἀλλὰ τοῖς γε κτωμένοις τυραννίδα ἀπὸ φιλοτιμίας, καὶ συμφέρει τοῦτο μᾶλλον ἢ καταλιπεῖν, ἀθροίσαντας ἢ πολλὰ ἢ δαπανῶντας ἐν τοῖς πράγμασιν· εἰσὶ δὲ φοβερώτεροι τῶν τυράννων τοῖς ἀποθνῄσκουσιν οἱ φυλάττοντες τὴν πολιτείαν· οἱ μὲν γὰρ σὺν ἀποθνῄσκουσιν· οἱ δὲ ὑπολαμβάνουσιν ἔτι καὶ τὰς εἰσφορὰς εἰς τὰς

λειτουργίας

λεῖ τυρσίας δεῖ φαίνεσθαι· τῆς τε οἰκονομίας ἕνεκα συνάγοντα, κἄν ποτε δεηθῇ χρῆσθαι πρὸς τοὺς πολεμικοὺς καιρούς· ὅλως τε αὐτὸν παρασκευάζειν φύλακα καὶ ταμίαν ὡς κοινῶν· ἀλλὰ μὴ ὡς ἰδίων· καὶ φαίνει μὴ χαλεπὸν, ἀλλὰ σεμνόν· ἔστι δὲ τοιοῦτον, ὥστε μὴ φοβεῖσθαι τοὺς ἐντυγχάνοντας· ἀλλὰ μᾶλλον αἰδεῖσθαι· τοῦτο μὲν τοι τυγχάνειν οὐ ῥᾴδιον, ὄντα εὖ καταφρόνητον· διὸ δεῖ κἂν μὴ τῶν ἄλλων ἀρετῶν ἐπιμέλειαν ποιῆται, ἀλλὰ τῆς πολιτικῆς· καὶ δόξαν ἐμποιεῖν περὶ αὐτοῦ τοιαύτῃ· ἔτι δὲ μὴ μόνον αὐτὸν φαίνεσθαι μηθένα τῶν ἀρχομένων ὑβρίζοντα, μήτε νέον· μήτε νέαν· ἀλλὰ μηδ' ἄλλον μηδένα τῶν περὶ αὐτόν· ὁμοίως δὲ τὰς οἰκείας ἔχειν γυναῖκας πρὸς τὰς ἄλλας· ὡς ἐν διὰ γυναικῶν ὕβρεις, πολλαὶ τυραννίδες ἀπολώλασι, περί τε τὰς ἀπολαύσεις τὰς σωματικὰς ἐνυναντίον ποιεῖν, ἢ νῦν τινὲς τῶν τυράννων ποιοῦσιν· οὐ γὰρ μόνον εὐθὺς ἔωθεν τοῦτο δρῶσι· καὶ συνεχῶς πολλὰς ἡμέρας· ἀλλὰ δὲ φαίνεσθαι τοῖς ἄλλοις βούλονται τοῦτο πράττοντες· ἵν' ὡς εὐδαίμονας καὶ μακαρίους θαυμάσωσιν· ἀλλὰ μάλιστα μὲν, μετριάζειν τοῖς τοιούτοις· εἰ δὲ μὴ, τόγε φαίνεσθαι τοῖς ἄλλοις διαφεύγειν· οὔτε γὰρ εὐεπίθετος, οὔτε εὐκαταφρόνητος ὁ νήφων, ἀλλ' ὁ μεθύων, οὐδ' ὁ ἄγρυπνος· ἀλλ' ὁ καθεύδων· τὸ ἐνυναντίον τὲ ποιητέον τῶν πάλαι λεχθέντων σχεδὸν πάντων· κατασκευάζειν γὰρ δεῖ καὶ κοσμεῖν τὴν πόλιν· ὡς ἐπίτροπον ὄντα δὲ μὴ τύραννον· ἔτι δὲ τὰ πρὸς τοὺς θεοὺς, φαίνεσθαι ἀεὶ σπουδάζοντα διαφερόντως· ἧττόν τε δὲ φοβοῦνται τὸ παθεῖν τι περὶ ἄνομον ὑπὸ τῶν τοιούτων, ἐὰν δεισιδαίμονα νομίζωσιν εἶναι τὸν ἄρχοντα καὶ φροντίζειν τῶν θεῶν· καὶ ἐπιβουλεύουσιν ἧττον, ὡς συμμάχους ἔχοντι καὶ τοὺς θεούς· δεῖ δὲ ἄνευ ἀβελτηρίας φαίνεσθαι ποιοῦντα· τούς τε ἀγαθοὺς περί τι γιγνομένους τιμᾶν οὕτως, ὥστε μὴ νομίζει ἄν ποτε τιμηθῆναι μᾶλλον, ὑπὸ τῶν πολιτῶν αὐτονόμων· καὶ τὰς μὲν τοιαύτας τιμὰς, ἀπονέμειν αὐτόν· τὰς δὲ κολάσεις δι' ἑτέρων ἀρχόντων καὶ δικαστη-

ρίων· κοινὴ δὲ φυλακὴ πάσης μοναρχίας, τὸ μηθένα ποιεῖν
ἕνα μέγαν· ἀλλ' εἴπερ, πλείους· τηρήσουσι γὰρ ἀλλήλους· ἐὰν
δ' ἄρα τινὰ δέῃ ποιῆσαι μέγαν, μήτοι τόγε ἦθος θρασύν· ἐπι-
θετικώτατον γὰρ τὸ τοιοῦτον ἦθος περὶ πάσας τὰς πράξεις,
κἂν τῆς δυνάμεως τινὰ δοκῇ παραλύειν, ἐκπροσαγωγῆς τοῦτο
δρᾶν· καὶ μὴ πᾶσαν ἀθρόον ἀφαιρεῖσθαι τὴν ἐξουσίαν· ἔτι δὲ
πάσης μὲν ὕβρεως εἴργεσθαι· παρὰ πάσας δὲ δυοῖν· τῆς τε εἰς
τὰ σώματα κολάσεως, καὶ τῆς εἰς τὴν ἡλικίαν· μάλιστα δὲ ταύ-
την τριητέον τὴν εὐλάβειαν περὶ τοὺς φιλοτίμους· τὴν μὲν δὴ
εἰς τὰ χρήματα ὀλιγωρίαν, οἱ φιλοχρήματοι φέρουσι βαρέως·
τὴν δὲ εἰς ἀτιμίαν, οἵ τε φιλότιμοι καὶ οἱ ἐπιεικεῖς τῶν ἀνθρώ-
πων· διόπερ ἢ μὴ χρῆσθαι δεῖ τοῦ τριούτοις, ἢ τὰς μὲν κολάσεις πα-
τρικῶς φαίνεσθαι τριούμενον, καὶ μὴ δι' ὀλιγωρίαν· τὰς δὲ πρὸς
τὴν ἡλικίαν ὁμιλίας, δι' ἐρωτικὰς αἰτίας, ἀλλὰ μὴ δι' ἐξουσίαν·
ὅλως δὲ τὰς δοκούσας ἀτιμίας ἐξωνεῖσθαι μείζοσι τιμαῖς· τῶν
δ' ἐπιχειρούντων ἐπὶ τὴν τοῦ σώματος διαφθορὰν, οὗτοι φοβε-
ρώτατοι· καὶ δέονται πλείστης φυλακῆς, ὅσοι μὴ προαιροῦνται
περιποιεῖσθαι τὸ ζῆν διαφθείραντες· διὸ μάλιστα εὐλαβεῖσθαι
δεῖ τοὺς ὑβρίζεσθαι νομίζοντας· ἢ αὐτοὺς· ἢ ὧν κηδόμενοι τυγ-
χάνουσιν· ἀφειδῶς γὰρ ἑαυτῶν ἔχουσιν οἱ διὰ θυμὸν ἐπιχειροῦντες,
καθάπερ καὶ ἡράκλειτος εἶπε· χαλεπὸν φάσκων εἶναι θυμῷ·
μάχεσθαι· ψυχῆς δὲ ὠνεῖσθαι· ἐπεὶ δ' αἱ πόλεις ἐκδύο συνεστήκασι
μορίων, ἔκτε τῶν ἀνπόρων ἀθρώπων, καὶ τῶν εὐπόρων, μάλιστα μὲν
ἀμφοτέρους ὑπολαμβάνειν δεῖ σώζεσθαι διὰ τὴν ἀρχὴν καὶ
τοὺς ἑτέρους ὑπὸ τῶν ἑτέρων ἀδικεῖσθαι μηδέν· ὁπότεροι δ' ἂν
ὦσι κρείττους, τούτους ἰδίους μάλιστα τριεῖσθαι τῆς ἀρχῆς· ὡς
ἂν ὑπάρξῃ τοῦτο τοῦ πράγμασιν, οὔτε δούλων ἐλευθέρωσιν ἀνά-
σκη ποιεῖσθαι τὸν τύραννον· οὔτε ὅπλων παραίρεσιν· ἱκανὸν γὰρ
θάτερον μέρος, πρὸς τῇ δυνάμει πρὸς τιθέμενον, ὥστε κρείττους
εἶναι τῶν ἐπιτιθεμένων· περίεργον δὲ τὸ λέγειν καθέκαστον τῶν
τοιούτων·

τοι οὐτων· ὀγδ σκοπὸς φανερός· ὅτι δεῖ μὴ τυραννικὸν ἀλλ' οἰ κονόμον ἢ βασιλικὸν εἶναι φαίνεσθαι τοῖς ἀρχομένοις, ἢ μὴ σφετερίζειν, ἀλλ' ἐπίτροπον· καὶ τὰς μεγαλοπρεπείας τοῦ βίου ἀνώ κφν, μὴ τὰς ὑπερβολάς· ἔτι δὲ, τοὺς μὲν γνωρίμους καθομιλεῖν· τοὺς δὲ πολλοὺς δημαγωγεῖν· ἐκ γὰρ τούτων ἀναγκαῖον, ὁ μόνον τὴν ἀρχὴν εἶναι ἢ καλλίω καὶ ἡδίω τοτέραν, ζῆ βελτίονι ἄρχειν· καὶ μὴ τε τὰς περιφανῶν· μηδὲ μισούμενον ἢ φοβούμενον διατελεῖν, ἀλλὰ ἢ τὴν ἀρχὴν εἶναι πολυχρονιωτέραν· ἔτι δ' αὐτὸν διακεῖσθαι κατὰ τὸ ἦθος· ἤτοι καλῶς πρὸς ἀρετὴν, ἢ ἡμίχρηστον ὄντα· ἢ μήτε μικρὸν, ἀλλ' ἡμιπόνηρον· καίτοι πάντων ὀλιγοχρονιώτεραι τ' πολιτειῶν εἰσὶν, ὀλιγαρχία ἢ τυραννίς· πολεῖς δ' ἐγγύτερ χρόν ἢ πολεῖσι κυῶν ἡ τυραννὶς ἢ τ' ὀρθαγόρου πεῖσωνος ἢ αὐτοῦ ὀρθαγόρα· ἔτη δ' αὐτὴ διέμεινεν ἑκατόν· αἴτιον δ' αὐτῆς, ὅτι τ' ἀρχομένοις ἐχρῶντο μετρίως· ἢ πολλὰ τοῖς νόμοις ἐβούλοντο· καὶ διὰ τὸ πολεμικοὺς γενέσθαι κλεισθένης, ὁ κλεισθένους ἀδελφιδοῦς τοῦ ἐν σικυῶνι τυράννου· καὶ τὸ πολλὰ ταῖς φυλαῖς μεταβαλεῖν· ἐδημαγώγουν· καὶ γὰρ τῶν κλεισθένης, τὸν ἀρχαῖον τὰς φυλὰς καὶ τοὺς μῆνας αὐτοῦ, ὡς ἐστὶ φάναι τινες· ἀλλ' οἱ μὲν εἰκότα φασὶν εἶναι τοιαῦτα ποιῆσαι τὸν τύραννον· τὸν αὐτὸν τοῦτον ἐν τῇ ἀττικῇ καθ' ἡμᾶς· φασὶ δὲ καὶ πεισίστρατον ὑπομεῖναι ποτὲ προσκληθέντα δίκην εἰς ἄρειον πάγον· δευτέρα δὲ πεισιστράτου τῶν κυψελιδῶν· καὶ γὰρ αὐτὴ διετέλεσεν ἔτη ξία, καὶ ἑβδομήκοντα· ἢ ἑξήκοντα· κύψελος μὲν γὰρ ἐτυράννησεν ἔτη ξία κοντα· περίανδρος δὲ, τεσσαράκοντα καὶ τέσσαρα· ψαμμήτιχος δ' ὀλυμπίου τρία ἔτη· τοῦ δ' αἴτια, ταὐτὰ καὶ ταύτης· ὁ μὲν γὰρ κύψελος δημαγωγὸς ἦν· καὶ τὴν ἀρχὴν διετέλεσεν ἀδορυφόρητος· περίανδρος δ' ἐγένετο μὲν τυραννικὸς, ἀλλὰ πολεμικός· τρίτη δ' ἦν τῶν πεισιστρατιδῶν, ἀθήνησιν· οὐκ ἐγένετο δὲ συνεχὴς· δὶς γὰρ ἔφυγε πεισίστρατος τυραννῶν· ὥστε ἐν ἔτεσι ξία κοντα ἢ ξία ἐστὶν, ἐπτὰ καὶ δέκα καὶ ἑκατὸν ἔτη, τούτων ἐτυράννησεν· ὀκτὼ καὶ δέκα δὲ οἱ πάντες·

ὥστε τὰ πάντα ἐγένετο ἔτη τριάκοντα καὶ πέντε· τῶν δὲ λοι
πῶν, ἡ περὶ ἱέρωνα καὶ γέλωνα περὶ συρακούσαις· ἔτη δ' οὐ
δ' αὕτη πολλὰ διέμεινεν· ἀλλὰ τὰ σύμπαντα δυοῖν δέοντα
εἴκοσι· γέλων μὲν γὰρ ἑπτὰ τυραννεύσας, τῷ ὀγδόῳ τὸν βίον
ἐτελεύτησε· δέκα δ' ἱέρων· θρασύβουλος δὲ τῷ ἐνδεκάτῳ μηνὶ
ἐξέπεσεν· αἱ δὲ πολλαὶ τῶν τυραννίδων ὀλιγοχρόνιαι πᾶσαι
γεγόνασι παντελῶς· τὰ μὲν οὖν περὶ τὰς πολιτείας καὶ τὰ
περὶ τὰς μοναρχίας ἐξῶν τεφθείρονται, καὶ πάλιν σώζονται,
καθὸν εἴρηται περὶ πάντων· ἐν δὲ τῇ τοῦ πλάτωνος πολι-
τείᾳ, λέγεται μὲν περὶ τῶν μεταβολῶν ὑπὸ τοῦ σωκράτους· οὐ-
μέντοι λέγεται καλῶς· τρεῖς τε καὶ ἀρίστης πολιτείας καὶ πρώτης
οὔσης, οὐ λέγει τὴν μεταβολὴν ἰδίως φησὶ γὰρ αἴτιον εἶναι τὸ
μὴ μένειν μηθέν· ἀλλ' ἐν τινι περιόδῳ μεταβάλλειν· ἀρχὴν δ'
εἶναι τούτων, ὧν ἐπίστιτος πυθμὴν πεμπάδι συζυγεὶς δύο
ἁρμονίας παρέχεται· λέγων, ὅταν ὁ τοῦ διαγράμματος ἀ-
ριθμὸς τούτου γένηται, στερεὸς, ὡς τρεῖς φύσεως ποτὲ φυούσης
φαύλους καὶ κρείττους τρεῖς παιδείας· τοῦτο μὲν οὖν αὐτὸ λέ-
γων ἴσως οὐκ ἀκῶς· ἐνδέχεται γὰρ εἶναί τινας· οὓς παιδευθῆναι
καὶ γενέσθαι σπουδαίους ἄνδρας, ἀδύνατον· ἀλλ' αὕτη τί ἂν
ἴδιος εἴη μεταβολὴ τρεῖς ὑπ' ἐκείνου λεγομένης ἀρίστης πολι-
τείας μᾶλλον ἢ τῶν ἄλλων πασῶν καὶ τῶν γιγνομένων πάν-
των· καὶ διά τε τοῦ χρόνου δ' ὃν λέγει πάντα μεταβάλλειν, καὶ
τὰ μὴ ἅμα ἀρξάμενα γίγνεσθαι, ἅμα μεταβάλλει· οἷον εἰ τῇ
προτέρᾳ ἡμέρᾳ ἐγένετο τρεῖς τροπῆς, ἅμα ἄρα μεταβάλλει·
πρὸς δὲ τούτοις διὰ τίν' αἰτίαν ἐκ ταύτης εἰς τὴν λακωνικὴν
μεταβάλλει· πλεονάκις γὰρ εἰς τὴν ἐναντίαν μεταβάλλουσι
πᾶσαι αἱ πολιτείαι, ἢ τὴν συνεγγύς· ὁ δ' αὐτὸς λόγος, καὶ περὶ τῶν
ἄλλων μεταβολῶν· ἐκ γὰρ τρεῖς λακωνικῆς φησι μεταβάλλει
εἰς τὴν ὀλιγαρχίαν· ἐκ δὲ ταύτης, εἰς δημοκρατίαν· εἰς τυραν-
νίδα δὲ, ἐκ δημοκρατίας· καίτοι καὶ ἀνάπαλιν, μεταβάλλου-

σιν·

σιν· οἷον, ἐκ δήμου, εἰς ὀλιγαρχίαν ἢ μᾶλλον· ἢ εἰς μοναρχίαν· ἐπὶ δὲ τυραννίδος οὐ λέγω ὅτι δεῖ ἔσαι μεταβολήν, οὔτ' εἰ μὴ ἔσαι, διὰ τὴν αἰτίαν· καὶ εἰς ποίαν πολιτείαν· τούτου δ' αἴτιος, ὅτι ῥᾳδίως ἂν εἴχε λέγειν· ἀόριστον γάρ· ἐπεὶ καὶ τὸν εἶναι δεῖ εἰς τὴν πρώτην καὶ τὴν ἀεί ζην· οὕτω γὰρ ἂν ἐγίνετο σωιεχὼς ἡ κύκλος· ἀλλὰ μεταβάλλει καὶ εἰς τυραννίδα τυραννίς· ὥσπερ ἡ Σικυωνος ἐκ Φλιασίου εἰς τὴν Κλειθένους· καὶ εἰς ὀλιγαρχίαν, ὥσπερ ἡ Χαλκίδι, ἡ Ἀντιλέοντος· καὶ εἰς δημοκρατίαν, ὥσπερ ἡ τῶν Ἡλώων· ἐνίοις γὰρ κούσαις· καὶ εἰς ἀριστοκρατίαν· ὥσπερ ἡ Χαιρωνείας, Φλακεδαίμονι, ἢ Φλιασίοις· ἢ εἰς τυραννίδα μεταβάλλει ὀλιγαρχίας· ὥσπερ Σικελίᾳ· πολὺν αἰῶνα γὰρ ἐλεύθεροι τῶν ἀρχαίων ἐνίοις εἰς τὴν Φαλαρικὴν τυραννίδα· ἢ Συρακούσιοις εἰς τὴν Διονυσίου· ἢ ἐν ἠπείρῳ, εἰς τὴν Ἀνεξιλάου· ἢ ἐν ἄλλαις πολλαῖς πόλεσιν ὡσαύτως· ἄτοπον δὲ, καὶ τὸ οἴεσθαι εἰς ὀλιγαρχίαν διὰ τοῦτο μεταβάλλειν, ὅτι φιλοχρήματοι καὶ χρηματισταὶ ἐν ταῖς ἀρχαῖς· ἀλλ' ὅτι οἱ πολλοὶ ὑπερέχοντες τῆς οὐσίας· δίκαιον οἴονται εἶναι ἴσον μετέχειν Φλ πόλεως τοὺς κεκτημένους μηθέν, τοῖς κεκτημένοις· ἐν πολλαῖς τὸ ὀλιγαρχίαις ὄντες ἔξεστι χρηματίζεσθαι· ἀλλὰ νόμοι εἰσὶν οἱ κωλύοντες· ἐνίοις δὲ δημοκρατουμένοις μὴ· χρηματίζονται· ἢ οὐ πω μεταβεβλήκασιν· ἄτοπον δὲ καὶ τὸ φάναι δύο πόλεις εἶναι τὴν ὀλιγαρχικὴν, πλουσίων καὶ πενήτων τί γὰρ αὐτὴ μᾶλλον Φλ λακωνικὴς πέφυκεν· ἢ ὁποιασοῦν ἄλλης ἂν μὴ πάντες κέκτηνται ἴσα· ἢ μὴ πάντες ὁμοίως εἰσὶν ἀγαθοὶ ἄνδρες· ἀδυνάτοις δὲ πενεστέρους γενομένους ἢ πρότερον οὐθὲν ἧττον μεταβάλλουσιν εἰς δῆμον ἐξ ὀλιγαρχίας, ἂν γένωνται πλείους οἱ ἄποροι· καὶ ἐκ δήμου εἰς ὀλιγαρχίαν, ἐὰν κρεῖττον ᾖ τὸ πλῆθος τὸ ὕπορον· καὶ οἱ μὲν, ἃ μελλῶσιν· οἱ δὲ προσέχουσι τὸν νοῦν· πολλῶν τε τρόπων αἰτιῶν δ' ὧν εἴρηται μεταβολαί, τὸ λέγειν, ἀλλὰ μίαν, ὅτι ἀεὶ τοὺ μὲν δημοκρατικοὺ μὲν καταρκιζόμενοι εἴρηνται πένη-

τες· ὡς ἐξ ἀρχῆς πλουσίων ὄντων πάντων· ἢ τῶν πλείστων· τοῦτο
δ' ἐστὶ ψεῦδος· ἀλλ' ὅταν μὲν τῶν ἡγεμόνων τινὲς ἀπολέσωσι
τὰς οὐσίας, καινοτομοῦσιν· ὅταν δὲ τῶν ἄλλων, οὐθὲν γίγνεται
δεινόν· καὶ μεταβάλλουσιν οὐθὲν μᾶλλον οὐδέποτε εἰς δῆμον,
ἢ εἰς ἄλλην πολιτείαν· ἔτι δὲ, κἂν, τιμῶν μὴ μετέχωσι,
κἂν ἀδικῶνται, ἢ ὑβρίζωνται, στασιάζουσι· καὶ μετὰ-
βάλλουσι τὰς πολιτείας· κἂν μὴ καταδαπα-
νήσωσι τὴν οὐσίαν· διὰ τὸ ἐξεῖναι ὅτι ἂν βού-
λωνται ποιεῖν· οὗ αἰτίαν, τὴν ἄγαν ἐλευθερίαν
εἶναι φασι· πλειόνων δ' οὐσῶν ὀλιγαρχιῶν,
καὶ δημοκρατῶν, ὡς μιᾶς οὔσης ἑκα-
τέρ, λέγει τὰς μεταβο-
λὰς ὁσωκρά-
της:~

ΤΕΛΟΣ, ΤΟΥ Ε

ΑΡΙΣΤΟΤΕΛΟΥΣ ΠΟΛΙΤΙΚΩΝ, ΤΟ Ζ'.

Ὅσαι μὲν οὖν διαφοραὶ, καὶ τίνες τοῦ πολιτικοῦ καὶ κυρίου καὶ πολιτείας καὶ τῆς περὶ τὰς ἀρχὰς τάξεως, καὶ περὶ ἃς ἡ πόλις ἐστὶν ἡ πρὸς πρίαν σωτείαν πολιτείαν· ἔτι δὲ περὶ φθορᾶς τε καὶ σωτηρίας τῶν πολιτειῶν, ἐκ ποίων τε καὶ διὰ τίνας αἰτίας, εἴρηται πρότερον· ἐπεὶ δ' ἔστι τὸ πλείω δημοκρατίας ὁμοῦ καὶ τῶν ἄλλων ὁμοδ πολιτειῶν, ἅμα τὰ περὶ ἐκείνων εἰπεῖν λοιπὸν, ὡς ἂν ἐφικτὸν ᾖ σκέψασθαι· μὴ γὰρ οἰκεῖον καὶ τῆς συμφορᾶς ἐστὶν ἅπασαν ἀποδοῦναι πρόσεκάστην· ἔτι δὲ καὶ τὰς συναγωγὰς αὐτῶν εἰσὶ μᾶλλον ἐπισκεπτέον ὧν ἔστων τῶν ξόσων· ταῦτα γὰρ συνδυαζόμενα, ποιεῖ τὰς πολιτείας ἐπαλλάττειν· ὥστε ἀριστοκρατίας τὸ ὀλιγαρχικὰς εἶναι καὶ πολιτείας δημοκρατικωτέρας· λέγω δὲ συνδυασμὸν, ὅταν δεῖ μὲν ὠφέλιμον ὅπλα· ἀκέσκε μμέροι δεῖσιν νεῶν· οἷον, αὐτὸ μὲν βαλλόμενον καὶ τὸ περὶ τὰς ἀρχαιρεσίας ὀλιγαρχικῶς ἢ σωτεταγμένον καὶ τὸ περὶ τὸ βαλλόμενον, ὀλιγαρχικῶς· ἀριστοκρατικῶς δὲ τὸ περὶ τὰς ἀρχαιρεσίας· ἢ καὶ τοῦ μὴ νόμου τινὰ ξόπον μὴ κεῖται συντιθῇ τὰ τῆς πολιτείας οἰκεῖα· πρίαμ μὲν οὖν δημοκρατίας πρὸς πρίαν ἁρμόττει πόλιν· ὡσαύτως δὲ καὶ πρίας τὸ ὀλιγαρχικῶν πρίω πλήθει· καὶ τῶν λοιπῶν δὲ πολιτειῶν, τί συμφέρει τισὶν, εἴρηται πρότερον· ὅμως δὲ δεῖ γίνεσθαι δῆλον, μὴ μόνον πρὸς τούτων τὴν πολιτειῶν ἀρίστην τοῖς πόλεσιν· ἀλλὰ καὶ πῶς δεῖ

κατασκευάζειν, μὴ ταύτας δεῖ τὰς αἰτίας ἐπιτίθεσθαι μόνον σωφρόνως· μὴ πρῶτον περὶ δημοκρατίας εἰπεῖν μᾶλλον ἢ περὶ ὀλιγαρχικῆς πολιτείας φανερόν· αὕτη δ' ἐστὶν, ἣν καλοῦσι πολλοὶ, ὀλιγαρχίαν πλείονων ἢ πρὸς ταύτην τὴν μέθοδον πάντα τὰ δημοτικὰ δεῖ τοῦ δημοκρατίαις ἀκολουθεῖν· ἐκ γὰρ τοῦ πάντων σωφρόνως, τὰ τῆς δημοκρατίας εἴδη πίπτειν συμβαίνει δεῖ δὲ δημοκρατίας μιᾶς εἶναι μὴ διαφόρους· δύο δ' εἰσὶν αἱ τίαι, δι' ἃς πλείους αἱ δημοκρατίαι πλείους εἰσί· πρῶτον μὲν εἰρημένα πρότερον, ὅτι διάφοροι οἱ δῆμοι· εἷς γὰρ μὲν, γεωργικὸς ὁ λαὸς· ἢ δὲ βάναυσον, ἢ θητικόν· ὧν τοῦ πρώτου προσλαμβανομένου μὴ τοῦ ἕτερον πάλιν τοῖς ἀμφοτέροις, ἀμοίου διαφορὰ γίνεται βελτίω ἢ χείρω γίνεσθαι τὴν δημοκρατίαν, αἰεὶ καὶ τῶν μὴ τῶν αὐτῶν δεῖ προσιέναι· περὶ ἧς νῦν λέγομεν· τὰ δὲ τῆς δημοκρατίαις ἀκολουθοῦντα δοκοῦντα εἶναι τῆς πολιτείας, οἷα καὶ ταύτης τρία εἶναι σωφρονεῖν τῆς δημοκρατίας ἕτερον μὲν, γὰρ, ἐλάττω· τὴν δ' ἀκολουθήσει πλείονα· τὴν δ' ἅπαντα ταῦτα· χρήσιμον δ' ἕκαστον αὐτῶν νωεῖζειν πρός τινα τὸν καταστασιάζειν, ὧν αἴτιος αὐτῶν τύχοι λόμενος· ἔστι πρὸς τὰς διορθώσεις· ἔστι γὰρ οἱ τὰς πολιτείας καθιστάντες ἅπαντα τὰ οἰκεῖα σώζειν πρὸς τὴν ὑπόθεσιν· ἁμαρτάνουσι δὲ τοῦτο πλείστοις, καθάπερ ἐν τοῖς πρὸ τοῦ φθορὰς καὶ τὰς σωτηρίας τῶν πολιτειῶν εἰρηται πρότερον· μισοῦσι δὲ τὰ ἀξιώματα καὶ τὴν ἰσότητα, ἣν ὠφέλουσι λέγειν μόνον· ὑπόθεσις μὲν οὖν τῆς δημοκρατικῆς πολιτείας, ἐλευθερία· τοῦτο γὰρ λέγειν εἰώθασιν, ὡς ἐν μόνῃ τῇ πολιτείᾳ ταύτῃ, μετέχοντας ἐλευθερίας· τούτου γὰρ ἐφίεσθαι φασὶ πᾶσαι δημοκρατίαν· ἐλευθερία δ', ἓν μὲν, τὸ ἐν μέρει ἄρχεσθαι καὶ ἄρχειν· καὶ γὰρ τὸ δίκαιον τὸ δημοτικὸν, τὸ ἴσον ἔχειν ἐστὶ κατὰ ἀριθμὸν· ἀλλὰ μὴ κατ' ἀξίαν· τούτου δ' ὄντος τοῦ δικαίου, τὸ πλῆθος ἀναγκαῖον εἶναι κύριον· καὶ ὅτι ἂν δόξῃ τοῖς πλείοσι, τοῦτ' εἶναι τέλος· καὶ τοῦτ' εἶναι τὸ δίκαιον· φασὶ γὰρ δεῖν ἴσον ἔχειν ἕκαστον τῶν πολιτῶν.

ὥστε

ὥστε ἐν ταῖς δημοκρατίαις συμβαίνει κυριωτέρους εἶναι τοὺς
ἀπόρους τῶν εὐπόρων, πλείους γὰρ εἰσι· κύριον δὲ, τὸ τοῖς πλεί-
οσι δόξαν· ἡ μὲν οὖν τῆς ἐλευθερίας σημεῖον· τοῦτο, ὃν τίθενται
πάντες οἱ δημοτικοὶ τῆς πολιτείας ὅρον· ἡ δὲ τὸ ζῆν ὡς βού-
λεταί τις· τοῦτο γὰρ τῆς ἐλευθερίας ἔργον εἶναί φασιν· εἴπερ τοῦ
δούλου ὄντος, τὸ ζῆν μὴ ὡσβούλετο· τῆς μὲν οὖν δημοκρατίας ὅρος·
οὗτος δεύτερος· ἐντεῦθεν δ' ἐλήλυθε τὸ μὴ ἄρχεσθαι· μάλιστα μὲν ὑπὸ
μηθενός· εἰ δὲ μὴ, κατὰ μέρος· καὶ συμβάλλετο ταύτη πρὸς τὴν ἐλευ-
θερίαν τὴν κατὰ τὸ ἴσον· τούτων δ' ὑποκειμένων· καὶ τοιαύτης οὔ-
σης τῆς ἀρχῆς, τὰ τοιαῦτα δημοτικά· τὸ αἱρεῖσθαι τὰς ἀρχὰς
πάντας ἐκ πάντων· τὸ ἄρχειν πάντας μὲν ἑκάστου ἕκαστος
δ' ἐν μέρει πάντων, τὸ κληρωτὰς εἶναι τὰς ἀρχὰς, ἢ πάσας· ἢ
ὅσαι μὴ ἐμπειρίας δέονται καὶ τέχνης, τὸ μὴ ἀπὸ τιμήματος
μηθενὸς εἶναι τὰς ἀρχάς· ἢ ὅτι μικροτάτου· τὸ μὴ δὶς τὸν αὐτὸν
ἄρχειν μηδεμίαν· ἢ ὀλιγάκις· ἢ ὀλίγας· ἔξω τῶν κατὰ πόλεμον· τὸ
ὀλιγοχρονίους τὰς ἀρχὰς ἢ πάσας ἢ ὅσας ἐνδέχεται· τὸ δικάζειν
πάντας, καὶ ἐκ πάντων· καὶ περὶ πάντων· ἢ περὶ τῶν πλείστων
καὶ τῶν μεγίστων· καὶ τῶν κυριωτάτων οἷον περὶ εὐθυνῶν καὶ πο-
λιτείας, καὶ τῶν ἰδίων συναλλαγμάτων, τὸ τὴν ἐκκλησίαν κυ-
ρίαν εἶναι πάντων· ἀρχὴν δὲ μηδεμίαν μηθενός· ἢ ὅτι ὀλιγίστων
ἢ τῶν μεγίστων κυρίαν· τῶν δ' ἀρχῶν, δημοτικώτατον βουλή·
ὅπου μὴ μισθοῦ εὐπορία πᾶσιν· ἐνταῦθα γὰρ ἀφαιροῦνται καὶ ταύ-
της τῆς ἀρχῆς τὴν δύναμιν· εἰς αὐτὸν γὰρ ἀνάγει τὰς κρίσεις
πάσας ὁ δῆμος εὐπορῶν μισθοῦ καθάπερ εἴρηται πρότερον ἐν τῇ
μεθόδῳ· τῇ πρὸ ταύτης· ἔπειτα τὸ μισθοφορεῖν, μάλιστα μὲν
πάντας· ἐκκλησίαν, δικαστήρια· ἀρχάς· εἰ δὲ μὴ, τὰς ἀρχὰς καὶ
τὰ δικαστήρια· καὶ βουλήν· καὶ τὰς ἐκκλησίας, τὰς κυρίας· ἢ τῶν
ἀρχῶν, ἃς ἀνάγκη συσσιτεῖν μετ' ἀλλήλων· ἔτι ἐπεὶ δὴ ὀλιγαρ-
χία· καὶ γένει· καὶ πλούτῳ· καὶ παιδείᾳ ὁρίζεται, τὰ δημοτικὰ δοκεῖ
τἀναντία τούτων εἶναι· ἀγένεια· πενία· βαναυσία· ἐπὶ δὲ τῶν ἀρ

χῶν, τὸ μηδεμίαν οὐσίαν εἶναι· ἐὰν δέ τις καταλίφθῃ ἐξ ἀρχαίας μεταβολῆς, τότε πῶς αἱρεθῇ τὴν δύναμιν αὐτῆς· ἢ ἐξ αἱρετῶν κληρωτοὺς ποιεῖν· τὸ μὲν γὰρ κοινὰ ταῦτα δημοκρατίας· τοῦτο δ' ἐστί· συμβαίνει δ' ἐκ τοῦ δικαίου τοῦ ὁμολογουμένου εἶναι δημοκρατικόν· τοῦτο δ' ἐστὶ τὸ ἴσον ἔχειν ἁπάντασκατ' ἀριθμόν· ὥστε πάλιν εἶναι δῆμος· ἴσον γὰρ τὸ πλῆθος μᾶλλον ἄρχειν τοὺς ἀπόρους, ἢ τοὺς εὐπόρους· μὴ δὲ κυρίους εἶναι μόνους· ἀλλὰ πάντας ἐξ ἴσου κατ' ἀριθμόν· οὕτω γὰρ ἂν ὑπάρχειν νομίζοιεν τὴν ἰσότητα τῇ πολιτείᾳ ἡ τὴν ἐλευθερίαν· τὸ δὲ μεταγράφειν, ἀπορεῖ τινα πῶς ἔχει τὸ ἴσον· πότερον δεῖ τὰ τιμήματα ἀφαιρεῖν χιλίοις τὰ τῶν πεντακοσίων, καὶ τοὺς χιλίους ἴσον δύνασθαι τοῖς πεντακοσίοις, ἢ οὐχοῦτω δεῖ τιθέναι τὴν τοῦτο ἰσότητα· ἀλλὰ δεῖλέγειν μὴ ὅτως· ἐπειτα ἐκ πεντακοσίων ἴσους λαβόντα τῶν ἐκ χιλίων τούτους κυρίους εἶναι ἑλέσθαι ἐκ τῶν ἀφαιρέσεων· καὶ τὰς ἀκαστείους· πότερον οὖν αὐτὴν ὑπολιτείαν, δικαιοτάτην κατὰ τὸ δημοτικὸν δίκαιον, ἢ μᾶλλον· ἢ κατὰ τὸ πλῆθος· φασὶ γὰρ οἱ δημοτικοὶ τοῦτο δίκαιον, ὅτι ἂν δόξῃ τοῖς πλείοσιν· οἱ δ' ὀλιγαρχικοὶ, ὅτι ἂν δόξῃ τῷ πλείονι οὐσίᾳ· κατὰ πλῆθος γὰρ οὐσίας· φασὶ κεῖνεσθαι δεῖν· ἔχει δὲ ἀμφότερα ἀνισότητα καὶ ἀδικίαν· εἰ μὲν γὰρ ὅτι ἂν οἱ ὀλίγοι, τυραννίς· ἢ γὰρ ἐὰν εἷς ἔχῃ πλείω τῶν ἄλλων πλούτων κατὰ τὸ ὀλιγαρχικὸν δίκαιον, ἄρχειν δίκαιος μόνος· εἰδ' ὅτι ἂν οἱ πλείους κατ' ἀριθμὸν ἀποκρίνουσι, δημεύουσι τὰ τῶν πλουσίων καὶ ἐλαττόμων καθάπερ εἴρηται πρότερον· τὸς ἂν οὖν εἴη ἰσότης· ἀλλ' ὁμολογήσουσιν ἀμφότεροι σκεπτέον ἐξ ὧν λέγομεν δίκαιον ἀμφότεροι· λέγουσι δὲ ὡς ὅτι ἂν δόξῃ τοῖς πλείοσι τῶν πολιτῶν, ταῦτα εἶναι δεῖ κύριον· ἔστω δὴ ταῦτα, μὴ μέντοι πάντως· ἀλλ' ἐπειδὴ δύο μέρη τυγχάνει ἐξ ὧν ἡ πόλις συνέστηκε καὶ πένητες, ὅτι ἂν ἀμφοτέροις δόξῃ, ἢ τοῖς πλείοσι, ταῦτο κύριον ἔστω· ἐὰν δὲ τἀναντία δόξῃ, ὅτι ἂν οἱ πλείους· ὧν τὸ τίμημα πλεῖον· οἷον, οἱ μὲν δέκα· οἱ δὲ εἴκοσιν· ἔδοξε δὲ, τῶν μὲν

πλουσίων

πλουσίων τοῖς ἐξ ὧν ἡ δημοκρατία τοῖς πένησι τιμὴ μέτεστι τῶν πλουσίων· τοῖς δὲ πλουσίοις πάντα τῶν πενήτων· ὁπότερον δ' ἂν τὸ πλῆθος ὑπερτείνῃ σώσει ταύτην μόνων ἀμφοτέρων ἑκατέροις, τοῦτο κύριον· ἐὰν δὲ ἴσοι συμπέσωσι, κοινὸν εἶναι τοῦτο νομιστέον ἀπορίαν· ὥσπερ νῦν ἐὰν δίκαι ἢ ἐκκλησίαι γένωνται· ἢ τὸ δικαστήριον· ἢ γὰρ ἀπλήρωτόν· ἢ ἄλλό τι τοιοῦτον ποιητέον· ἀλλὰ πειρᾶσθαι μὲν τοῦ ἴσου καὶ τοῦ δικαίου καὶ ἡ παρούσα λεκτέον θεωρεῖν τοῦτο ἀληθείαν πρὸς αὐτό· ὅμως ἔσται τυχεῖν· ἢ συμπείσαι τοὺς δυνάμενους πλεονεκτεῖν· ἀεὶ γὰρ ζητοῦσι τὸ ἴσον· τοῦ δικαίου οἱ μὲν ἔχουσι· οἱ δὲ κρατοῦντες, οὐδὲν φροντίζουσι· δημοκρατικῶν δ' οὐσῶν τιμῶν ἀρχόντων, ἐλεγχίστη μὲν, ἡ πρώτη τάξις· καθάπερ ἐν τοῖς προτέροις ἐλέχθη λόγοις· ὅτι δὲ ἡ ἀρχαιοτάτη πασῶν αὕτη· λέγω δὲ πρώτην, ὥσπερ ἂν τις διέλοι τοὺς δήμους· ἐλεγχίστος γὰρ δῆμος ὁ γεωργικός ἐστιν· ὥστε καὶ ποιεῖν ἐνδέχεται δημοκρατίαν, ὅπου ζῇ τὸ πλῆθος ἀπὸ γεωργίας· ἢ νομῆς· διὰ μὲν γὰρ τὸ μὴ πολλὴν οὐσίαν ἔχειν, ἄσχολος· ὥστε μὴ πολλάκις ἐκκλησιάζειν· διὰ δὲ τὸ μὴ ἔχειν τοῦ ἀναγκαίου, πρὸς τοῖς ἔργοις διατρίβουσι· καὶ τῶν ἀλλοτρίων οὐκ ἐπιθυμοῦσιν· ἀλλ' ἥδιον τὸ ἐργάζεσθαι τοῦ πολιτεύεσθαι, καὶ ἄρχειν· ὅπου αὐ μὴ ἡ λήμματα μεγάλα ἀπὸ τῶν ἀρχῶν· οἱ γὰρ πολλοὶ μᾶλλον ὀρέγονται τοῦ κέρδους· ἢ φιλτιμίας· σημεῖον δὲ, ἡ γε τῶν ἀρχαίας τυραννίδας ὑπέμειναν· καὶ τὰς ὀλιγαρχίας ὑπομένουσιν, ἐάν τις αὐτοὺς ἐργάζεσθαι μὴ κωλύῃ· μὴ δ' ἀφαιρῆται μηθέν· ταχὺ γὰρ, οἱ μὲν, πλουτοῦσιν ἀπ' αὐτῶν, οἱδ' οὐκ ἀπορροῦσιν· ἔτι δὲ τὸ κυρίους εἶναι τῶν ἐλέσθαι, καὶ δοκιμάσαι, αὐτὰ πληροῖ τὴν εὐδαιμονίαν· εἴτε φιλοτιμίας ἔχουσιν· ἐπεὶ πάρεργοις δήμοις, καὶ μὴ μετέχουσι φιλοτιμίας τῶν ἀρχῶν, ἀλλά τινες αἱρετοὶ κατὰ μέρος ἐκ πάντων· ὡς περ ἐν Μαντινείᾳ, τοῦ δὲ βουλεύεσθαι κύριοι ὦσιν, ἱκανῶς ἔχει τοῖς πολλοῖς· καὶ δεῖ νομίζειν καὶ τοῦτ' εἶναι δημοκρατίαν, ὥσπερ

ἐν μαντινείᾳ τοτ' ἦν· διὸ δὴ καὶ συμφέρον ἐστὶ τῇ πρότερον ῥηθείσῃ
δημοκρατίᾳ. Τὸ ὑπάρχειν εἰώθεν αἱρεῖσθαι μὲν τὰς ἀρχὰς ἐν
εὐθύνειν· καὶ δικάζειν πάντας· ἄρχειν δὲ τὰς μεγίστας αἱρε-
τούς· καὶ ἀπὸ τιμημάτων τὰς μείζους, ἀπὸ μειζόνων· ἢ καὶ
ἀπὸ τιμημάτων μὲν μηδεμίαν· ἀλλὰ τοὺς δυναμένους· ἀνά-
γκη δὲ πολιτευομένους οὕτω, πολιτεύεσθαι καλῶς· αἵτε γὰρ
ἀρχαὶ ἀεὶ διὰ τῶν βελτίστων ἔσονται τοῦ δήμου βουλομένου·
καὶ τοῖς πλείκεσιν οὐφθονοῦντος· καὶ τοῖς πλείκεσι καὶ γνωρί-
μοις ἀρκοῦσαν εἶναι ταύτην τὴν τάξιν· ἄρξονται γὰρ οὐχ ὑ-
πάλλων χειρόνων· καὶ ἄρξουσι δικαίως, διὰ τὸ τῶν εὐθυνῶν εἶναι
κυρίους ἑτέρους· τὸ γὰρ ἐπανακρέμασθαι, καὶ μὴ πᾶν ἐξεῖναι
ποιεῖν ὅτι ἂν δόξῃ, συμφέρον ἐστίν· ἡ γὰρ ἐξουσία τοῦ πράττειν
ὅτι ἂν ἐθέλητις, οὐδύναται φυλάττειν τὸ ἐν ἑκάστῳ τῶν ἀνθρώ-
πων φαῦλον· ὥστε ἀναγκαῖον συμβαίνειν ὅπερ ἐστὶν ὠφελι-
ώμταον ἐν ταῖς πολιτείαις, ἄρχειν τοὺς πλείκεις ἀναμαρτή-
τους ὄντας· μὴ δὲ ἐλαττουμένου τοῦ πλήθους· ὅτι μὲν οὖν αὕτη
τῶν δημοκρατιῶν ἀρίστη, φανερόν· καὶ διὰ τίν' αἰτίαν, ὅτι διὰ
τὸ τοιόν τινα εἶναι τὸν δῆμον. Πρὸς δὲ τὸ κατασκευάζειν γεωρ-
γὸν τὸν δῆμον, τῶν τενόμων τινὲς τῶν παρὰ τοῖς πολλοῖς κει-
μένων τὸ ἀρχαῖον, χρήσιμοι πάντες· ἢ τὸ ὅλως μὴ ἐξεῖναι κε-
κτῆσθαι πλείω γῆν μέτρου τινός· ἢ ἀπότινος τόπου, πρὸς τὸ
ἄστυ, καὶ τὴν πόλιν· ἢν δὲ τόγε ἀρχαῖον ἐν πολλαῖς πόλεσι
νενομοθετημένον, μηδὲ πωλεῖν ἐξεῖναι τοὺς πρώτους κλήρους·
ἔστι δὲ καὶ ὃν λέγουσιν ὀξύλου νόμον εἶναι, τοι οὗτόν τι δυνά-
μενος· τὸ μὴ δανείζειν εἴς τι μέρος τῆς ὑπαρχούσης ἑκάστῳ γῆς
νῦν δὲ δεῖ διορθοῦν, καὶ τῷ ἀφυτάλων νόμῳ· πρὸς γὰρ ὃ λέγου-
μεν, ἐστὶ χρήσιμος· ἐκεῖνοι γὰρ καίπερόντες πολλοὶ κεκτη-
μένοι δὲ γῆν ὀλίγην, ὅμως πάντες γεωργοῦσι· τιμῶνται γὰρ
οὐχ ὅλας τὰς κτήσεις· ἀλλὰ κατὰ τηλικαῦτα μόρια διαι-
ροῦντες, ὥστ' ἔχειν ὑπερβάλλειν ταῖς τιμήσεσι καὶ τοὺς πέ-

νητας· μετὰ δὲ τὸ γεωργικὸν πλῆθος, βέλτιστος δῆμος ἐστὶν, ὅπου νομεῖς εἰσὶ καὶ ζῶσιν ἀπὸ βοσκημάτων· πολλὰ γὰρ ἔχει τῇ γεωργίᾳ παραπλησίως· καὶ τὰ πρὸς τὰς πολεμικὰς πράξεις· μάλιστ' οὗτοι γεγυμνασμένοι τὰς ἕξεις καὶ χρήσιμοι τὰ σώματα· καὶ δυνάμενοι θυραυλεῖν· τὰ δ' ἄλλα πλήθη πάντα σχεδὸν ἐξ ὧν αἱ λοιπαὶ δημοκρατίαι συνεστᾶσι, πολλῷ φαυλότερα τούτων· ὁ γὰρ βίος φαῦλος· καὶ οὐθὲν ἔργον μετάρετης ὧν μεταχειρίζεται τὸ πλῆθος· τό, τε τῶν βαναύσων, καὶ τὸ τῶν ἀγοραίων ἀνθρώπων, καὶ τὸ θητικόν· ἔτι δὲ διὰ τὸ περὶ τὴν ἀγορὰν ϛ τὸ ἀστυκυλίεσθαι πᾶν τὸ τοιοῦτον γένος, ὡς εἰπεῖν ῥᾳδίως ἐκκλησιάζει· οἱ δὲ γεωργοῦντες διὰ τὸ διεσπάρθαι κατὰ τὴν χώραν, οὔτ' ἄπαν τῶσιν, οὔθ' ὁμοίως δέονται τῆς συνόδου ταύτης· ὅπου δὲ καὶ συμβαίνει τὴν χώραν τῆς θέσιν ἔχειν τοιαύτην, ὥστε τὴν χώραν πολὺ τῆς πόλεως ἀπηρτῆσθαι, ῥᾳδίον καὶ δημοκρατίαν ποιεῖσθαι χρηστὴν, καὶ πολιτείαν· ἀνασκάζεται γὰρ τὸ πλήθος ἐπὶ τῶν ἀγρῶν ποιεῖσθαι τὰς ἀποικίας· ὥστε δεῖ κἂν ἀγοραῖος ὄχλος ᾖ μὴ ποιεῖν ἐν ταῖς δημοκρατικαῖς ἐκκλησίας, ἄνευ τοῦ κατὰ τὴν χώραν πλήθους· πῶς μὲν οὖν δεῖ κατασκευάζειν τὴν βελτίστην καὶ πρώτην δημοκρατίαν, εἴρηται· φανερὸν δὲ καὶ πῶς τὰς ἄλλας· ἑπομένως γὰρ δεῖ παρεκβαίνειν· καὶ τὸ χεῖρον ἀεὶ πλῆθος χωρίζειν· τὴν δὲ τελευταίαν διὰ τὸ πάντας κοινωνεῖν, οὔτε πάσης ἐστὶ πόλεως φέρειν· οὔτε ῥᾴδιον διαμένειν, μὴ τοῖς νόμοις καὶ τοῖς ἔθεσιν εὖ συγκειμένην· ἃ δὲ φθείρειν συμβαίνει ταύτην ϛ τὰς ἄλλας πολιτείας, εἴρηται πρότερον τὰ πλεῖστα σχεδόν· πρὸς δὲ τὸ καθιστάναι ταύτην τὴν δημοκρατίαν καὶ τὸ δῆμον ποιεῖν ἰσχυρὸν, εἰώθασιν οἱ προεστῶτες ᾧ προσλαμβάνειν ὡς πλείστους, καὶ ποιεῖν πολίτας, μὴ μόνον τοὺς γνησίους, ἀλλὰ καὶ τοὺς ἐξ ὁπότερου οὖν πολίτου, λέγω δὲ οἷον πατρὸς ἢ μητρὸς ἅπαν γὰρ οἰκεῖον τοῦτο τῷ τοιούτῳ δήμῳ μᾶλλον.

εἰώθασι μὴν οἱ δημαγωγοὶ καταστασιάζειν ὅτω δεῖ μὴ μόνον προσλαμβάνειν, μέχρις αὐξῆσαι τὸ πλῆθος τῶν γνωρίμων καὶ τῶν μέσων· ἢ τὸν μὴ πέρα προβαίνειν· ὑπερβάλλοντες γὰρ ἀπεκπίπτειν τὴν ἰσότητα τὴν πολιτείαν. ἔστι δὲ τοῖς γνωρίμοις πρὸς τὸ χαλεπῶς ὑπομένειν τὴν δημοκρατίαν, παροξύνουσι μᾶλλον ὅπερ συμβέβηκε τῆς σεισμοῦ αἴτιον γενέσθαι περὶ κυρήνην· ὀλίγον μὲν γὰρ πνικρὸν, ἀναρροᾶται πολὺ δὲ καὶ μόνον, ἐνοφθαλμοῖς μᾶλλον ὀργή ἐστι· ἢ γὰρ τοιαῦτα κατασκευάσματα χρήσιμα πρὸς τὴν δημοκρατίαν τὴν τοιαύτην· οἷς κλεισθένης τε ἀθηναίοις ἐχρήσατο βουλόμενος αὐξῆσαι τὴν δημοκρατίαν, καὶ περὶ κυρήνην οἱ τοὺς δήμους καθιστάντες· φυλάς τε γὰρ ἑτέρας πλείους καὶ φρατρίας καὶ τὰ ἱδίων ἱερῶν συνακτὸν εἰς ὀλίγα ἀνακοινοῦσθαι πάντα σοφιστέον, ὅπως ἂν ὅτι μάλιστα ἀναμιχθῶσι πάντες ἀλλήλοις· αἱ δὲ συνήθειαι διαζευχθῶσιν αἱ πρότερον· ἔστι δὲ καὶ τὰ τυραννικὰ κατασκευάσματα δημοτικὰ δοκεῖ πάντα· λέγω δ' οἷον ἀναρχία τε δούλων· αὐτὴν δ' ἂν εἴη μέχρι τοῦ συμφέροντος γυναικῶν καὶ παίδων· καὶ τὸ ζῆν ὅπως τις βούλεται παρορᾶν· πολὺ γὰρ ἔσται τὸ τῇ τοιαύτῃ πολιτείᾳ βοηθοῦν· ἥδονται γὰρ τοῖς πολλοῖς, τὸ ζῆν ἀτάκτως ἢ τὸ σωφρόνως· ἔστι δὲ ὁρμὴν τοῦ νομοθέτου καὶ τῶν βουλομένων σωίζειν τινὰ τοιαύτην πολιτείαν, ὁ τὸ καταζῆσαι μέτριον ἔργον, οὐδὲ μόνον, ἀλλ' ὅπως σώζηται μᾶλλον· μίαν γὰρ ἢ δύο ἢ τρεῖς ἡμέρας οὐ χαλεπὸν μεῖναι πολιτευομένους, ὅπως σῶν· διὸ δεῖ περὶ ὧν τιθεώρηται πρότερον τίνες σωτηρίαι, καὶ φθοραὶ τῶν πολιτειῶν, ἐκ τούτων πειρᾶσθαι καταστασιάζειν τὴν ἀσφάλειαν· ὑλαβουμένους μὴ τὰ φθείροντα· τιθεμένους δὲ τοιούτους νόμους καὶ τοὺς ἀγράφους ἢ τοὺς γεγραμμένους, οἳ πλείστον ἁψοῦνται μάλιστα τοῦ σώζοντας τὰς πολιτείας, καὶ μὴ νομίζειν τοῦτ' εἶναι δημοτικὸν, μηδ' ὀλιγαρχικὸν, ὃ τρίσει τὴν πόλιν· ὅτι μάλιστα δημοκρατεῖσθαι ἢ ὀλιγαρχεῖσθαι· ἀλλὰ τὸ πλεῖστον χρόνον.

οἱ δὲ

οἱ δὲ νῦν δημαγωγοὶ χαριζόμενοι τοῖς δήμοις, πολλὰ δημεύ-
ουσι διὰ τῶν δικαστηρίων· διὸ δεῖ πρὸς ταῦτα ἀντιπράττειν τοὺς
κηδομένους τῆς πολιτείας· νομοθετοῦντας μηδὲν εἶναι δη-
μόσιον τῶν καταδικαζομένων καὶ φερόντων πρὸς τὸ κοινὸν,
ἀλλ' ἱερόν· οἱ μὲν γὰρ ἀδικοῦντες, οὐδὲν ἧττον εὐλαβεῖς ἔσονται· ζη-
μιώσουσι γὰρ ὁμοίως· ὁ δ' ὄχλος ἧττον καταψηφιεῖται τῶν κρινο-
μένων λήψεσθαι μηθὲν μέλλων· ἔτι δὲ τὰς γινομένας δημο-
σίας δίκας, ὡς ὀλιγίστας ἀεὶ ποιεῖν μεγάλοις ἀντιμίοις τοὺς
εἰκῆ γραφομένους κωλύοντας· οὐ γὰρ τοὺς δημοτικοὺς, ἀλλὰ τοὺς
γνωρίμους εἰώθασιν εἰσάγειν· δεῖ δὲ καὶ τῇ πολιτείᾳ, πάντας μά-
λιστα μὲν εὔνους εἶναι τοὺς πολίτας· εἰ δὲ μὴ μήτοι γε ὡς πολε-
μίους νομίζειν τοὺς κυρίους· ἐπεὶ δ' αἱ τελευταῖαι δημοκρα-
τίαι πολυάνθρωποί τέ εἰσι, καὶ χαλεπὸν ἐκκλησιάζειν ἀμίσθους,
τοῦτο δ' ὅπου πρόσοδοι μὴ τυγχάνουσιν οὖσαι πολέμιον τοῖς γνω-
ρίμοις· ἀπόρτε γὰρ εἰς φορᾶς καὶ δημεύσεως ἀναγκαῖον γίνεσθαι
καὶ δικαστηρίων φαύλων, ἃ πολλὰς ἤδη δημοκρατίας ἀνέ-
τρεψεν· ὅπου μὲν οὖν πρόσοδοι μὴ τυγχάνουσιν οὖσαι, δεῖ ποιεῖν
ὀλίγας ἐκκλησίας· καὶ δικαστήρια, πολλῶν μὲν ὀλίγας δ' ἡ-
μέρας· τοῦτο γὰρ φέρει μὲν καὶ πρὸς τὸ μὴ φοβεῖσθαι τοὺς πλου-
σίους τὰς δαπάνας· ἐὰν οἱ μὲν εὔποροι μὴ λαμβάνωσι δικα-
στικόν· οἱ δ' ἄποροι· φέρει δὲ καὶ πρὸς τὸ κρίνεσθαι τὰς δίκας πολὺ
βέλτιον· οἱ γὰρ εὔποροι, πολλὰς μὲν ἡμέρας οὐκ ἐθέλουσιν ἀπὸ
τῶν ἰδίων ἀπεῖναι· βραχὺν δὲ χρόνον ἐθέλουσιν· ὅπου δ' εἰσὶ
πρόσοδοι μὴ ποιεῖν ὃ νῦν οἱ δημαγωγοὶ ποιοῦσι· τὰ γὰρ περιόντα
νέμουσι· λαμβάνουσι δὲ ἅμα· καὶ πάλιν δέονται τῶν αὐτῶν· ὁ τε-
τρημένος γὰρ ἐστὶ πίθος ἡ τοιαύτη βοήθεια τοῖς ἀπόροις· ἀλ-
λὰ δεῖ τὸν ἀληθινῶς δημοτικὸν ὁρᾶν, ὅπως τὸ πλῆθος μὴ
λιανάπορον ᾖ· τοῦτο γὰρ αἴτιον τοῦ μοχθηρὰν εἶναι τὴν δημο-
κρατίαν, τεχνασέον οὖν ὅπως ἂν εὐπορία γένοιτο χρόνιος· ἐπεὶ δὲ
συμφέρει τοῦτο καὶ τοῖς εὐπόροις, τὰ μὲν ἀπὸ τῶν προσόδων γινόμενα,

συναθροίζοντ᾽, ἀθρόα χρὴ διανέμειν τοῖς ἀπόροις, μάλιστα μὲν
εἴ τις δύναται τοσοῦτον ἀθροίζων ὅσον εἰς γῆ διοικτῆσιν· εἰ δὲ μὴ,
πρὸς ἀφορμὴν εὐπορίας καὶ γεωργίας· καὶ εἰ μὴ πᾶσιν δυνατὸν,
ἀλλὰ κατὰ φυλὰς ἢ τὶ μέρος ἕτερον ἐν μέρει διανέμειν· ἐν δὲ
τούτῳ πρὸς τὰς ἀναγκαίας συνόδους τοὺς εὐπόρους εἰς φέρειν
τὸν μισθὸν ἐφιεμένους τῶν ματαίων λειτουργιῶν· τοιοῦτον δέ τινα
τρόπον καρχηδόνιοι πολιτευόμενοι φίλον κέκτηνται τὸν δῆμον·
ἀεὶ ἅτινας ἐκπέμποντες τοῦ δήμου πρὸς τὰς περιοικίας, πρι-
οῦσιν εὐπόρους· χαριέντων δ᾽ ἐστὶ τὴν νοῦν ἐχόντων γνωρίμων, καὶ δια
λαμβάνοντας τοὺς ἀπόρους, ἀφορμὰς διδόντας, τρέπειν ἐ-
περγασίας· καλῶς δ᾽ ἔχει μιμεῖσθαι καὶ τὰ ταραντίνων· ἐκεῖνοι
ἃ κοινὰ πριοῦντ᾽ τὰ κτήματα τοῦ ἀπόροις ἐπὶ τὴν χρῆσιν εὔνουν
παρασκευάζουσι τὸ πλῆθος, ἔτι δὲ τὰς ἀρχὰς πάσας ἐπρίησαν
διττάς· τὸν μὲν, αἱρετάς· τὰς δὲ, κληρωτάς· τὰς μὲν κληρωτὸν ὅπερ ὁ δῆμο
αὐτῶν μετέχῃ· τὰς δ᾽ αἱρετὰς, ἵνα πολιτεύωνται βέλτιον· ἔστι δὲ τοῦτο
ποιῆσαι, ἐν τῇ ἀρχῆς αὐτῆς μερίζοντας· τοὺς μὲν κληρωτοὺς,
τοὺς δ᾽ αἱρετούς· πῶς μὲν οὖν δεῖ τὰς δημοκρατίας κατασκευά
ζειν, εἴρηται· σχεδὸν δὲ, ἐν περὶ τὰς ὀλιγαρχίας πῶς δεῖ, φανερὸν
ἐκ τούτων· ἐκ τῶν ἐναντίων γὰρ δεῖ συνάγειν ἑκάστην ὀλιγαρχίαν
πρὸς τὴν ἐναντίαν δημοκρατίαν ἀναλογιζόμενον· τὴν μὲν εὔ-
κρατον μάλιστα τῶν ὀλιγαρχιῶν καὶ πρώτην· αὕτη δ᾽ ἐστὶν ἡ
συνεγγυς τῇ καλουμένῃ πολιτείᾳ, ἣ δεῖ τὰ τιμήματα διαιρῆ·
τὰ μὲν ἐλάττω· τὰ δὲ, μείζω πριοῦντας· ἐλάττω μὲν ἀφ᾽ ὧν τῶν
ἀναγκαίων μεθέξουσιν ἀρχῶν· μείζω δ᾽ ἀφ᾽ ὧν τῶν κυριωτέ
ρων, τῶν τεκτωμένων τὸ τίμημα μετέχειν ὀξ εἶναι τῆς πολι-
τείας· τοσοῦτον εἰσαγομένου τοῦ δήμου πλῆθος διὰ τοῦ τιμή
ματος, μεθ᾽ οὐκ ρείττονες ἔσονται τῶν μὴ μετεχόντων· ἀεὶ δὲ δεῖ
παραλαμβάνειν ἐκ τοῦ βελτίονος δήμου τοὺς κοινωνοὺς· ὁμοῖ δὲ
ἐν τῇ ἐχομένῃ ὀλιγαρχίαν ὑπὸ τείνοντ᾽ δεῖ μικρόν κατασκευάζειν·
τῇ δ᾽ ἀντικειμένῃ τῇ τελευταίᾳ δημοκρατίᾳ τῇ δυναστικω-

τάτη

σις· διαφέρουσι δὲ αὗται αἱ ἕξεις πρὸς τὰς ἄλλας· τῷ φιαῦται
εἶναι· πρὸς δ' ἀλλήλας εἴτι διαφέρουσιν ὕστερον λεκτέον· ὅτι
δ' αἴτιον τὸ τέλος τοῖς ὑφ' αὑτό, δηλοῖ ἡ διδασκαλία· ὁρισά-
μενοι γὰρ τὸ τέλος, τἄλλα δεικνύουσιν, ὅτι ἕκαστον αὐτῶν ἀ-
γαθόν· αἴτιον γὰρ τοῦ οὗ ἕνεκα· οἷον ἐπειδὴ τοῦ ὑγιαίνειν τὸ δὲ.
ἀνάγκη τόδε εἶναι τὸ συμφέρον πρὸς αὐτήν· τὸ δ' ὑγιαίνειν τῆς
ὑγιείας αἴτιον ὡς κινῆσαν· ⁊ τότε τοῦ ἄλλου τὸ ἀγαθὸν
εἶναι τὴν ὑγίειαν· ἔτι οὐδὲ δεικνύουσιν οὐθ' ὅτι ἀγαθὸν
ἡ ὑγίεια ἀν' μὴ σοφιστὴς ἦ καὶ μὴ ἰατρός· οὗτοι ⁊
τοῖς αὐτοτρίοις λόγοις σοφίζονται· ὥσπερ
οὐδ' αὐτὴν ἀρχὴν οὐδεμίαν· τὸ δ' ὡς τέλο
ἀγαθὸν ἀνθρώπῳ, καὶ τὸ ἄριστον
τῶν πρακτῶν, σκεπτέον προσαχῶς
τὸ ἄριστον πάντων, ἐπειδὴ
τοῦ τοάριστον· μετὰ
ταῦτα ἄλληλα
βοῦσιν ἀρ
χήν·

ΤΕΛΟΣ, ΤΟΥ Α.

ΑΡΙΣΤΟΤΕΛΟΥΣ ΗΘΙΚΩΝ ΕΥΔΗΜΙΩΝ, ΤΟΒ'.



ΕΤΑΙ δὲ ταῦτα ἆρ' ἂν λαβοῦσιν ἀρχὴν περὶ τῶν ἐπομένων λεκτέον. ἔστιν δὴ τὰ ἀγαθὰ ἢ ἐκτὸς ἢ ψυχῇ· καὶ τούτων αἱρετώτερα τὰ ἐν τῇ ψυχῇ, καθάπερ διῃρήμεθα ἐν τοῖς ἐξωτερικοῖς λόγοις. φρόνησις γὰρ καὶ ἀρετὴ καὶ ἡδονὴ ἐν ψυχῇ, ὧν ἕνια ἢ πάντα τέλος εἶναι δοκεῖ πᾶσι. τὸ δ' ἐν ψυχῇ, τὰ μὲν ἕξεσι ἢ δυνάμεσί εἰσί· τὰ δ' ἐνέργειαι ἢ κινήσεις. ταῦτα δὴ οὕτως ὑποκείσθω· ἢ περὶ ἀρετῆς ὁπόσον ἐστὶ βελτίστη διάθεσις, ἢ ἕξις ἢ δυνάμεις ἑκάστων, ὅσων ὑπάρχουσι χρήσεις ἢ ἔργον· δῆλον δ' ἐκ τῆς ἐπαγωγῆς· ἐπὶ πάντων γὰρ ὅταν τὶς θῇ μηδὲν οἷον ἱματίου ἀρετὴν ὅτι μὴ ἔργου τινὸς μὴ χρῆσις· ἢ βελτίστη ἕξις τοῦ ἱματίου ἀρετή ἐστιν. ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων καὶ οἰκίας καὶ τῶν ἄλλων· ὥστε καὶ ψυχῆς· ὅταν γάρ τι ἔργον αὐτῆς ᾖ τῆς βελτίονος δὴ ἕξεως ἔσται βέλτιον τὸ ἔργον· καὶ ὧν ἔχουσιν αἱ ἕξεις πρὸς ἄλληλας, ὅταν μὴ τὰ ἔργα τὰ ἀπ' αὐτῶν πρὸς ἄλληλα ἔχῃ· ἢ τέλος ἑκάστου τὸ ἔργον. φανερὸν πρότερον ὅτι βέλτιον τὸ ἔργον τῆς ἕξεως· τὸ δὲ τέλος, ἄριστον ὡς τέλος· ὑπάρχει δὲ

τέλος τὸ βέλτιστον καὶ τὸ ἔσχατον· οὗ ἕνεκα τἄλα πάντα.
ὅτι μὲν τοίνυν τὸ ἔργον βέλτιον τῆς ἕξεως ἢ τῆς διαθέ-
σεως δῆλον· ἀλλὰ τὸ ἔργον λέγεται διχῶς· τῶν μὲν γὰρ ἔστιν
ἕτερόν τι τὸ ἔργον παρὰ τὴν χρῆσιν· οἷον οἰκοδομικῆς οἰκία·
ἀλλ' οὐκ οἰκοδόμησις· καὶ ἰατρικῆς ὑγίεια· ἀλλ' οὐχ ὑγίασις.
οὐδ' ἰάτρευσις· τῶν δ' ἡ χρῆσις ἔργον· οἷον ὄψεως ὅρασις καὶ μα-
θηματικῆς ἐπιστήμης θεωρία· ὥστε ἀνάγκη ὧν ἔργον ἡ-
χρῆσις, τὴν χρῆσιν βελτίον εἶναι τῆς ἕξεως· τούτων δὲ τοῦ-
τον τὸν τρόπον διωρισμένων, λέγω μὲν ὅτι τὸ ἔργον τοῦ πρά-
γματος καὶ τῆς ἀρετῆς ἀλλ' οὐχ ὡσαύτως· οἷον σκυτοτομι-
κῆς καὶ σκυτεύσεως ὑπόδημα· εἰδήτις ἐστὶν ἀρετὴ σκυτι-
κῆς καὶ σπουδαίου σκυτέως, τὸ ἔργον ἐστὶ σπουδαῖον ὑπόδη-
μα· τὸν αὐτὸν δὲ τρόπον καὶ ἐπὶ τῶν ἄλλων· ὅτι ἔστω ψυχῆς
ἔργον, τὸ ζῆν ποιεῖν· τοῦ δὲ χρῆσις καὶ ἐγρήγορσις· ὁ γὰρ ὕπνος
ἀργίατις καὶ ἡσυχία· ὥστε ἐπεὶ τὸ ἔργον ἀνάγκη ἓν καὶ ταυ-
τὸ εἶναι τῆς ψυχῆς καὶ τῆς ἀρετῆς ἔργον ἀνείη, ζωὴ
σπουδαία· τοῦτ' ἄρ' ἐστὶ τὸ πλέον ἀγαθὸν ὅπερ ἦν ἡ εὐδαιμο-
νία· δῆλον δὲ ἐκ τῶν ὑποκειμένων· ἦν μὲν γὰρ ἡ εὐδαιμο-
νία τὸ ἄριστον· τὰ δὲ τέλη ἐν ψυχῇ καὶ τὰ ἄριστα τῶν ἀγα-
θῶν, αὐτὴ δὲ ἡ ἕξις ἡ ἐνέργεια· ἐπεὶ βέλτιον ἡ ἐνέργεια τῆς
διαθέσεως· καὶ τῆς βελτίστης ἕξεως ἡ βελτίστη ἐνέργεια·
ἡ δ' ἄρετη βελτίστη ἕξις· καὶ ἡ ἐκ τῆς ἀρετῆς ἐνέργεια ἢ τῆς
ψυχῆς ἄριστον εἶναι· ἦν δὲ καὶ ἡ εὐδαιμονία τὸ ἄριστον· ἔστιν
ἄρα ἡ εὐδαιμονία, ψυχῆς ἀγαθῆς ἐνέργεια· ἐπεὶ δὲ ἦν ἡ-
εὐδαιμονία τέλεόν τι, καὶ ἔστι ζωὴ καὶ τελέα καὶ ἀτελὴς,
καὶ ἀρετὴ ὡσαύτως· ἡ μὲν γὰρ ὅλη· ἡ δὲ, μόριον· ἡ δὲ τῶν
ἀτελῶν ἐνέργεια ἀτελὴς, εἴη ἂν εὐδαιμονία ζωῆς τελείας
ἐνέργεια κατὰ ἀρετὴν τελείαν· ὅτι δὲ τὸ γένος καὶ τὸν ὅρον

αὐτῆς

αὐτῆς λέγομεν καλῶς. μαρτυροῦσι τὰ δοκοῦντα πᾶσιν ἡμῖν πράττειν καὶ τὸν βίον τὸν αὐτὸν ζῆν εὐδαιμονεῖν. ὧν ἕκαστον χρήσιός ἐστι καὶ ἐνέργεια. καὶ ἡ ζωὴ καὶ ἡ πρᾶξις. καὶ γὰρ ἡ πρακτικὴ χρησική ἐστιν. ὁμοίως γὰρ χαλκεὺς ποιεῖ χαλινόν. χρῆται δ' οἷς ἐποίησε. καὶ τὸν μὴ τιμίαν ἡμέραν εἶναι εὐδαίμονα μήτε παῖδας μήθ' ἡλικίαν ποιοῦσιν. διὸ καὶ τὸν σόλωνος ἐχεκακῶς τὸν μὴ ζῶντ' εὐδαιμονίζειν. ἀλλ' ὅταν λάβωμεν τέλος. οὐθὲν γὰρ ἀτελὲς εὐδαίμον. οὐγὰρ ὅλον. ἔστι δ' οἷς ἐπαινοῖτης ἀρετῆς διὰ τὸ ἔργα καὶ τοὺς ἐγκώμια τῶν ἔργων. καὶ στεφανοῦμεν οἰκῶντες. ἀλλ' ὁ χοίδωρος μόνοις καὶ νικᾶν. μὴ νικῶντας ἢ καὶ τὸ κρίνειν ἐκ τῶν ἔργων. ὁποῖός τίς ἐστιν. ἔστι. διὰ τί ἡ εὐδαιμονία ἀκέπαινεῖται. ὅτι διὰ ταύτην τὴν τοῦλα. ἢ τῷ εἰς ταύτην ἀναφέρεσθαι. ἢ τῷ μόρια εἶναι αὐτῆς. δύο ἕτερον εὐδαιμονισμός. καὶ ἔπαινος καὶ ἐγκώμιον. τὸ μὲν γὰρ ἐγκώμιον λόγος τοῦ καθ' ἕκαστον ἔργου. ὁδ' ἔπαινος. τοιοῦτον εἶναι καθόλου. ὁδ' εὐδαιμονισμὸς τέλος. καὶ τὸ ἀπορούμενον δ' ἐνίοτε δῆλον ἐκ τῶν διὰ τί πρὸ τῶν βελτίους οἰόμεθα δεῖν φαύλων τὸ ἥμισυ τοῦ βίου. ὁμοίως καθεύδοντας πάντας. αἴτιον δ' ὅτι ἀρά ἐστιν ψυχῆς οὐ πνοή. ἀλλ' ἐνέργεια. διὸ καὶ ὅσῳ ἐστὶ μόριόν τι ψυχῆς οἷον τὸ θρεπτικόν. ἡ τοιαύτην ἀρετή. οὐκ ἔστι μόριον τῆς ὅλης ἀρετῆς. ὡς περ οὐδ' ἡ τοῦ σώματος. ἐν τῷ ὕπνῳ γὰρ μάλιστα ἐνεργεῖ τὸ θρεπτικόν. τὸ δ' αἰσθητικὸν καὶ ὀρεκτικὸν. ἀτελῶς ἐν τῷ ὕπνῳ. ὅσον δὲ τοῦ μὴ κινεῖσθαι μετέχουσι. καὶ αἱ φαντασίαι βελτίους αἱ τῶν ἀσυνδέτων. ἐὰν μὴ διὰ νόσον ἢ τοιαύτην. μετὰ ταῦτα τοίνυν ψυχῆς θεωρητέον. ἡ γὰρ ἀρετὴ ψυχῆς ἀκατὰ συμβεβηκός. ἐπεὶ δ' ἀνθρωπίνην ἀρετὴν ζητοῦμεν. ὑπῆρχεί ἄρα δύο μέρη ψυχῆς

τὰ λόγου μετέχοντα. οὐτὸν αὐτὸν δὲ τρόπον μετέχειν λόγου ἄμφω. ἀλλὰ τὸ μὲν, τῷ ἐπιτάττειν. τὸ δὲ, τῷ πείθεσθαι. καὶ ἀκούειν πφυκέναι. εἰ δέ τι ὄντιν ἑτέρως ἄλογον, ἀφείσθω τοῦτο τὸ μόριον. διαφέρει δ' οὐθὲν οὐ τέμνεσθαι ἡ ψυχή, οὔτε τὰ μέρη. ἔχει μὲν τοι δυνάμεις διαφόρους ἔνια τὰς εἰρημένας. οἷον περ ἐν τῷ καμπύλῳ τὸ κοῖλον καὶ τὸ κυρτὸν ἀδιαχώριστον. ἢ τὸ ὠθεῖν καὶ τὸ λευκὸν. καίτοι τὸ ὠθεῖν οὐλευκόν. ἀλλὰ κατὰ συμβεβηκός. καὶ οὐσία τοῦ αὐτοῦ. ἀφῄρηται δὲ καὶ ἔτι τὸ μόδιον μέρος ψυχῆς. οἷον τὸ φυτικόν. ἀνθρωπίνης δὲ ψυχῆς τὰ εἰρημένα μόρια ἴδια. διὸ δ' αἱ ἀρεταὶ αἱ τοῦ θρεπτικοῦ καὶ ὀρεκτικοῦ αὐτοῦ. δεῖ γὰρ εἶναι τὸν ἔπαινον λόγιόν μὲν ἐνεῖναι καὶ ἀρχὴν καὶ πρᾶξιν. ἀρχὴ δ' ὁ λογισμὸς οὐλογισμοῦ. ἀλλ' ὀρέξεως ἢ παθημάτων. ἀναίκη ἄρα ταῦτ' ἔχειν τὰ μέρη. ἢ ὥσπερ ἡ ὠξία σύγκειται ἐκ τῶν κατὰ μόριον ἀρετῶν, οὕτω καὶ ἡ τῆς ψυχῆς ἀρετή, ἢ τέλος. ἀρετῆς δὲ εἴδη δύο. ἡ μὲν, ἠθική. ἡ δὲ, διανοητική. ἐπαινοῦμεν γὰρ ὁ μόνον τοὺς δικαίους ἀλλὰ καὶ τοὺς σώφρονας καὶ τοὺς σοφούς. ἐπαινετὸν γὰρ ὑπόκειται ἡ ἀρετὴ ἢ τὸ ἔργον. ταῦτα δ' οὐκ ἐνέργεια. ἀλλ' εἰσὶν αὐτῶν ἐνέργειαι. ἐπεὶ δ' αἱ διανοητικαὶ μετὰ λόγου, αἱ μὲν τοιαῦται τοῦ λόγου ἔχουσαι ὁ ἐπιτακτικόν ὄντι τῆς ψυχῆς ἢ λόγον ἔχει. αἱ δ' ἠθικαὶ τοῦ ἀλόγου μέν, ἀκολουθητικοῦ δὲ κατὰ φύσιν τῷ λέγειν τι. οὐδὲ λέγομεν ἐπιεικῆ ὅστις τὸ ἦθος, ὅτι σοφὸς ἢ δεινός. οὐδ' ὅτι πρᾶος ἢ θρασύς. μετὰ ταῦτα σκεπτέον περὶ ἀρετῆς ἠθικῆς τί ὄντι, ἢ ποῖα μόρια αὐτῆς. εἰσὶ γὰρ ἀνίκατοι ἢ πίνε τινὲς διάφοροι. δεῖ δὴ ζητεῖν ὥσπερ χρῆσις ἄλλοις ἔχουσί τι ζητοῦσι φάντασ. ὥστε δεῖ διὰ τῶν ἀληθῶς μὲν λεγομένων οὐσαφῶς δὲ, πειρᾶσθαι λαβεῖν καὶ τὸ ἀληθῶς καὶ σαφῶς

καὶ σαφῶς. μᾶλλον γὰρ ὁμοίως ἐχόμενα ὥσπερ ἂν εἰ καὶ ὑγίεια. ὅτι ἡ ἀρίστη διάθεσις τοῦ σώματος. καὶ κρίσις ὀφθῆναι ἂν ἡ ἰατρός. μελλόντοιν τοῦτος. τί μὲν γὰρ ἑκάτερον τούτων, οὐκέτι σμεν πρὸς μὲν τοι τὸ εἰδέναι τί ἑκάτερον αὐτῆς πρὸ ἔργου τὸ οὕτως ἔχειν. ὑποκείσθω δὴ πρῶτον ἡ βελτίστη διάθεσις ὑπὸ τῶν βελτίστων γίνεσθαι, καὶ πράττεσθαι ἀρίστως ἐοικεν ἑκάστου ἀρετῆς. οἷον πόροις τε ἄρισοι καὶ ζοφή. ἀφ' ὧν γάρ ἐστιν ὠξία. καὶ ἀπὸ τῆς ὠξίας πονῆσιν ἄρισε. ἔτι ὡσαύτως διάθεσιν, ὑπὸ τῶν αὐτῶν γίνεσθαι καὶ φθείρεσθαί πως πρὸς φερομένων. ὥς περ ὑγίεια ὑπὸ ζοφῆς καὶ πόρων καὶ ὥρας. ταῦτα δὲ δῆλα ἐκ τῆς ἐπαγωγῆς. καὶ ἡ ἀρετὴ ἄρα ἡ τοιαύτη διάθεσις ἐστὶν ἡ γίνεται ὑπὸ τῶν ἀρίστων περὶ ψυχὴν καὶ πόνους. καὶ ἀφ' ἧς πράττεται τοὺς ἄρισε τῆς ψυχῆς ἔργας καὶ πάθη. καὶ ὑπὸ τῶν αὐτῶν ὡῶς μὲν γίνεται. ὡῶς δὲ φθείρεται. πρὸς ταῦτα δ' ἡ χρῆσις αὐτῆς ὑφ' ὧν ἂν αὔξεται καὶ φθείρεται πρὸς ἀβέλτιστα διατίθησι σημεῖον δ' ὅτι περὶ ἡδέα καὶ λυπηρὰ καὶ ἡ ἀρετὴ καὶ ἡ κακία. αἱ γὰρ κολάσεις ἰατρεῖαι οὖσαι. καὶ γίνόμεναι διὰ τῶν ἐναντίων καθάπερ ἐπὶ τῶν ἄλλων διὰ τούτων εἰσὶν. ὅτι δὲ φύσει μὲν ἡ ἠθικὴ ἀρετὴ περὶ ἡδέα ἐστὶ λυπηρὰ δῆλον. ἐπεὶ δίδοται τὸ ἦθος ὥς περ καὶ τὸ ὄνομα σημαίνει, ὅτι ἀπὸ ἔθους ἔχει τὴν ἐπίδοσιν. ἐθίζεται δ' ὑπὸ ζοφῆς μὴ ἐμφύτου τῷ πολλάκις κινεῖσθαί πως, οὕτως ἤδη τὸ ἐνεργητικόν. ὃ ἐν ταῖς ψυχαῖς οὐχ ὁρῶμεν. οὐδὲ γὰρ ἂν μυριάκις ῥίψῃς ἄνω τὸν λίθον, οὐδέποτε ποιήσει τοῦτο μὴ βία. διὸ ἔσω ἦθος τοῦτο ψυχῆς κατὰ ἐπιτακτικὸν λόγον. δυνάμενον ἀκολουθεῖν ποιότης. λεκτέον δὲ καθ' ἕκαστόν τι τῆς ψυχῆς ποιᾶ ἅπτεται. ἔσται δὲ καθ' ἕκαστα τὰς διαιρέσεις τῶν παθημάτων καθ' ἃς πάθητικοὶ λέγονται. καθ' ἃ τὰ τοιαῦτα ἕξις

πρὸς τὰ πάθη λέγονται ταῦτα τῷ πάσχειν πῶς, ἢ ἀπαθεῖς εἶναι
μετὰ ταῦτα ἡ διαίρεσις ἐν τοῖς ἀπηλεγμένοις τῶν πα-
θημάτων καὶ τῶν δυνάμεων καὶ τῶν ἕξεων· λέγω δὲ πάθη
μὲν τὰ τοιαῦτα. θυμὸν· φόβον· αἰδῶ· ἐπιθυμίαν· ὅλως
οἷς ἕπεται ὡς ἐπὶ τὸ πολύ ἡ αἰσθητικὴ ἡδονὴ ἢ λύπη κα-
θ' αὑτά· καὶ κατὰ μὲν ταῦτα οὐκ ἔστι ποιότης, ἀλλὰ πάσχει·
κατὰ δὲ τὰς δυνάμεις, ποιότης· λέγω δὲ τὰς δυνάμεις
καθ' ἃς λέγονται κατὰ πάθη οἱ ἐνεργοῦντες· οἷον ὀργίλος·
ἀνάλγητος· ἐρωτικὸς· αἰσχυντηλὸς· ἀναίσχυντος· ἕξεις δὲ
εἰσιν, ὅσαι αἰτιαί εἰσι τοῦ ταῦτα ἢ κατὰ λόγον ὑπάρχειν ἢ
ἐναντίως· οἷον ἀνδρεία· σωφροσύνη· δειλία· ἀκολασία· διωρι-
σμένῃ δὲ τούτων λεπτέον ὅτι ἐν ἅπαντι συνεχεῖ διαιρετῷ
ἐστιν ὑπεροχὴ καὶ ἔλλειψις καὶ μέσον· καὶ ταῦτα ἢ πρὸς ἄλ-
ληλα ἢ πρὸς ἡμᾶς· οἷον ἐν γυμναστικῇ· ἐν ἰατρικῇ· ἐν οἰκο-
δομικῇ· ἐν κυβερνητικῇ καὶ ἐν ὁποιαοῦν πράξει καὶ ἐπιστη-
μονικῇ καὶ ἀνεπιστημονικῇ καὶ τεχνικῇ καὶ ἀτέχνῳ· ἡ μὲν
γὰρ κίνησις, συνεχὲς· ἡ δὲ πρᾶξις κίνησις· ἐν πᾶσι δὲ τὸ μέσον
τὸ πρὸς ἡμᾶς βέλτιστον ὡς ἐστήμηκε λώει καὶ ὁλόγος· παν-
ταχοῦ δὲ τοῦτο καὶ ποιεῖ τὴν βελτίστην ἕξιν· καὶ τοῦτο
δῆλον διὰ τῆς ἐπαγωγῆς καὶ τοῦ λόγου· τὰ γὰρ ἐναντία
φθείρει ἄλληλα· τὰ δ' ἄκρα καὶ ἀλλήλοις καὶ τῷ μέσῳ
ἐναντία· τὸ γὰρ μέσον ἑκάτερον πρὸς ἑκάτερόν ἐστιν· οἷον
ἴσον τοῦ μὲν ἐλάττονος μεῖζον· τοῦ μείζονος δὲ ἔλαττον·
ὡς τἂν ἀγκητὴν ἠθικὴν περὶ μέσα ἔτα εἶναι καὶ μεσότητα
τινά· λεπτέον ἄρα ποία μεσότης ἀρετὴ· καὶ περὶ ποῖα
μέσα· εἰλήφθω δὴ παραδείγματος χάριν καὶ θεωρείσθω
ἕκαστον ἐκ τῆς ὑπογραφῆς ὀργιλότης· ἀναλγησία· πραότ·
θρασύτης· δειλία· ἀνδρεία· ἀναιχυντία· κατάπληξις· αἰδώς

ἀκολασία

ἀκολασία· ἀναισθησία· σωφροσύνη· σώφρονος· ἀνώνυμος· νέμεσις· κέρδος· ζημία· δίκαιον· ἀσωτεία· ἀνελευθερία· ἐλευθεριότης· ἀλαζονεία· εἰρωνεία· ἀλήθεια· κολακεία· ἀπέχθεια· φιλία· ἀρέσκεια· αὐθάδεια· σεμνότης· τρυφερότης· κακοπάθεια· καρτερία· χαυνότης· μικροψυχία· μεγαλοψυχία· δαπανηρία· μικροπρέπεια· μεγαλοπρέπεια· πανουργία· εὐήθεια· φρόνησις· τὰ μὲν πάθη ταῦτας τὰ τοιαῦτα, συμβαίνει ταῖς ψυχαῖς· πάντα δὲ λέγεται τὰ μὲν τῷ ὑπερβάλλειν· τὰ δὲ τῷ ἐλλείπειν· ὀργίλος μὲν γὰρ ἐστιν ὁμᾶλλον ἢ δεῖ ὀργιζόμενος· καὶ θᾶττον καὶ πλείοσιν ἢ οἷς δεῖ· ἀνάλγητος δὲ, ὁ ἐλλείπων καὶ οἷς καὶ ὅτε καὶ ὡς· θρασὺς δὲ ὁ μήτε ἃ χρὴ φοβούμενος μήθ' ὅτε μήθ' ὡς· δειλὸς δὲ, ὁ τὰ μὴ δεῖ καὶ ὅτ' οὐ δεῖ· καὶ ὡς οὐ δεῖ· ὁμοίως δὲ καὶ ὁ ἀκόλαστος καὶ ἐπιθυμητικὸς καὶ ὑπερβάλλων πᾶσιν ὅσοις ἐνδέχεται· ἀναίσθητος δὲ ἐλλείπων, καὶ μὴ δ' ὅσον βέλτιον καὶ κατὰ τὴν φύσιν ἐπιθυμῶν· ἀλλ' ἀπαθὴς ὥσπερ λίθος· κερδαλέος δὲ, ὁ πανταχόθεν πλεονεκτικός· ζημιώδης δὲ, ὁ μηδαμόθεν ἀλλ' ὀλιγαχόθεν· ἀλαζὼν δὲ ὁ πλείω τῶν ὑπαρχόντων πρὸς ποιούμενος· εἴρων δὲ ὁ ἐλάττω· τὰ κόλαξ μὲν ὁ πλείω συνεπαινῶν ἢ καλῶς ἔχει· ἀπεχθητικὸς δὲ ἐλάττω· καὶ τὸ μὲν λίαν πρὸς ἡδονὴν ἀρέσκεια· τὸ δ' ὀλίγα καὶ μόγις αὐθάδεια· ἔτι δ' ὁ μὲν μηδεμίαν ὑπομένων λύπην μὴ δ' εἰ βέλτιον τρυφερός· ὁ δὲ πᾶσαν ὁμοίως ὡς μὲν ἁπλῶς εἰπεῖν ἀνώνυμος· μεταφορᾷ δὲ λέγεται σκληρὸς καὶ ταλαίπωρος καὶ κακοπαθητικός· χαῦνος δ' ὁ μειζόνων ἀξιῶν αὐτὸν· μικρόψυχος δ' ὁ ἐλαττόνων· ἔτι δ' ἄσωτος ὁ πρὸς ἅπασαν δαπάνην ὑπερβάλλων· ἀνελεύθερος δὲ ὁ πρὸς ἅπασαν ἐλλείπων· ὁμοίως δὲ καὶ ὁ μικροπρεπὴς καὶ ὁ σαλάκων· ὁ μὲν γὰρ ὑπερκάλλει τὸ πρέπον· ὁ δ' ἐλλείπει τοῦ πρέποντος·

καὶ ὁ μὲν πανοῦργος πάντως καὶ πάντοθεν πλεονεκτικός· ὁδὲ ὠμὸς ὀδὲ ὄθεν δεῖ φθονερὸς δὲ, τῷ λυπεῖσθαι ἐπὶ πλείοσιν ὧν πραγίας ἦδεῖ· καὶ γὰρ οἱ ἄξιοι ὧν πράττειν, λυποῦσιν οὓς φθονεροὺς ὧν πράττοντας· ὁδὲ ζηλωτὸς ἀνωνυμώτερος· ὅθεν ὁ οὐ περβάλλων, ἐστὶ τῷ μὴ λυπεῖσθαι μὴ δ' ἐπὶ τοῖς ἀναξίοις ὧν πράττουσιν· ἀλλ' ὁ χρηστὸς ὥς περ οἰκαστέον μαρτυρεῖ πρὸς ξοφῆν· ὁδὲ ὁ μοχθηρὸς κατὰ τὸν φθόνον ὅτι· τὸ γὰρ πρὸς ἕκαστον μὴ κατὰ συμβεβηκὸς οὕτως ἔχειν, πιεέργειν διορίζειν· οὐδὲ μία γὰρ ἐπιστήμη οὔτε θεωρητικὴ οὔτε ποιητικὴ, οὔτε λέγει οὔτε πράττει τοῦτο προσδιοείζουσα· ἀλλὰ τοῦτο ἐστὶ πρὸς τὰς συκοφαντίας τῶν τεχνῶν τὰς λογικάς· ἁπλῶς μὲν οὖν διωρίσθω τὸν ζῆλον τοῦτον· ἀκριβέστερον δὲ ὅταν περὶ τῶν ἕξεων λέγωμεν τῶν ἀνθρωπίνων· αὐτῶν δὲ τούτων τῶν παθημάτων, εἰδὴ καὶ τὸν ὁμάζεται τῷ διαφέρειν κατὰ τὴν ὑπερβολὴν ἢ χρόνῳ ἢ ῥᾳδιουργίᾳ μᾶλλον ἢ πρός τι τῶν προϋπαρχόντων τὰ πάθη· λέγω δ' οἷον ὀξύθυμος μὲν ὁ ζῆλος πάσχειν ἦδεῖ· χαλεπὸς δὲ, καὶ θυμώδης τῷ μᾶλλον· πικρὸς δὲ τῷ φυλακτικὸς εἶναι τῆς ὀργῆς· πλήκτης δὲ καὶ λοιδορητικὸς· ταῖς κολάσεσι ταῖς ἀπὸ τῆς ὀργῆς· ὀψοφάγοι δὲ καὶ παιδεραστίαν ἔχουσιν οἱ μὴ ὀφλυγεῖς τὸ πρὸς ὁποτέρας τροφῆς ἀπόλαυσιν ἔχειν τὴν δύναμιν ποιητικὴν παρὰ τὸν λόγον, διὰ ἄγνοιαν ὅτι ἐνίων τῶν λεγομένων οὐκ ἔστιν ἐν τῷ πῶς λαμβάνειν ἀλλ' ὅσα λαμβάνηται τῷ μᾶλλον πάσχειν, οἷον μοιχὸς ὀζῷ μᾶλλον ἦδεῖ πρὸς τὰς γαμετὰς πλησιάζειν· οὐ γάρ ἐστιν ἀλλὰ μοχθηρία τις αὐτὴ ἡ ὅτι· σωφρονικὸν γὰρ τό, τι πάθος λέγεται καὶ τὸ τοιοῦδε εἶναι· ὁμοίως δὲ καὶ ὕβρις· διὸ καὶ ἀμφισβητοῦσι· συγγενέσθαι μὲν φάσκοντες ἀλλ' οὐ μοιχεῦσαι· ἀγνοοῦντες γὰρ ἢ ἀναγκαζόμενοι· καὶ παιδεραστῆσαι μὲν, ἀλλ' οὐ χυδεῖσαι· ὁμοίως δὲ καὶ ἐπὶ τὰ ἄλλα τὰ τοιαῦτα· εἰλημμένων δὲ τούτων μετὰ ταῦτα λεκτέον· ὅτι ἐπεὶ δὴ δύο μέρη τῆς ψυχῆς· ἐν αἷς ἀρεταί κατὰ τὰ ταύτας ἡ ἕξις καὶ αἱ μὲν τοῦ λόγου

ἔχον τος

ἔχοντος διανοητικαὶ ὧν ἔργον ἀλήθεια· ἢ περὶ τοι πῶς ἔχει
ἢ περὶ γενέσεως αἱ δὲ τοι ἀλόγου ἔχοντος δ' ὄρεξιν. οὐ γὰρ ὅτι
οὖν μέρος ἔχει ψυχῆς ὄρεξιν εἰμεριστή ἐστιν· ἀνάγκη δὴ φαῦλον
τὸ ἦθος καὶ σπουδαῖον εἶναι· τῷ διώκειν καὶ φεύγειν ἡδονάστι-
νας καὶ λύπας· δῆλον δὲ τοῦτο ἐκ τῶν διαιρέσεων τῶν περὶ
τὰ πάθη καὶ τὰς δυνάμεις καὶ τὰς ἕξεις· αἱ μὲν γὰρ δυνά
μεις καὶ αἱ ἕξεις τῶν παθημάτων· τὰ δὲ πάθη λύπῃ καὶ ἡδονῇ
διώρισται· ὥστε διά τε ταῦτα καὶ διὰ τὰς ἔμπροσθεν θέσεις, συμ-
βαίνει πᾶσαν ἠθικὴν ἀρετὴν περὶ ἡδονὰς εἶναι καὶ λύπας· πά-
σης γὰρ ψυχῆς ὑφ' οἵων πέφυκε γίνεσθαι χείρων καὶ βελτίων
πρὸς ταῦτά ἐστιν ἡ ἡδονή· δι' ἡδονὰς δὲ καὶ λύπας φαύλους εἶναι,
τῷ διώκειν καὶ φεύγειν, ἢ ὡς μὴ δεῖ· ἢ ἃς μὴ δεῖ· διὸ καὶ διορίζον-
ται πάντες προχείρως ἀπάθειαν καὶ ἠρεμίαν, περὶ ἡδονὰς
καὶ λύπας εἶναι τὰς ἀρετάς· τὰς δὲ κακίας ἐκ τῶν ἐναντίων·
ἐπεὶ δ' ὑπόκειται ἀρετὴ εἶναι ἡ τοιαύτη ἕξις ἀφ' ἧς πρακτι-
κοὶ τῶν βελτίστων, καὶ καθ' ἣν ἄριστα διάκειν ται περὶ τὸ βέλτι
στον, βέλτιστον δὲ καὶ ἄριστον τὸ κατὰ τὸν ὀρθὸν λόγον, τοῦτο
δ' ἐστὶ τὸ μέσον ὑπερβολῆς καὶ ἐλλείψεως τῆς πρὸς ἡμᾶς, ἀνα-
γκαῖον ἂν εἴη τὴν ἠθικὴν ἀρετὴν τὴν καθ' αὑτὸν ἕκαστον μεσό-
τητα εἶναι· ἢ περὶ μέσαττα ἐν ἡδοναῖς καὶ λύπαις καὶ ἡδέσι
καὶ λυπηροῖς· ἔσται δὴ μεσότης· ὁ τὲ μὲν ἐν ἡδοναῖς καὶ γὰρ ὑ-
περβολὴ καὶ ἔλλειψις· ὁ τὲ δ' ἐν λύπαις, ὁ τὲ δ' ἐν ἀμφοτέ-
ραις· ὁ γὰρ ὑπερβάλλων τῷ χαίρειν τῷ ἡδεῖ ὑπερβάλλει· καὶ
ὁ τῷ λυπεῖσθαι τῷ ἐναντίῳ· καὶ ταῦτα ἢ ἁπλῶς ἢ πρόστινα
ὅρον· οἷον ὅταν μὴ ὡς οἱ πολλοί· ὁ δ' ἀγαθὸς ὡς δεῖ· ἐπεί δ' ἐστί
τις ὄξις ἀφ' ἧς τοιοῦτος ἔσται ὁ ἔχων αὐτὴν ὥστε τοῦ αὐτοῦ
πράγματος οὗ μὲν ἀποδέχεσθαι τὴν ὑπερβολὴν, οὗ δὲ τὴν ἔλλει
ψιν, ἀνάγκη ὡς ταῦτα ἀλλήλοις ἐναντία καὶ τῷ μέσῳ, οὕτω καὶ
τὰς ἕξεις ἀλλήλαις ἐναντίας εἶναι καὶ τῇ ἀρετῇ· συμβαίνει
μὲν τοι τὰς ἀντιθέσεις ἐνθαμὲν φανερωτέρας εἶναι πάσας

ἔνθα δὲ τὰς ἐπὶ τὴν ὑπερβολήν· ἐνιαχοῦ δὲ τὰς ὑπὲρ τὴν ἔλλει-
ψιν· αἴτιον δὲ τῆς ἐναντιώσεως, ὅτι οὐκ ἀεὶ ὑπὲρ ταυτὰ τῆς ἀνισό-
τητος ἢ ὁμοιότητος πρὸς τὸ μέσον· ἀλλ' ὁτὲ μὲν θᾶττον ἂν μετα-
βαίη ἀπὸ τῆς ὑπερβολῆς ὑπὲρ τὴν μέσην ἕξιν· ὁτὲ δ' ἐπὶ τῆς ἐλ-
λείψεως ἧς πλέον ἀπέχει, οὗτος δοκεῖ ἐναντιώτερος εἶναι· οἷον
καὶ περὶ τὸ σῶμα· ἐν μὲν τοῖς πόνοις ὑγιεινότερον ἡ ὑπερβολὴ
τῆς ἐλλείψεως καὶ ἐπ' ὑτέρον τοῦ μέσου· ἐν δὲ τῇ τροφῇ ἡ ἔλλειψις
ὑπερβολῆς· ὥστε καὶ αἱ προαιρετικαὶ ἕξεις αἱ φιλογυμναστι-
καὶ, φιλουγιεῖς μᾶλλον ἔσονται καθ' ἑκατέραν τὴν αἵρεσιν·
ἔνθα μὲν οἱ πολυπονώτεροι, ἔνθα δ' οἱ ὑποστατικώτεροι· καὶ
ἐναντίως τῷ μετρίῳ καὶ τῷ ὡς ὁλόγος· ἔνθα μὲν ὁ ἄπονος· καὶ
οὐκ ἄμφω· ἔνθα δὲ καὶ ὁ ἀπολαυστικὸς καὶ οὐχ ὁπεινητικός· συμ-
βαίνει δὲ τοῦτο, διότι ἡ φύσις εὐθὺς οὐ πρὸς ἅπαντα ὁμοίως ἀ-
φέστηκε τοῦ μέσου· ἀλλ' ἧττον μὲν φιλόπονοι ἐσμέν· μᾶλλον
δὲ ἀπολαυστικοί· ὁμοίως δὲ ταῦτ' ἔχει καὶ περὶ ψυχῆς· ἐναντία τὴν
τίθεμεν τὴν ἕξιν, ἐφ' ἥντε ἁμαρτάνομεν μᾶλλον καὶ ἐφ' ἧν
οἱ πολλοί· ἡ δ' ἑτέρα ὥσπερ οὐκ οὖσα λανθάνει· διὰ γὰρ τὸ ὀλί-
γον ἀναίσθητός ἐστιν· οἷον ὀργὴν πραότητα· καὶ τὸν ὀργίλον τῷ
πράῳ· καίτοι ἐστὶν ὑπερβολὴ, καὶ ὑπὲρ τῷ ἵλεων εἶναι, καὶ τῷ κα-
ταλλακτικὸν εἶναι· καὶ ὀργίζεσθαι ῥαπιζόμενον· ἀλλ' ὀλίγοι
οἱ τοιοῦτοι· ἐπ' ἐκεῖνο δὲ πάντες ῥέπουσι μᾶλλον· διὸ καὶ οὐκ
λακικὸν ὁ θυμός· ἐπεὶ δ' εἴληπται ἡ διαλογὴ τῶν ἕξεων καθ' ἕκα-
στα τὰ πάθη, καὶ αἱ ὑπερβολαὶ καὶ ἐλλείψεις καὶ τῶν ἐναντίων
ἕξεων καθ' ἃς ἔχουσι κατὰ τὸν ὀρθὸν λόγον· τίς δ' ὀρθὸς λό-
γος, καὶ, πρὸς τίνα δεῖ ὅρον ἀποβλέπονταις λέγειν τὸ μέσον, ὕ-
στερον ἐπισκεπτέον· φανερὸν δ' ὅτι πᾶσαι αἱ ἠθικαὶ ἀρεταὶ
καὶ κακίαι περὶ ἡδονῶν καὶ λυπῶν ὑπερβολαὶ καὶ ἐλλείψεις
εἰσί· καὶ ἡδοναὶ καὶ λύπαι ἀπὸ τῶν εἰρημένων ἕξεων καὶ πα-
θημάτων γίνονται· ἀλλὰ μὴν ἥ γε βελτίστη ἕξις ἡ περὶ ἕκαστα,
μέση ἐστί· δῆλον τοίνυν ὅτι αἱ ἀρεταὶ ἢ πᾶσαι ἢ τούτων τινὲς

ἔσονται

ἔσονται τῶν μεσοτήτων. λάβω μὲν οὖν ἄλλην ἀρχὴν τῆς ἐπι-
ούσης σκέψεως. εἰσὶ δὴ πᾶσαι μὲν αἱ οὐσίαι, κατὰ φύσιν
τινὲς ἀρχαί. διὸ καὶ ἑκάστη πολλὰ δύναται τοιαῦτα γενέσθαι
οἷον ἄνθρωπος ἀνθρώπους. καὶ ζῶον ὂν ὅλως ζῶα. καὶ φυτὸν
φυτά. πρὸς δὲ τούτοις ὅγ' ἄνθρωπος, καὶ πράξεων τινῶν ἐστιν ἀρ-
χὴ μόνον τῶν ζώων. τῶν γὰρ ἄλλων οὐθὲν εἴπρι μὲν ἂν πράττειν.
τῶν ἀρχῶν ὅσαι τοιαῦται, ὅθεν πρῶτον αἱ κινήσεις κύριαι λέ-
γονται. μάλιστα δὲ δικαίως ἀφ' ὧν μὴ ἐνδέχεται ἄλλως. ἢν ἴσως
ὁθεὸς ἄρχει. ἐν δὲ ταῖς ἀκινήτοις ἀρχαῖς οἷον ἐν ταῖς μαθη-
ματικαῖς οὐκ ἔστι τὸ κύριον. καίτοι λέγεταί γε καθ' ὁμοιότητα.
καὶ γὰρ ἐνταῦθα κινουμένης τῆς ἀρχῆς, πάντα μάλιστ' ἂν τὰ
δεικνύμενα μεταβάλλοι. αὐτὰ δ' αὐτὰ οὐ μεταβάλλει. ἀναι-
ρουμένου θατέρου ὑπὸ θατέρου ἂν μὴ τῷ τὴν ὑπόθεσιν ἀνελεῖν
καὶ δι' ἐκείνης δεῖξαι. ὁ δ' ἄνθρωπος ἀρχὴ κινήσεως τινός. ἡ γὰρ
πρᾶξις κίνησις. ἐπεὶ δὼς περ ἐν τοῖς ἄλλοις ἡ ἀρχὴ αἰτία ἐστὶ
τῶν δι' αὐτὴν ὄντων ἢ γινομένων, δεῖν οὖσαι καθάπερ ἐπὶ τῶν
ἀποδείξεων. εἰ γὰρ ἔχοντος τοῦ τριγώνου δύο ὀρθὰς, ἀνάγκη
τὸ τετράγωνον ἔχειν τέτταρας ὀρθὰς, φανερὸν ὡς αἴτιον τού-
του, τὸ δύο ὀρθὰς ἔχειν τὸ τρίγωνον. εἰ δέ γε μεταβάλλει τὸ τρί-
γωνον, ἀνάγκη καὶ τὸ τετράγωνον μεταβάλλειν οἷον εἰ τρεῖς
ἕξ, εἰ δὲ τέτταρες ὀκτὼ. κἂν μὴ μεταβάλλοι, τοιοῦτον δ' ἐστὶ.
κἀκεῖνο, τοιοῦτον ἀναγκαῖον εἶναι. δῆλον δ' ὃ ἐπιχειροῦμεν ὅτι
ἀναγκαῖον ἐκ τῶν ἀναλυτικῶν. νῦν δ' οὔτε μὴ λέγειν οὔτε λέ-
γειν ἀκριβῶς οἷόν τε. πλὴν τοσοῦτον εἰ γὰρ μηθὲν ἄλλο αἴτιον
τοῦ, τὸ τρίγωνον οὕτως ἔχειν, ἀρχή τις ἂν εἴη τοῦτο, καὶ αἴτιον
τῶν ὑστέρων. ὡς τεῖ περ ἐστὶν ἔνια τῶν ὄντων ἐνδεχόμενα ἐναν-
τίως ἔχειν, ἀνάγκη καὶ τὰς ἀρχὰς αὐτῶν εἶναι τοιαύτας. ἐκ
γὰρ τῶν ἐξ ἀνάγκης, ἀναγκαῖον τὸ συμβαῖνόν ἐστι. τὰ δέ γε ἐν τεῦ-
θεν ἐνδέχεται γενέσθαι τἀναντία. καὶ ὃ ἐφ' ἂν τοῖς ἐστι τοῖς
ἀνθρώποις πολλὰ τῶν τοιούτων καὶ ἀρχαὶ τῶν τοιούτων εἰσίν.

ὥστε ὅσων πράξεων ὁ ἄνθρωπός ἐστιν ἀρχὴ καὶ κύριος, φανερὸν
ὅτι ἐνδέχεται καὶ γίνεσθαι καὶ μή· καὶ ὅτι ἐφ' αὑτῷ ταῦτ' ἐστὶ γίνε-
σθαι καὶ μή· ὧν γε κύριός ἐστι τοῦ εἶναι καὶ τοῦ μὴ εἶναι· ὅσα δ' ἐ-
φ' αὑτῷ ἐστι ποιεῖν ἢ μὴ ποιεῖν, αἴτιος τούτων οὗτός ἐστι· καὶ
ὅσων αἴτιος ἐφ' αὑτῷ· ἐπεὶ δ' ἥ τε ἀρετὴ καὶ ἡ κακία, καὶ τὰ
ἀπαὐτῶν ἔργα· τὰ μὲν ἐπαινετὰ, τὰ δὲ, ψεκτὰ, ψέγεται γὰρ
καὶ ἐπαινεῖται, οὐ διὰ τὰ ἐξ ἀνάγκης ἢ τύχης ἢ φύσεως ὑπάρ-
χοντα· ἀλλ' ὅσων αὐτοὶ αἴτιοι ἐσμέν· ὅσων δ' ἄλλος αἴτιος, ἐκεῖ-
νος καὶ τὸν ψόγον καὶ τὸν ἔπαινον ἔχει, δῆλον ὅτι καὶ ἡ ἀρετὴ
καὶ ἡ κακία περὶ ταῦτ' ἐστὶν, ὧν αὐτὸς αἴτιος καὶ ἀρχὴ πρά-
ξεων· λεπτέον ἄρα τρίων αὐτὸς αἴτιος καὶ ἀρχὴ πράξεων· πάν-
τες μὲν δὴ ὁμολογοῦμεν ὅσα μὲν ἑκούσια καὶ κατὰ προαίρε-
σιν τὴν ἑκάστου, ἐκεῖνον αἴτιον εἶναι· ὅσα δὲ ἀκούσια, οὐκ αὐτὸν
αἴτιον· πάντα δ' ὅσα προελόμενος καὶ ἑκὼν δηλονότι· δῆλον
τοίνυν ὅτι ἡ ἀρετὴ καὶ ἡ κακία τῶν ἑκουσίων ἂν εἴησαν· λεπτέον
ἄρα τί τὸ ἑκούσιον καὶ ἀκούσιον· καὶ τί ἐστιν ἡ προαίρεσις· ἐπεὶ
δὴ ἡ ἀρετὴ καὶ ἡ κακία ὁρίζεται τούτοις, πρῶτον σκεπτέον
τὸ ἑκούσιον καὶ τὸ ἀκούσιον· τριῶν δὴ τούτων ἔν τι δόξειεν εἶναι,
ἤτοι κατὰ ὄρεξιν ἢ κατὰ προαίρεσιν ἢ κατὰ διάνοιαν· τὸ μὲν
ἑκούσιον κατὰ τούτων τί· τὸ δ' ἀκούσιον παρὰ τούτων τί· ἀλ-
λὰ μὴν ἡ ὄρεξις εἰς τρία διαιρεῖται· εἰς βούλησιν καὶ θυμὸν
καὶ ἐπιθυμίαν· ὥστε ταῦτα διαιρετέον καὶ πρῶτον κατ' ἐπι-
θυμίαν· δόξειε δ' ἂν πᾶν τὸ κατ' ἐπιθυμίαν ἑκούσιον εἶναι· τὸ
γὰρ ἀκούσιον πᾶν δοκεῖ εἶναι βίαιον· τὸ δὲ βίαιον λυπηρόν·
καὶ πᾶν ὃ ἀναγκαζόμενοι τοιοῦσιν ἢ πάσχουσιν· ὥσπερ καὶ
εὔηνος φησί· πᾶν δ' ἀναγκαῖον πρᾶγμαν ἰαρὸν ἔφυ· ὥστε εἴ τι λυ-
πηρὸν, βίαιον· καὶ εἰ βίαιον, λυπηρόν· τὸ δὲ παρὰ τὴν ἐπιθυμίαν
πᾶν λυπηρόν· ἡ γὰρ ἐπιθυμία τοῦ ἡδέος· ὥστε βίαιον καὶ ἀκού-
σιον, τὸ ἄρα κατ' ἐπιθυμίαν ἑκούσιον· ἐναντία γὰρ ταῦτ' ἀλλή-
λοις· ἔτι ἡ μοχθηρία ἀδικώτερον πᾶσα τοιεῖ· ἡ δ' ἀκρασία, μο-

χθηρία

χερεία δοκεῖ εἶναι ὁ δὲ κρατὴς ὁ κατὰ τὴν ὠθυμίαν, ὥσπερ γὰρ ὁ λογισμὸς οἷος πράττειν κατὰ θυμίαν· ἑκὼν ἄρα πράξει ἡ ἑκούσιον τὸ κατ' ἐπιθυμίαν· καὶ γὰρ ἄτοπον εἰδικαιότεροι ἔσονται οἱ ἀκρατεῖς μηδὲ μὴ τοίνυν τούτων δόξειν ἢ τὸ κατὰ θυμίαν ἑκούσιον εἶναι· ἐκ δὲ τῶν δὲ τοῦναντίον· ἄπαν γὰρ ὁ ἑκὼν πράττει βουλόμενος πράττει· ἡ δὲ βούλεται ἑκών· βούλεται δὲ οὐθεὶς ὃ οἴεται εἶναι κακόν· ἀλλὰ μὴν ὁ ἀκρατὴς οὐχὰ βούλεται ποιεῖν· τὸ γὰρ παρὰ ὃ οἴεται βέλτιον εἶναι πράττειν δὲ ἐπιθυμίαν, ἀκρατεύεσθαι δέ ἐστιν· ὥστε ἅμα συμβήσεται τὸ αὐτὸν ἑκόντα καὶ ἄκοντα πράττειν· τοῦτο δ' ἀδύνατον· ἔτι δὲ ὁ ἐγκρατὴς δικαιοπραγήσει καὶ μᾶλλον τῆς ἀκρασίας· ἡ γὰρ ἐγκράτεια ἀρετή· ἢ δὲ ἀρετὴ δικαιοτέρους ποιεῖ· ἐγκρατεύεται δὲ ὅταν πράξῃ παρὰ τὴν ἐπιθυμίαν καὶ τὸν λογισμόν· ὥστε τὸ μὲν δικαίως πράττειν ἑκούσιον ὥσπερ καὶ τὸ ἀδικεῖν, ἄμφω γὰρ δοκεῖ ταῦτα ἑκούσια εἶναι, καὶ αὖ ἄρχει εἰδέτερον ἑκούσιον, καὶ θάτερον, τὸ δὲ παρὰ τὴν ἐπιθυμίαν ἑκούσιον, ἅμα ἄρα ὁ αὐτὸς τὸ αὐτὸ πράξει ἑκὼν καὶ ἄκων· ὁ δ' αὐτὸς λόγος καὶ περὶ θυμοῦ· ἀκρασία καὶ ἐγκράτεια καὶ θυμοῦ δοκεῖ εἶναι ὥσπερ καὶ ἐπιθυμίας· καὶ τὸ πρᾶξαι ὀργὴν θυμὸν λυπηρόν· ἡ βίαιον ἡ κάθεξις· ὥστε τὸ βίαιον ἀκούσιον, τὸ κατὰ τὸν θυμὸν ἑκούσιον αὖ εἴη πᾶν· ἔοικε δὲ καὶ ὁ πρᾶκλητος λέγειν εἰς τὴν ἰσχὺν τοῦ θυμοῦ βλέψας, ὅτι λυπηρὰ ἡ κώλυσις αὐτοῦ· χαλεπὸν γὰρ φησὶ θυμῷ μάχεσθαι· ψυχῆς δ' ὠνεῖται· εἰδὲ δὴ ἄστον τὸ αὐτὸ τὸ ἑκόντα ἡ ἄκοντα πράττειν ἅμα τὸ κατὰ τὸ αὐτὸ τοῦ πράγματος μᾶλλον ἑκούσιον τὸ κατάβλησιν τὸ κατὰ τὴν ὠθυμίαν καὶ θυμόν· τὸ κρεῖττον δὲ· πολλὰ γὰρ πράττομεν ἑκόντες ἀνθ' ὀργῆς καὶ ἐπιθυμίας· λέγεται ἆρα εἰ τὸ βλάβος καὶ ἑκούσιον ἢ τὸ ἐναντίον· φαίνεται δὲ καὶ τοῦ τὸ ἀδικεῖν τὸν ὑπάρχειν ἥττω καὶ δικεῖν ἡμῖν καὶ δικεῖν ἡμοχθηρία ἀδικωτέρους ποιεῖν· ἡ δὲ ἀκρασία μοχθηρία τίς φαίνεται·

συμβήσεται δὲ τοὐναντίον. βούλεται μὲν γὰρ οὐθεὶς ἃ οἴεται
εἶναι κακά· πράττει δ' ὅταν γίνηται ἀκρατής. εἰ οὖν τὸ μὲν ἀ-
δικεῖν ἑκούσιον, τὸ δ' ἑκούσιον τὸ κατὰ βούλησιν, ὅταν ἀκρα-
τὴς γένηται οὐκέτι ἀδικήσει. ἀλλ' ἔσται δικαιότερος ἢ πρίν γε
ἀκρατής· τοῦτο δ' ἀδύνατον. ὅτι μὲν τοίνυν οὐκ ἔστι τὸ ἑκού-
σιον τὸ κατὰ ὄρεξιν πράττειν οὐδ' ἀκούσιον τὸ παρὰ τὴν ὄρεξιν,
φανερόν. ὅτι δ' οὐδὲ κατὰ προαίρεσιν πάλιν ἐκ τῶν δὲ δῆλον.
τὸ μὲν γὰρ κατὰ βούλησιν ὡς οὐκ ἀκούσιον ἀπεδείχθη· ἀλ-
λὰ μᾶλλον πᾶν ὃ βούλεται καὶ ἑκούσιον. ἀλλ' ὅτι καὶ μὴ βου-
λόμενον ἐνδέχεται πράττειν ἑκόντα, τοῦτο δέδεικται μόνον.
πολλὰ δὲ βουλόμενοι πράττομεν ἐξαίφνης. προαιρεῖται δ' οὐ-
δεὶς οὐδὲν ἐξαίφνης. εἰ δὲ ἀνάγκη μὲν ἦν τριῶν τούτων, ἐν τι
εἶναι τὸ ἑκούσιον, ἢ κατ' ὄρεξιν ἢ κατὰ προαίρεσιν ἢ κατὰ διά-
νοιαν, τούτων δὲ τὰ δύο μή ἐστι, λείπεται ἐν τῷ διανοούμενόν
πως πράττειν εἶναι τὸ ἑκούσιον. ἔτι δὲ μικρὸν προαγαγόντες
τὸν λόγον, ἐπιθῶμεν τέλος τῷ περὶ τοῦ ἑκουσίου καὶ ἀκουσίου
διορισμῷ. δοκεῖ γὰρ τὸ βίᾳ καὶ μὴ βίᾳ τί ποιεῖν, οἰκεῖα τοῖς
εἰρημένοις εἶναι. τό, τε γὰρ βίαιον ἀκούσιον· καὶ τὸ ἀκούσιον πᾶν,
βίαιον εἶναι φαμέν· ὥστε περὶ τοῦ βίᾳ σκεπτέον πρῶτον τί
ἐστι καὶ πῶς ἔχει πρὸς τὸ ἑκούσιον καὶ ἀκούσιον. δοκεῖ δὴ τὸ
βίαιον καὶ τὸ ἀναγκαῖον ἀντικεῖσθαι καὶ ἡ βία καὶ ἡ ἀνά-
γκη, τῷ ἑκουσίῳ καὶ τῇ πειθοῖ ἐπὶ τῶν πραττομένων. κα-
θόλου δὲ τὸ βίαιον καὶ τὴν ἀνάγκην καὶ ἐπὶ τῶν ἀψύχων λέ-
γομεν. καὶ γὰρ τὸ πῦρ κάτω βίᾳ καὶ ἀναγκαζόμενον φέρεσθαι
φαμέν. τοῦτο δ' ὅταν κατὰ τὴν φύσιν καὶ τὴν καθ' αὑτὸ ὁρμὴν
φέρηται, οὐ βίᾳ· οὐ μὴν οὐδ' ἑκούσια λέγεται. ἀλλ' ἀνώνυμος ἡ
ἀντίθεσις. ὅταν δὲ παρὰ ταύτην, βίᾳ φαμέν. ὁμοίως δὲ καὶ
ἐπὶ ἀψύχων καὶ ἐπὶ τῶν ζώων ὁρῶμεν βίᾳ πολλὰ καὶ πάσχον-
τα καὶ τριοῦντα ὅταν παρὰ τὴν ἐν αὐτῷ ὁρμὴν ἔξωθέν τις κινῇ·
ἐν μὲν τοῖς ἀψύχοις ἁπλῆ ἡ ἀρχή· ἐν δὲ τοῖς ἐμψύχοις πλεο-
νάζει.

νάζει· οὐ γὰρ ἀεὶ ἡ ὄρεξις καὶ ὁ λόγος συμφωνεῖ· ὥστε τὸ μὲν τῶν ἄλλων ζώων ἁπλοῦν τὸ βίαιον ὥσπερ ἐπὶ τῶν ἀψύχων· οὐ γὰρ ἔχει λόγον καὶ ὄρεξιν ἐναντίαν· ἀλλὰ τῇ ὀρέξει ζῇ· ἐν δ' ἀνῷ ἐνέστιν ἄμφω καὶ ἔντινι ἡ λικίᾳ· ᾗ καὶ τὸ πράττειν ἀποδίδομεν· οὐ γὰρ φαμὲν τὸ παιδίον πράττειν· οὐδὲ τὸ θηρίον· ἀλλ' ὅταν ἤδη διὰ λογισμὸν πράττοντα· δοκεῖ δὴ τὸ βίαιον ἅπαν λυπηρὸν εἶναι· καὶ οὐθεὶς βίᾳ μὲν ποιεῖ χαίρων δέ· διὸ περὶ τὸν ἐγκρατῆ καὶ τὸν ἀκρατῆ πλείστη ἀμφισβήτησίς ἐστιν· ἐναντίας γὰρ ὁρμὰς ἔχων αὐτὸς ἕκαστος αὑτῷ πράττει· ὥστε ὁ τὸ ἐγκρατὴς, βίᾳ φασὶν ἀφέλκει αὐτὸν ἀπὸ τῶν ἡδέων ἐπιθυμιῶν· ἀλγεῖ γὰρ ἀφέλκων πρὸς ἀντιτείνουσαν ὄρεξιν· ὁ τὰ κρατὴς βίᾳ παρὰ τὸν λογισμόν· ἧττον δὲ δοκεῖ λυπεῖσθαι· ἡ γὰρ ἐπιθυμία τοῦ ἡδέος· ᾗ ἀκολουθεῖ χαίρων· ὥστε ὁ ἀκρατὴς μᾶλλον ἑκὼν καὶ οὐ βίᾳ· ὅτι οὐ λυπηρῶς· ἡ δὲ πειθὼ τῇ βίᾳ· καὶ ἀνάγκη ἀντιτίθεται· ὁ δ' ἐγκρατὴς ἐφ' ἃ πέπεισται ἄγει· καὶ πορεύεται οὐ βίᾳ ἀλλ' ἑκών· ἡ δὲ ἐπιθυμία οὐ πείσασα ἄγει· οὐ γὰρ μετέχει λόγου· ὅτι μὲν οὖν δικοῦσιν οὗτοι μόνοι βίᾳ καὶ ἄκοντες ποιεῖν καὶ διὰ τίνα αἰτίαν ὅτι καθ' ὁμοιότητα τινὰ τοῦ βίᾳ καθ' ἣν καὶ ἐπὶ τῶν ἀψύχων λέγομεν, εἴρηται· οὐ μὴν ἀλλ' εἴτι προσθῇ· τὸ ἐν αὐτῷ διορισμῷ προκείμενον κἀκεῖ, λύεται τὸ λεχθέν· ὅταν μὲν γὰρ τι τῶν ἔξωθεν παρὰ τὴν ἐν αὐτῷ ὁρμὴν κινῇ ἢ ἠρεμίζῃ, βίᾳ φαμέν· ὅταν δὲ μὴ, οὐ βίᾳ, ἐν δὲ τῷ ἐγκρατεῖ καὶ ἀκρατεῖ· ἡ δὲ καθ' αὑτὸν ὁρμὴ ἐνοῦσα ἄγει· ἄμφω γὰρ ἔχει· ὥστε οὐ βίᾳ οὐδέτερος· ἀλλ' ἑκὼν διάγε ταῦτα πράττοι ἄν· οὐδ' ἀναγκαζόμενος· τὴν γὰρ ἔξωθεν ἀρχὴν τὴν παρὰ τὴν ὁρμὴν ἢ ἐμποδίζουσαν ἢ κινοῦσαν ἀνάγκη λέγομεν· ὥσπερ εἴτις λαβὼν τὴν χεῖρα τύπτοι τινὰ ἀντιτείνοντος, καὶ τῷ βούλεσθαι καὶ τὸ ἐπιθυμεῖν· ὅταν δ' ἔσωθεν ἡ ἀρχὴ, οὐ βίᾳ· ἐπεὶ καὶ ἡ δονὴ καὶ λύπη ἐν ἀμφοτέροις ἐνέστι· καὶ γὰρ ὁ ἐγκρατευόμενος λυπεῖται παρὰ τὴν ἐπιθυμίαν πράττων ἤδη· καὶ χαίρει τὴν ἀπέλ

πάθος ἢ ἀνάγκην· ὅτι ὕστερον ὠφεληθήσεται· ἢ καὶ ἤδη ὠφελεῖται ὑγιαίνων· ἢ ὁ ἀκρατὴς χαίρει μᾶλλον τυγχάνων ἀκρατεύεσθαι ἢ λυπεῖται ἐγκρατευόμενος· λυπεῖται δὲ τῷ ἀπελπίζειν λύπην· οἴεται γὰρ κακὸν πράττειν· ὥστε τὸ μᾶλλον βία ἑκάτερον φαίνεσθαι ποιεῖν· ἔχει λόγον· καὶ διὰ τὴν ὄρεξιν καὶ διὰ τὸν λογισμόν· ἑκάτερος ἄκοντα ποτὲ πράττειν κεχωρισμένα § ὄντα ἑκάτερα ἐκκρίνεται ὑπ' ἀλλήλων· ὅθεν καὶ ἐπὶ τῶν ὅλην μεταφέρουσι ψυχήν· ὅτι τὸ ἐν ψυχῇ τι τοιοῦτόν ὁρῶσιν· ἐπὶ μὴ ὂν τὸ μεῖον ἐνδέχεται τοῦτο λέγειν· ἡ δὲ ὅλη ἐκοῦσα ψυχὴ καὶ τὸ ἀκρατοῦς καὶ τὸ ἐγκρατοῦς πράττει· βία δὲ δέτερος· ἀλλὰ τὸ ἐν ἐκείνοις τί· ἐπεὶ καὶ φύσει ἀμφότερα ἔχομεν· καὶ γὰρ ὁλόγως φύσει ἄρχων· ὅτι ἐνδέχεται μὴ φθονερὸς ὢν καὶ μὴ σπουδαῖος εἶναι καὶ ἡ ἐπιθυμία· ὅτι εὐθὺς ἐκ γενετῆς ἀκολουθεῖ καὶ ἐνίοις· χαλεπὸν δὲ τοῦτο εἶναι τοῖς φύσει διοικίζομεν, τῷ τε ὅσα εὐθὺς γινομένοις ἀκολουθεῖ πᾶσι, καὶ ὅσα ἐκ μανίας φθορᾶς γενέσεως εὐθυπορεῖν, ἔνιοι ἡμῖν· οἷον πολιὰ καὶ γῆρας καὶ τὰ λοιπὰ τὰ τοιαῦτα· ὥστε μὴ κατὰ φύσιν ἑκάτερος πράττει· ἀπλῶς δὲ κατὰ φύσιν ἑκάτερος οὐ τῷ αὐτῷ· αἱ μὲν οὖν περὶ τὸν ἐγκρατῆ καὶ ἀκρατῆ ἀποδίδονται περὶ τοὺς βίους πράξεις ἢ ἀμφοτέρους ἢ τὸν ἕτερον, ὥστε ἢ μὴ ἑκόντας, ἢ ἄμαχοι καὶ ἄκοντας· εἰ δὲ τὸ βίᾳ ἐκούσιον, ἄμαχοι ἑκόντας ἂν ἄρχοντας πράττειν· χαλεπὸν δὲ ἓν τῶν εἰρημένων δῆλον ἢ μὴν ὡς ἀπαντητέον· λέγονται δὲ κατὰ ἄλογος δύνασθαι μὴ αὐταρκοῦντες πράξαι· ὁ δ' ἀφωνοῦντες τὸν λόγον καὶ ἡ ὄρεξις ὅταν πράττωσιν, ὃ καὶ λυπηρὸν καὶ φαῦλος ὑπολαμβάνουσιν· ἀλλ' αὐ μὴ τοῦτο πράττωσι, βλαπτόμενοι ἢ θαυμαστῶσι· ταῦτα γὰρ φασιν αὐτάρκεις εἶναι πράξαι ἢ ὅ· ἀλλὰ ταύτης ποιοῦσιν αὐτὸ τοῦτο· ἔξεστι γὰρ μὴ ποιεῖν, ἀλλ' ἐκεῖνο ὑπομένειν τὸ πάθος· ἔτι ἴσως τούτων τὰ μὲν, φαίνεται αὐ· τὰ δ' ὅ· ὅσα μὲν γὰρ ἐφ' αὐτῷ τῶν ποιούντων μὴ ὑπάρξαι ἢ ὑπάρξαι. δεῖ ὅσα πράττει, ἂν μὴ βούλεται ἑκὼν πράττει ἐστὶ βία ὅσα ἢ μὴ ἐφ' αὐτῷ

αὐτῷ τὴν τοιούτων βίαν ὡς οὐμὴν τοι τὰ ἔπαινος ὅτι οὐκαὶ τὸ τοῦ τὸ προαιρεῖται ὁ πράττ. ἀλλ' οὗ ἕνεκα. ἐπεὶ καὶ ἐν τούτοις ὅστις διαφορά. ὁ γὰρ ἵνα μὴ λάβῃ ψηλαφῶν ἀπεκτείνη γελοῖος ἂν εἴη. εἰλέχθαι ὅτι βίᾳ καὶ ἀναγκαζόμενος. ἀλλὰ δὴ μείζονα κακὸν καὶ λυπηρότερον εἶναι, ὃ πείσεται μὴ ποιήσας. οὕτω γὰρ ἀναγκαζόμενος καὶ μὴ βίᾳ πράξει ἡ οὐφύσει, ὅταν κακὸν ἀγαθοῦ ἕνεκα ἢ μείζονος κακοῦ ἀπολύσεως πράττῃ, ἡ ἄκων μὲν. οὐ γὰρ ἐφ' αὑτῷ ταῦτα. διὸ καὶ τὸν ἔρωτα ποιοῦσι ἀκάσιον τιθέασι, καὶ θυμὸς ἐνίους καὶ τὰ φυσικά. ὅτι ἰσχυρὰ ὑπὲρ τὴν φύσιν. καὶ συγνώμην ἔχομεν ὡς τὰ φυκότα βιάζεσθαι τὴν φύσιν. καὶ μᾶλλον αὖ δόξειε βίᾳ καὶ ἄκων πράττειν, ἵνα μὴ ἀλγῇ ἰσχυρῶς ἵνα μὴ ῥέμα. ὅλως ἵνα μὴ χαίρῃ. ὁ γὰρ ἐφ' αὑτῷ εἰς ὃ ἀνάγεται ὅλον τοῦ τόδε, ὃ ἡ αὐτοῦ φύσις οἰκεῖα φέρει. ὃ δὲ μὴ οἰκεῖα τὴν δ' ὅτι φίλ ἐκείνα φύσει ὀρέξεως ἢ λογισμὸ. ὅτι ἐφ' αὑτῷ. διὸ καὶ τοὺς ὠθοῦσι ὧν τας καὶ προλέγοντας, καὶ ὥσπερ διανοίας ἔργον ποιοῦντας, ὅμως ὅφαμεν ἐφ' αὑτοῖς εἶναι, ὅτε εἶπον ὅτε πρᾶξαι ἃ ἔπραξαν. ἀλλὰ μὴν ὁδὲ διὲπιθυμίαν. ὥστε καὶ διανοίαι τινὲς καὶ ὠθῆσι, οὐκ ἐφ' ἡμῖν εἰσιν. ἢ πράξεις αἱ κατὰ τὰς τοιαύτας διανοίας καὶ λογισμός. ἀλλ' ὡς ὥσπερ φιλόλαος ἔφη, εἶναί τινας λόγους κρείττους ἡμῶν. ὡς τὸ ἑκούσιον ἢ ἀκούσιον, καὶ πρὸς τὸ βίᾳ ἔδει σκέψασθαι. τοῦτο μὲν ὅτω διῃρήθω. οἱ γὰρ μᾶλλον ἐμποιοῦντες τὸ ἑκούσιον ὡς βίᾳ πράττοντες ἀλλ' ἐκόντες. ἐπεὶ δὴ τοῦ τέλους καὶ οὗτε τῇ ὀρέξει ὅτι τῇ προαιρέσει τὸ ἑκούσιον ὤφειλεν. λοιπὸν δὴ ὁρίσασθαι τὰ κατὰ διάνοιαν. δοκεῖ δὴ ἐναντίον εἶναι τὸ ἑκούσιον τῷ ἀκουσίῳ. καὶ τὸ εἰδότα ἢ ὃ ἢ ὅ ἕνεκα. ἐνίοτε γὰρ οἶδε μὲν ὅτι πατὴρ. ἀλλ' ὅχνα ἀποκτείνῃ. ἀλλ' ἵνα σώσῃ, ὡς περὶ αἰτιάδεσ ἡτοῦν ὡς ὅτε μὲν τέμα. ἀλλὰ ὡς φίλτρον καὶ οἷον. τὸ δὲ μὴν κώνωφον. τῷ δ' ἀγνοοῦντι καὶ ὃν καὶ ὡ καὶ ὁ δι' ἄγνοιαν μὴ κατὰ συμβεβηκός. τὸ δὲ δι' ἄγνοιαν καὶ

ὃ καὶ ὦ καὶ ὃν ἀκούσιον· τὸ ἐναντίον ἄρα ἑκούσιον· ὅσα μὲν οὖν
ἐφ' ἑαυτῷ ὂν μὴ πράττειν, πράττει μὴ ἀγνοῶν καὶ δι' αὑτὸν, ἑκού-
σια ταῦτα ἀνάγκη εἶναι· καὶ τὸ ἑκούσιον τοῦτ' ἐστίν· ὅσα δ' ἀγνοῶν
καὶ διὰ τὸ ἀγνοεῖν, ἄκων· ἐπεὶ δὲ τὸ ἐπίστασθαι καὶ τὸ εἰδέναι
διττὸν, ἓν μὲν τὸ ἔχειν· ἓν δὲ τὸ χρῆσθαι τῇ ἐπιστήμῃ, ὁ ἔχων μὴ χρώ-
μενος δὲ, ἔστι μὲν ὡς δικαίως ἀγνοῶν λέγοιτο· ἔστι δ' ὡς οὐ δι-
καίως οἷον εἰ δι' ἀμέλειαν μὴ ἐχρῆτο· ὁμοίως δὲ καὶ μὴ ἔχων
τις ψέγοιτο ἂν εἰ ὁρᾴδιον ἢ ἀναγκαῖον ἦν, μὴ ἔχει δι' ἀμέλειαν
ἢ ἡδονὴν ἢ λύπην· ταῦτ' οὖν προσδιορίστέον· περὶ μὲν οὖν τοῦ
ἑκουσίου καὶ ἀκουσίου διωρίσθω τοῦτον τὸν τρόπον· περὶ δὲ
προαιρέσεως, μετὰ τοῦτο λέγω μὲν διαπορήσαντες πρῶτον
τῷ λόγῳ περὶ αὐτῆς· διστάσειε γὰρ ἄν τις ἐν τῷ, γένει πέφυκε·
καὶ ἐν ποίῳ θεῖναι αὐτὴν χρή· ἑτότερον ὂν ταὐτὸ τὸ ἑκούσιον ἑ
τὸ προαιρετὸν, ἢ ταὐτά ἐστι· μάλιστα δὲ λέγεται παράτινων, ἑ
ζητοῦντ· δόξειε δ' ἂν δυοῖν εἶναι θάτερον ἡ προαίρεσις· ἤτοι
δόξα, ἢ ὄρεξις· ἀμφότερα γὰρ φαίνεται παρακολουθοῦντα·
ὅτι μὲν οὖν οὐκ ἔστιν ὄρεξις φανερόν· ἢ γὰρ βούλησις ἂν εἴη· ἢ
ἐπιθυμία ἢ θυμός· οὐδεὶς γὰρ ὀρέγεται μηδὲν πεπονθὼς τρύ-
των· θυμὸς μὲν οὖν καὶ ἐπιθυμία καὶ τοῖς θηρίοις ὑπάρχει·
προαίρεσις δ' οὔ· ἔτι δὲ καὶ οἷς ὑπάρχει ἀμφωταῦτα, πολλὰ
καὶ ἄνευ θυμοῦ καὶ ἐπιθυμίας προαιροῦνται· καὶ ἐνιοὶ πά-
θεσιν ὄντες ὀπροαιροῦνται ἀλλὰ καρτεροῦσιν· ἔτι ἐπιθυμία
μὲν καὶ θυμὸς ἀεὶ μετὰ λύπης· προαιρούμεθα δὲ πολλὰ καὶ
ἄνευ λύπης· ἀλλὰ μὴν οὐδὲ βούλησις καὶ προαίρεσις ταυτόν· βού-
λονται μὲν γὰρ ταυτὸν, ἐνία καὶ τῶν ἀδυνάτων εἰδότες οἷον
βασιλεύειν τε πάντων ἀνθρώπων· καὶ ἀθάνατοι εἶναι· προαι-
ρεῖται δ' οὐδεὶς μὴ ἀγνοῶν ὅτι ἀδύνατον· οὐδ' ὅλως ὃ δυνατὸν
μὲν μὴ ἐφ' αὑτῷ δ' οἴεται πρᾶξαι ἢ μὴ πρᾶξαι· ὥστε τοῦτο μὲν
φανερὸν, ὅτι ἀνάγκη τὸ προαιρετὸν, τῶν ἐφ' αὑτῷ τι εἶναι· ὁμοίως
δὲ δῆλον ὅτι οὐδὲ δόξα· οὐδὲ πλῶς εἴ τις οἴεταί τι· τῶν γὰρ ἐφ'

αὐτῷ τὸ εἶναι, τὸ προαιρετόν· δοξάζομεν δὲ τῶν μὲν οὐκ
ὄντων ἐφ' ἡμῖν· οἷον τὸ δικαίως ἢ σωφρόνως· ἔτι δὲ ὅτι προ
αίρεσις ἀληθὴς ἢ ψευδής· δῆλον δὲ ἢ τῶν ἐφ' αὑτῷ ὄντων πρα
κτῶν δόξαν ἢ τυγχάνομεν οἰόμενοι δεῖν τι πράττειν ἢ ἀπρα
κτεῖν· καὶ μονὰς δὲ περὶ δόξης τοῦτο καὶ βουλήσεως οὐθεὶς γὰρ
τέλος βούλεται προαιρεῖται· ἀλλὰ τὰ πρὸς τὸ τέλος· λέγω δὲ οἷον
ὑγιάζειν προαιρεῖται· ἀλλὰ περὶ παιτεῖν ἢ καθῆσθαι· τὸ
ὑγιάζειν ἕνεκα· ἢ δ' εὐδαιμονεῖν· ἀλλὰ χρηματίζεσθαι· ἢ κιν
δυνεύειν τὸ εὐδαιμονεῖν ἕνεκα· καὶ ὅλως δῆλοι ἀεὶ προαιρού
μή τί τινος ἕνεκα προαιρεῖται· ὅταν δὲ τὸ μὲν τίνος, ἕνεκα
καὶ προαιρεῖται, ἄλλο· τὸ δὲ τί, ὃ προαιρεῖται, ἕνεκα ἄλλου βού
λεται δέγε μάλιστα τὸ τέλος· καὶ δοξάζομεν δεῖ καὶ ὑγιαίνειν
ἢ οὗ πράττομεν· ὥστε φανερὸν διὰ τούτων, ὅτι ἄλλο ἐστὶ δόξης βου
λήσεως· βούλεσθαι μὲν γὰρ δόξαι μάλιστα τὰ τέλη· προαίρεσις δ'
ἐκ ὅτου· ὅτι μὲν οὖν ἐκ ὅτου ἐστὶν ἡ προαίρεσις ἢ τὸ δόξαν ἢ ὑπόληψις·
ἀπολαβὼν ἡ προαίρεσις, τί ἢ διαφέρει τούτων ἢ πῶς ἔχει πρὸς τὸ
ἑκάστοτε, εἶπε ἢ δῆλον ἔσται, ἢ τί ὅτι προαίρεσις· ὅτι δὴ τῶν δυνα
τῶν εἶναι ἡμῖν· τοῦτο μὲν τοιοῦτον ὡς τε ἐνδέχεσθαι βουλεύσασθαι
περὶ αὐτῶν· περὶ ἐνίων δυνατὸν ἐνδέχεσθαι· τὸ μὲν δυνατὸν ὅτι
καὶ εἶναι καὶ μὴ εἶναι· ἀλλ' ὃ κὲφ' ἡμῖν αὐτῶν ἡ γένεσις ὅτι ἐστί·
ἀλλὰ τὰ μὲν διὰ φύσιν τὰ δὲ, διὰ πολλὰς αἰτίας γίνεται· περὶ ὧν
οὐδεὶς οὐκ ἐγχειρήσειε βουλεύεσθαι μὴ ἀνοήτων· περὶ ὧν δ' ἐνδέ
χεται μὴ μόνον τὸ εἶναι καὶ μὴ, ἀλλὰ καὶ τὸ βουλεύσασθαι τοῖς ἀν
θρώποις, ταῦτα δ' ἐστὶν ὅσα ἐφ' ἡμῖν ὅτι πρᾶξαι ἢ μὴ πρᾶξαι·
διὸ βουλευόμεθα περὶ τῶν ἐν ἡμῖν ὅτι καὶ ὅσα· ἐπὶ ὡσαύτως ὁ κύκλος τι
θεραπευτικούς· τὰ μὲν γὰρ οὐκ ἐφ' ἡμῖν· τὸ δ' ὅλως οὐ πρα
κτόν· ἀλλ' ἐπὶ περὶ τῶν ἐν ἡμῖν πρακτῶν περὶ ἃ παντῶν· καὶ
δῆλον ὅτι οὐδὲ δόξα ἁπλῶς ἡ προαίρεσις ἐστίν· τὰ δὲ προαι
ρετὰ πρακτά, τ' ἐφ' ἡμῖν ὄντων ἐστί· διὸ ἢ ἀπρήσειεν ἄν τις,
πότερ' οἱ μὲν ἀγαθοὶ βουλεύονται περὶ ὧν ἔχουσι τὸν ἐπι-

στήμην οἱ δὲ γραμματικοὶ οὔ· αἴτιον δ' ὅτι διχῇ γινομένης τῆς
ἁμαρτίας, ἢ γὰρ λογιζόμενοι ἁμαρτάνομεν, ἢ κατὰ τὴν αἴ-
σθησιν αὐτὸ δρῶντες· ἐν μὲν τῇ ἰατρικῇ ἀμφοτέρως ἐνδέχε-
ται ἁμαρτεῖν· ἐν δὲ τῇ γραμματικῇ κατὰ τὴν αἴσθησιν καὶ
πρᾶξιν ἧς ἂν σκοπῶσιν εἰς ἄπειρον ἥξουσιν· ἐπεὶ δὴ οὖν οὔτε
δόξα οὔτε βούλησις ἐστὶ, προαίρεσις ἐστὶν ὡς ἑκάτερον· οὐδ' ἄμφω·
ἐξαίφνης γὰρ προαιρεῖται μὲν οὐδεὶς, δοκεῖ δὲ πράττειν καὶ βού-
λεται, ὡς ἐξ ἀμφοῖν ἄρα· ἄμφω γὰρ ὑπάρχει τῷ προαιρου-
μένῳ ταῦτα· ἀλλὰ πῶς, ἐκ τούτων σκεπτέον· δηλοῖ δέ πως καὶ
τὸ ὄνομα αὐτό· ἡ γὰρ προαίρεσις μέν ἐστιν οὐχ ἁπλῶς δέ· ἀλ-
λ' ἑτέρου πρὸς ἕτερον· τοῦτο δὲ οὐχ οἷόν τε ἄνευ σκέψεως καὶ βου-
λῆς· διὸ ἐκ δόξης βουλευτικῆς ἐστιν ἡ προαίρεσις· περὶ μὲν δὴ
τοῦ τέλους οὐδεὶς βουλεύεται· ἀλλὰ τοῦτο κεῖται πᾶσι· περὶ
δὲ τῶν εἰς τοῦτο τεινόντων πότερον τόδε ἢ τόδε συντείνει, ἢ δὲ δο-
σμάνου τοῦτο πῶς ἔσται· βουλευόμεθα δὲ πάντως τοῦτο, ἕως
ἂν εἰς ἡμᾶς ἀναγάγωμεν τῆς γενέσεως τὴν ἀρχήν· εἰ δὴ προ-
αιρεῖται μὲν μηθεὶς μὴ παρσκευασάμενος μὴ δὲ βουλευσά-
μενος ἢ χεῖρον ἢ βέλτιον, βούλεται δὲ ὅσα ἐφ' ἡμῖν ἐστὶ τῶν δυ-
νατῶν εἶναι καὶ μὴ τῶν πρὸς τὸ τέλος· δηλονότι ἡ προαίρε-
σις μὲν ἐστὶν ὄρεξις τῶν ἐφ' αὐτῷ βουλευτικῇ· ἅπαντες γὰρ
βουλόμεθα ἃ καὶ προαιρούμεθα· οὐ μέντοι γε ἃ βουλόμεθα,
πάντα προαιρούμεθα· λέγω δὲ βουλευτικὴν ἧς ἀρχὴ καὶ αἰ-
τία βούλευσις ἐστί· καὶ ὀρέγεται διὰ τὸ βουλεύεσθαι· διὸ οὔτε ἐν-
τοῖς ἄλλοις ζώοις ἐστὶν ἡ προαίρεσις· οὔτε ἐν πάσῃ ἡλικίᾳ·
οὔτε παντὸς ἔχοντος ἀνθρώπου· οὐδὲ γὰρ τὸ βουλεύσασθαι,
οὔθ' ὑπόληψις τοῦ διατί· ἀλλὰ δοξάσαι μὲν εἰ ποιητέον, οὐ-
θὲν κωλύει πολλοῖς ὑπάρχειν· τὸ δὲ διὰ λογισμοῦ οὐκέτι· ἔστι
γὰρ βουλευτικὸν τῆς ψυχῆς τὸ θεωρητικὸν αἰτίας τινός· εἰ
γὰρ οὗ ἕνεκα μία τῶν αἰτίων ἐστί, τὸ μὲν γὰρ διὰ τί, αἰτία·

οὗ δ' ἕνεκα

οὐδ' ἕνεκά ἐστιν ἡ γίνεται τι, τοῦτο αἴτιον φατέον εἶναι· οἷον τὸ βαδίζειν ἡ κομιδὴ τῶν χρημάτων, εἰ τούτου ἕνεκα βαδίζει· διὸ οἷς μὴ θεὶς κεῖται σκοπὸς οὐ βουλευτικοί· ὥστε περὶ τὸ μὴ ἐφ' αὐτῷ ὂν ἡ πρακτὸν ἢ μὴ πρακτὸν ἁπλῶς πρακτὴ ἡ ἀπραξία τῇ διαυοίᾳ ἐστίν· ἐκὼν πραττόμενα ἢ πραττει· πλὴν ἀλλὰ τῶν γε οὕτω πραττομένων οὐ βουλευσάμενοι, οὐ δὲ προμηθησάμενοι, ἀνάγκη τὸ μὴ προαιρετὸν ἁπλῶς ἑκούσιον εἶναι· τὸ δ' ἑκούσιον μὴ προαιρετόν· ἢ τὰ μὲν κατὰ προαίρεσιν, πάντα ἑκούσια εἶναι· τὰ δ' ἑκούσια μὴ πάντα κατὰ προαίρεσιν· ἅμα δ' ἐκ τούτων φανερὸν, καὶ ὅτι καλῶς διορίζονται οἱ τῶν παθημάτων τὰ μὲν ἑκούσια, τὰ δ' ἀκούσια· τὰ δ' ἐκ προνοίας νομοθετοῦσιν· εἰ γὰρ καὶ μὴ διακελεύσονται, ἀλλ' ἁπλῶς ἐστὶ τῆς ἀληθείας· ἀλλὰ περὶ μὲν τούτων ἐροῦμεν ὕστερον περὶ τῶν δικαίων ἐπισκέψει· ἡ δὲ προαίρεσις ὅτι οὐτε ἁπλῶς βούλησις ἔστι δῆλον· ἄλογα γὰρ καὶ τὰ ζῶα βουλήσεως, ὅταν ἐκ φυῆς βουλύσαι αὐξησωμεθα· ἐπεὶ δὲ βουλεύεται ἀεὶ ὁ βουλευόμενος ἕνεκά τινος ἐστὶ σκοπός τις ἀεὶ τῷ βουλευομένῳ, πρὸς ὃν σκοπεῖ τὸ συμφέρον, περὶ μὲν τοίνυν τὰ τέλη τεθεὶς βουλεύεται· ἀλλὰ τοῦτ' ἐστὶν ἀρχὴ ἢ ὑπόθεσις, ὥσπερ ἐν ταῖς θεωρητικαῖς ἐπιστήμαις ὑπόθεσις· εἴρηται δὲ περὶ αὐτῶν ἐν μὲν τοῖς ἐναρχῆ βραχέως· ἐν δὲ τοῖς ἀναλυτικοῖς διακριβέστερον· περὶ δὲ τὰ πρὸς τὸ τέλος φερόντων ἡ σκέψις ἐστὶ μετὰ τέχνης καὶ ἀνὰ τέχνης πᾶσιν ἐστίν· οἷον εἰ πολεμῶσιν ἢ μὴ πολεμῶσι τὰ βουλευόμενοι· ἐκ προτέρου δὲ μᾶλλον ἔσται τὸ διὰ τούτου τὸ ἕνεκα· οἷον πῶς τοῦτο ἢ ἔσται ἢ ἔστι ἄλλο τοιοῦτον, ὁ τυγχάνει ἕνεκα βουλεύεται· ὁ βουλευόμενος ἢ ἀπὸ τοῦ τέλους ἐσκέπται ὅτι ἐκεῖσυν τείνει ὅπως εἰσαὐτὸ ἀπάξῃ ἢ αὐτὸς δι' ὧν πρὸς τὸ τέλος· τὸ δὲ τέλος ἐστὶ φύσει μὲν αἱρετὸν· ἢ πρὸς ἃ ἐστὶ μέρος βουλεύονται· οἷον ἰατρὸς βουλεύσαι τὸ αὐ εἰδῶ φάρμακον· καὶ ὑγιὴς τὸ πῦρ ἄτο πολύσαι

οἷς ἀγαθὸν τὸ τέλος, τὸ ἁπλῶς ἄριστόν ἐστι· παρὰ φύσιν δὲ καὶ
διαστροφὴν, οὐ τὸ ἀγαθὸν ἀλλὰ τὸ φαινόμενον ἀγαθόν· αἴτιον
δ' ὅτι τῶν ὄντων τὰ μὲν οὐκ ἔστιν ἐπάλλω χρήσασθαι, ἢ πρὸς ἃ
πέφυκεν· οἷον ὄψα· οὐ γὰρ οἷόν τι δεῖν οὐ μή ἐστιν ὄψις· οὐδ' ἀκοῦ
σαι οὐ μή ἐστιν ἀκοή· ἀλλὰ ἀπὸ ἐπιστήμης ποιῆσαι, καὶ οὐ μή
ἐστιν ἡ ἐπιστήμη· οὐ γὰρ ὁμοίως τῆς ὑγιείας ἡ αὐτὴ ἐπιστήμη καὶ
νόσου· ἀλλὰ τῆς μὲν κατὰ φύσιν· τῆς δὲ παρὰ φύσιν· ὁμοίως
δὲ καὶ ἡ βούλησις· φύσει μὲν τοῦ ἀγαθοῦ ἐστι· παρὰ φύσιν δὲ
τοῦ κακοῦ· καὶ βούλεται φύσει μὲν τὸ ἀγαθόν· παρὰ φύσιν
δὲ καὶ διαστροφὴν καὶ τὸ κακόν· ἀλλὰ μὴν ἑκάστου γε φθορὰ καὶ δια
στροφὴ οὐκ εἰς τὸ τυχὸν, ἀλλ' εἰς τὰ ἐναντία τὰ μεταξύ· οὐ
γὰρ ἔστιν ἐκβῆναι ἐκ τούτων· ἐπεὶ δὴ ἡ ἀπάτη οὐκ εἰς τὰ τυχόντα
γίνεται· ἀλλ' εἰς τὰ ἐναντία ὅσοις ἐστὶν ἐναντία· καὶ εἰς ταῦτα τῶν
ἐναντίων ἃ κατὰ τὴν ἐπιστήμην ἐναντία ἐστίν· ἀνάγκη ἄρα κατὰ
τὴν ἀπάτην δὴ τὴν προαίρεσιν ἀπὸ τοῦ μέσου ἐπὶ τὰ ἐναντία
γίνεσθαι· ἐναντία δὲ τὸ μέσον καὶ τὸ πλέον καὶ τὸ ἔλαττον· αἴτιον δὲ
τὸ ἡδὺ δὴ τὸ λυπηρόν· οὕτω δὲ ἔχει ὥστε τῇ ψυχῇ φαίνεσθαι τὸ μὲν
ἡδὺ ἀγαθόν· καὶ τὸ ἥδιον καὶ ἄμεινον· καὶ τὸ λυπηρὸν κακόν·
καὶ τὸ λυπηρότερον χεῖρον· ὥστε καὶ ἐκ τούτων δῆλον ὅτι περὶ
ἡδονὰς καὶ λύπας ἡ ἀρετὴ καὶ ἡ κακία· περὶ μὲν γὰρ τὰ
προαιρετὰ τυγχάνουσιν οὖσαι· ἡ δὲ προαίρεσις περὶ τὸ ἀγα-
θὸν καὶ τὸ κακὸν καὶ τὰ φαινόμενα· τοιαῦτα δὲ φύσει ἡ-
δονὴ καὶ λύπη· ἀνάγκη τοίνυν ἐπειδὴ ἀρετὴ μὲν ἡ ἠθικὴ
αὐτή τε μεσότης ἐστὶ καὶ περὶ ἡδονὰς καὶ λύπας πᾶσα· ἡ
δὲ κακία ἐν ὑπερβολῇ καὶ ἐλλείψει· καὶ περὶ ταυτὰ τῇ ἀ-
ρετῇ, τὴν ἀρετὴν εἶναι τὴν ἠθικὴν, ἕξιν προαιρετικὴν με-
σότητος τῆς πρὸς ἡμᾶς ἐν ἡδέσι καὶ λυπηροῖς· καθ' ὅσα
ποιός τις λέγεται τὸ ἦθος ἢ χαίρων ἢ λυπούμενος ὁ γὰρ
φιλόγλυκος ἢ φιλόπικρος οὐ λέγεται ποιός τις τὸ ἦθος·

τούτων

τούτων δὲ διωρισμένων, λέγομεν πότερον ἡ ἀρετὴ ἀναμάρτητον ποιεῖ τὴν προαίρεσιν, καὶ τὸ τέλος ὀρθὸν, οὕτως ὥστε οὗ ἕνεκα δεῖ προαιρεῖσθαι, ἢ ὥσπερ δοκεῖ τισι τὸν λόγον· ἔστι δὲ τοῦτο ἐγκράτεια· αὕτη γὰρ οὐ διαφθείρει τὸν λόγον· ἔστι δ' ἀρετὴ καὶ ἐγκράτεια ἕτερον· λεκτέον δ' ὕστερον περὶ αὐτῶν· ἐπεὶ ὅσοις γε δοκεῖ τὸν λόγον ὀρθὸν παρέχειν ἡ ἀρετὴ, τοῦτο αἴτιον· ἡ μὲν ἐγκράτεια τοιοῦτον τῶν ἐπαινετῶν δὴ ἐγκράτεια· λέγομεν δὲ προαπορήσαντες· ἔστι γὰρ τὸν μὲν σκοπὸν ὀρθὸν εἶναι· ἐν δὲ τοῖς πρὸς τὸν σκοπὸν διαμαρτάνειν· ἔστι δὲ τὸν μὲν σκοπὸν ἡ μαρτῆσθαι· τὰ δὲ πρὸς ἐκεῖνον περαίνοντα ὀρθῶς ἔχειν· καὶ μηδέτερον· πότερον δὴ ἀρετὴ ποιεῖ τὸν σκοπὸν ἢ τὰ πρὸς τὸν σκοπόν τιθέμεθα δὴ ὅτι τὸν σκοπόν· διότι τούτου οὐκ ἔστι συλλογισμὸς οὐδὲ λόγος· ἀλλὰ δὴ ὥσπερ ἀρχὴ τοῦτο ὑποκείσθω· οὔτε γὰρ ἰατρὸς σκοπεῖ εἰ δεῖ ὑγιαίνειν, ἢ μή· ἀλλ' εἰ περιπατεῖν ἢ μή· οὔτε ὀγυμναστικὸς εἰ δεῖ εὖ ἔχειν ἢ μή· ἀλλ' εἰ παλαίσαι ἢ μή· ὁμοίως δ' οὐδ' ἄλλη οὐδεμία περὶ τοῦ τέλους· ὥσπερ γὰρ ταῖς θεωρητικαῖς αἱ ὑποθέσεις ἀρχαὶ, οὕτως ταῖς πρακτικαῖς τὸ τέλος ἀρχὴ καὶ ὑπόθεσις· ἐπεὶ δὲ δεῖ τόδε ὑγιαίνειν, ἀνάγκη τοδὶ ὑπάρξαι εἰ ἔσται ἐκεῖνο· ὥσπερ ἐκεῖ εἰ ἔστι τὸ τρίγωνον δύο ὀρθαὶ, ἀνάγκη τοδὶ εἶναι· τῶν μὲν οὖν νοήσεως ἀρχὴ τὸ τέλος· τῶν δὲ πράξεως ἡ τῶν νοήσεως τελευτή· εἰ οὖν πάσης ὀρθότητος, ἢ ὁ λόγος ἢ ἡ ἀρετὴ αἰτία, εἰ μὴ ὁ λόγος, διὰ τὸν ἀρετὸν ἂν ὀρθὸν ἂν εἴη τὸ τέλος, ἀλλ' οὐ τὰ πρὸς τὸ τέλος· τέλος δὲ ἔστι τὸ οὗ ἕνεκα· ἔστι γὰρ πᾶσα προαίρεσις τινός· καὶ ἕνεκά τινος· οὗ μὲν οὖν ἕνεκα τὸ μέσον ἐστίν, οὗ αἰτία ἡ ἀρετὴ, τὸ προαιρεῖσθαι οὗ ἕνεκα· τὸ μὲν οὖν τυγχάνειν τούτων ἄλλης δυνάμεως, ὅσα δεῖ· ἔστι μέντοι ἡ προαίρεσις οὐ τούτου ἀλλὰ τῶν τούτου ἕνεκα· ἕνεκα τοῦ τέλους δεῖ πράττειν· τοῦ δὲ τὸ τέλος ὀρθὸν εἶναι τῶν προαιρέσεως· οὗ ἡ ἀρετὴ αἰτία καὶ διὰ τοῦτο ἐκτῆς προαιρέσεως κρίνομεν ποῖός τις· τοῦτο δὲ ἔστι τὸ τίνος ἕνεκα πράττει·

ἀλλ' οὐ τί πράττει· ὁμοίως δὲ καὶ ἡ κακία τῶν ἐναντίων ἕνεκα
ποιεῖ τὴν προαίρεσιν· εἰ δή τις ἐφ' αὑτῷ ὂν πράττειν μὲν τὰ κα-
λὰ ἀπρακτεῖν δὲ τὰ αἰσχρὰ, τὐναντίον ποιεῖ, δῆλον ὅτι οὐσπου
δαῖός ἐστιν οὗτος ὁ ἄνος· ὥστ' ἀνάγκη τὴν τε κακίαν ἑκούσιον
εἶναι καὶ τὴν ἀρετήν· οὐδεμία γὰρ ἀνάγκη τὰ μοχθηρὰ πράττειν·
διὰ ταῦτα καὶ ψεκτὴν ἡ κακία· καὶ ἡ ἀρετὴ ἐπαινετόν· τὰ γὰρ
ἀκούσια αἰσχρὰ καὶ κακὰ, οὐ ψεκτά· οὐδὲ τὰ ἀγαθὰ ἐπαινετά·
ἀλλὰ τὰ ἑκούσια· ἔτι πάντας ἐπαινοῦμεν καὶ ψέγομεν, εἰς τὴν
προαίρεσιν βλέποντες μᾶλλον ἢ εἰς τὰ ἔργα· καίτοι αἱρετώτε-
ρον ἡ ἐνέργεια τῆς ἀρετῆς· ἔτι πράττουσι μὲν φαῦλα καὶ ἀνα-
γκαζόμενοι· προαιρεῖται δ' οὐδείς· ἔτι διὰ τὸ ῥᾴδιον εἶναι ἰδεῖν τῆς
προαίρεσιν ὁ πρῖάτις, διὰ ταῦτα ἐκ τῶν ἔργων ἀνα
γκαζόμεθα κρίνειν ὁ πρῖός τις· αἱρετώτερον
μὲν οὖν ἡ ἐνέργεια ἐπαινετώτερον δὴ προ
αίρεσις· ἔκτε τῶν κειμένων οὖν συμ
βαίνει ταῦτα καὶ ἔτι ὁμολο
γεῖται τοῖς φαινο
μένοις.

ΤΕΛΟΣ ΤΟΥ Β'.

ἈΡΙΣΤΟΤΈΛΟΥΣ ἨΘΙΚΩ̂Ν ΕὐΔΗΜΊΩΝ, ΤὸΓ'.

Ϝ'



Ὅτι μὲν οὖν μεσότητες εἰσί τε ἐν ἀρε-
ταῖς καὶ αὗται προαιρετικαὶ, καὶ αἱ
ἐναντίαι κακίαι, καὶ τίν εἰσὶν αὗται,
καθόλου εἴρηται· καθ' ἑκάστην δὲ λαμ-
βάνοντες λέγομεν ἐφεξῆς· καὶ πρῶ-
τον εἴπομεν περὶ ἀνδρίας· σχεδὸν δὴ
δοκεῖ πᾶσιν, ὅ, τἀνδρεῖος εἶναι περὶ
φόβους, καὶ ἡ ἀνδρεία μία τῶν ἀρετῶν· δεῖλο μὲν δ' ἐν τῇ δια-
γραφῇ πότερον θράσος καὶ φόβος ἐναντία· καὶ γὰρ ἐστί πως
ἀντικείμενα ἀλλήλοις· δῆλον οὖν ὅτι καὶ οἱ κατὰ τὰς ἕξεις
ταύτας λεγόμενοι ὁμοίως ἀντικείσονται σφίσιν αὐτοῖς· οἷον
ὁ δειλός· οὗτος γὰρ λέγεται κατὰ τὸ φοβεῖσθαι μᾶλλον ἢ δεῖ
καὶ θαρρεῖν ἧττον ἢ δεῖ· καὶ ὁ θρασύς· καὶ γὰρ οὗτος κατὰ τὸ
τοιοῦτος εἶναι, οἷος φοβεῖσθαι μὲν ἧττον ἢ δεῖ· θαρρεῖν δὲ μᾶλ-
λον ἢ δεῖ· διὸ καὶ παρωνυμιάζεται, ὁ γὰρ θρασὺς παρὰ τὸ
θράσος λέγεται παρωνύμως· ὥς τε περὶ τῇ ἀνδρίᾳ ἐστὶν ἡ βελ-
τίστη ἕξις περὶ φόβους καὶ θάρρη, δεῖ δὲ μήθ' οὕτως ὡς οἱ θρα-
σεῖς· τὰ μὲν γὰρ ἐλλείπουσι· τὰ δ' ὑπερβάλλουσι· μήθ' οὕ-
τως ὡς οἱ δειλοί· καὶ γὰρ οὗτοι ταυτοποιοῦσι· πλὴν οὐ περὶ
ταῦτα ἀλλ' ἐξ ἐναντίας· τῷ μὲν γὰρ θαρρεῖν ἐλλείπουσι· τῷ
δὲ φοβεῖσθαι ὑπερβάλλουσι· δῆλον ὡς ἡμέσῃ διάθεσις, θρα-
σύτητος καὶ δειλίας ἐστὶν ἀνδρία· αὕτη γὰρ βελτίστη· δο-
κεῖ δ' ὁ ἀνδρεῖος ἄφοβος εἶναι ὡς ἐπὶ τὸ πολύ· ὁ δὲ δειλὸς φο

βητικός· καὶ ὁ μὲν πολλὰ καὶ ὀλίγα καὶ μεγάλα καὶ μι-
κρὰ φοβεῖται καὶ σφόδρα καὶ ταχύ· ὁ δὲ τὸ ἐναντίους· ἢ οὐ-
φοβεῖται ἢ ἠρέμα καὶ μόλις καὶ ὀλιγάκις καὶ μεγάλα·
καὶ ὁ μὲν ὑπομένει τὰ φοβερὰ σφόδρα· ὁ δὲ, οὐδὲ τὰ ἠρέμα·
ποῖα οὖν ὑπομένει ὁ ἀνδρεῖος πρῶτον· πότερον τὰ αὐτῷ φο-
βερά· ἢ τὰ ἑτέρῳ· εἰ μὲν δὴ τὰ ἑτέρῳ φοβερὰ, οὐθὲν σεμνὸς
φαίη ἄντις εἶναι· εἰ δὲ τὰ αὐτῷ, εἴη ἂν αὐτῷ μεγάλα καὶ
φοβερὰ φόβου ποιητικὰ ἑκάστῳ ᾧ φοβερά· οἷον εἰ μὲν σφόδρα
φοβερὰ εἴη ἂν ἰσχυρὸς ὁ φόβος· εἰ δ' ἠρέμα ἀσθενής· ὥστε συμ-
βαίνει τὸν ἀνδρεῖον μεγάλους φόβους καὶ πολλοὺς ποιεῖσθαι·
ἐδόκει δὲ τοὐναντίον ἡ ἀνδρεία φόβον παρασκευάζειν· τοῦτο
δ' εἶναι ἐν τῷ ἢ μηθὲν ἢ ὀλίγα φοβεῖσθαι, καὶ ἠρέμα καὶ μό-
λις· ἀλλ' ἴσως τὸ φοβερὸν λέγεται ὥσπερ καὶ τὸ ἡδὺ καὶ τἀ-
γαθὸν διχῶς· τὰ μὲν γὰρ ἁπλῶς· τὰ δὲ τινὶ μὲν καὶ ἡδέα καὶ
ἀγαθά ἐστιν· ἁπλῶς δ' οὔ· ἀλλὰ τοὐναντίον φαῦλα καὶ οὐχ ἡ-
δέα· ὅσα τοῖς πονηροῖς ὠφέλιμα καὶ ὅσα ἡδέα τοῖς παιδίοις
ἢ παιδία· ὁμοίως δὲ καὶ τὰ φοβερὰ τὰ μὲν, ἁπλῶς εἰσι· τὰ
δὲ τινί· ἃ μὲν δὴ δειλὸς φοβεῖται ἢ δειλὸς, τὰ μὲν, οὐδενί ἐστι
φοβερά, τὰ δ' ἠρέμα· τὰ δὲ τοῖς πλείστοις φοβερὰ, καὶ ὅσα
τῇ ἀνθρωπίνῃ φύσει, ταῦθ' ἁπλῶς λέγομεν· ὁ δ' ἀνδρεῖος πρὸς
ταῦτα ἔχει ἀφόβους· καὶ ὑπομένει τὰ τοιαῦτα φοβερὰ, ἅ
ἐστι μὲν ὡς φοβερὰ αὐτῷ· ἔστι δ' ὡς οὔ· ἢ μὲν ἄνθρωπος φοβε-
ρά· ἡ δ' ἀνδρεῖος οὐ φοβερά· ἀλλ' ἢ ἠρέμα ἢ οὐδαμῶς· ἔστι μέντοι
φοβερὰ ταῦτα· τοῖς γὰρ πλείστοις φοβερά· διὸ καὶ ἐπαινεῖ-
ται ἡ ἕξις· ὥσπερ γὰρ ὁ ἰσχυρὸς καὶ ὑγιεινὸς ἔχει· καὶ γὰρ οὗτοι,
οὐτῷ ὑπὸ μηθενὸς ὁ μὲν πόνου τρίβεσθαι, ὁ δ' ὑπὸ μηδεμιᾶς
ὑπερβολῆς, τοιοῦτοί εἰσιν· ἀλλὰ τῷ ὑπὸ τούτων ἀπαθεῖς
εἶναι ἢ ἁπλῶς ἢ ἠρέμα ὑφ' ὧν οἱ πολλοὶ καὶ οἱ πλεῖστοι· οἱ μὲν
οὖν νοσώδεις καὶ ἀσθενεῖς καὶ δειλοὶ, καὶ ὑπὸ τῶν κοινῶς
παθημάτων πάσχουσί τι· πλὴν θᾶττόν τε καὶ μᾶλλον ἢ οἱ πολλοί·

καὶ

καὶ ἔτι φῶν οἱ πολλοὶ πάσχουσιν ὑπὸ τούτων ἀπαθεῖς ἢ ὅλως ἢ ἠρέμα. ἀπορεῖται δὲ τῷ ἀνδρείῳ οὐδὲν ἐστι φοβερόν. ὅδε δ' οὐ φοβηθείη. ἢ ὅθεν κωλύσει τὸν εἰρημένον τρόπον. ἡ γὰρ ἀνδρία ἀκολούθησις τῷ λόγῳ ἐστίν. ὁ δὲ λόγος τὸ καλὸν αἱρεῖσθαι κελεύει. διὸ καὶ ὁ μὴ διὰ τοῦτον ὑπομένων αὐτὰ, οὗτος ἢ τοιοῦτος ἐξέστηκεν ἢ θρασύς. ὁ δὲ διὰ τὸ καλὸν ἀφοβος καὶ ἀνδρεῖος μόνος. ὁ μὲν οὖν δειλὸς καὶ ἃ μὴ δεῖ φοβεῖται. ὁ δὲ θρασὺς καὶ ἃ μὴ δεῖ θαρρεῖ. ὁδ' ἀνδρεῖος, ἀμφω δὲ δεῖ καὶ ταύτη μέσος ἐστίν. ἃ γὰρ αὐτὸ ὁ λόγος κελεύει ταῦτα καὶ θαρρεῖ καὶ φοβεῖται. ὁ δὲ λόγος τὰ μεγάλα λυπηρὰ καὶ φθαρτικὰ ὅσα κελεύει ὑπομένειν αὐ μὴ καλὰ ᾖ. ὁ μὲν οὖν θρασὺς καὶ εἰ μὴ κελεύει, ταῦτα θαρρεῖ. ὁ δὲ δειλὸς οὐ δὲν κελεύει. ὁ δ' ἀνδρεῖος μόνος ἐὰν κελεύῃ. ὅτι δὲ εἴδη ἀνδρίας πέντε λεγόμενα καθ' ὅμοιότητα, αὐτὰ ἃ ὑπομένουσιν ἀλλ' ὅδε τὰ αὐτὰ μία μὲν πολιτική. αὕτη δ' ὅτιν ἰδιαίδω οὖσα. δευτέρα ἕξις πωτική. αὕτη δὲ ἔμπειρία ἂν ᾖ τὸ εἰδέναι οὐχ ὅσπερ σωκράτης ἔφη τὸ δεινὰ, ἀλλ' ὅτι τὰς βοηθείας τῶν δεινῶν. τρίτη δὲ διάπειρία καὶ ἄτνοια δίκην τὰ πάθη διὰ καὶ οἰμανὸ μανοι, οἱ μὲν ὑπομένουσι τὰ φοβερά. οἱ δὲ λαμβάνουσι τοὺς ὄφεις. ἄλλη δὲ κατὰ λαπίδα. καθ' ἣν οἵτι κατυωχικότ πολλάκις ὑπομένουσι φοβερὰ κινδύνους. ἢ οἰμιθύοντες. ὑέλπίδας δὲ πρὸ ὁ οἶνος. αὕτη δὲ διὰ πάθος ἀλόγιστον. οἷον δ' ἔρωτα ἢ θύμόν. αὐτὴ δ' ἐρᾷ θρασὺς μᾶλλον ἢ δειλός. ἢ ὑπομένει πολλὰς κινδύνους ὥσπερ ὁ ἐν μέθαις πρὸ τῷ τὸν τύραννον ἀποκτεῖναι. ὁ δὲ μικρὸν τὴν μυθολογούμενος. καὶ διὸ ὀργὴν καὶ θυμὸν ὡσαύτως. ἐκπληκτικὸν γὰρ ὁ θυμός. διὸ καὶοἱ ἄγριοι θῆρες ἀνδρεῖοι δοκοῦσιν εἶναι διὰ τὸ ἐκπλήττεσθαι τοὺς οὕτοι εἰσίν. εἰδεμὴ, ἀνώμαλοι ὥσπερ οἱ θρασεῖς. ὅμως δὲ μάλιστα φυσικὴ ἡ τοῦ θυμοῦ. ἀπίπτωτον γὰρ ὁ θυμός. διὸ ἢ οἱ πολῖται ἀεὶ τοῦ μάχονται. διὰ νόμον δὲ ἡ πολιτικὴ ἀνδρεία.

κατὰ λήθειαν δὲ μία τούτων· ἀλλὰ πρὸς τὰς παρακελεύσεις
τὰς ἐν τοῖς κινδύνοις χρήσιμα ταῦτα πάντα· περὶ δὲ τῶν φο-
βερῶν νῦν μὲν ἁπλῶς εἰρήκαμεν· βέλτιν δὲ διορίσασθαι μᾶλ
λον· ὅλως μὲν οὖν φοβερὰ λέγεται τὰ τοιητικὰ φόβου· τοιαῦτα
δ' ἐστὶν ὅσα φαίνεται ποιητικὰ λύπης φθαρτικῆς· τοῖς δὲ ἄλ-
λην τινὰ προσδεχομένοις λύπην, ἑτέρα μὲν ἄν τις ἴσως λύπη
γένοιτο· καὶ πάθος ἕτερον φόβος δ' οὐκέσται· οἷον εἴ τις προορῶτο
ὅτι λύπη ἔσται, λύπην ἢν φθονοῦντες λυποῦνται, ἢ αὐτὴν
οἵαν οἱ ζηλοῦντες ἢ οἱ αἰσχυνόμενοι· ἀλλ' ἐπὶ μόναις ταῖς τοιαύ-
ταις φαινομέναις ἔσεσθαι λύπαις φόβος γίνεται, ὅσων ἡ φύ-
σις ἀναιρετικὴ τοῦ ζῆν· διὸ καὶ σφόδρα τινὲς ὄντες μαλακοὶ
περὶ ἔνια ἀνδρεῖοί εἰσι· καὶ ἔνιοι σκληροὶ καὶ καρτερικοὶ καὶ δει-
λοί· καὶ δὴ δοκεῖ σχεδὸν ἴδιον τῆς ἀνδρείας εἶναι, τὸ περὶ τὸν θά
νατον καὶ τὴν τούτου λύπην ἔχειν πῶς· εἰ γὰρ τις εἴη τοιοῦ-
τος πρὸς ἀλέας καὶ ψύχη καὶ τὰς τοιαύτας λύπας ὑπομενη
τικὸς ὡς ὁλόγος ἀκινδύνους οὔσας· πρὸς δὲ τὸν θάνατον καὶ
μαλακὸς καὶ περὶ φόβος μὴ δι' ἄλλο τι πάθος ἀλλὰ δι' αὐτὴν τὴν
φθοράν· ἄλλος δὲ πρὸς μὲν ἐκείνας μαλακὸς, πρὸς δὲ τὸν θάνατον
ἀπαθὴς, ἐκεῖνος μὲν ἂν εἶναι δόξειε δειλός· οὗτος δ' ἀνδρεῖος· καὶ
γὰρ κίνδυνος ὑπὲρ τοῖς τοιούτοις λέγεται μόνοις τῶν φοβερῶν, ὅταν
πλησίον ἢ τὸ τοιαύτης φθορᾶς τοιητικόν· φαίνεται δὲ κίν
δυνος ὅταν πλησίον φαίνεται· τὰ μὲν οὖν φοβερὰ περὶ ὅσα φα-
μὲν εἶναι τὸν ἀνδρεῖον εἴρηται· διότι τὰ φαινόμενα ποιητικὰ
λύπης τῆς φθαρτικῆς· ταῦτα μέντοι πλησίον τε φαινόμενα,
καὶ μὴ πόρρω· καὶ τοσαῦτα τῷ μεγέθει ὄντα ἢ φαινόμενα ὥστ' εἶ-
ναι σύμμετρα πρὸς ἄνδρα· ἔνια γὰρ ἀνάγκη παντὶ φαίνεσθαι
ἀνῷ φοβερὰ καὶ διαταράττειν· οὐδὲν γὰρ κωλύει ὥσπερ θερμεὰ
καὶ ψυχρὰ καὶ τῶν ἄλλων δυνάμεων ἐνίας ὑπὲρ ἡμᾶς εἶναι καὶ
τὰς τοῦ ἀνθρωπίνου σώματος ἕξεις, οὕτω καὶ τῶν περὶ τὴν ψυχὴν
παθημάτων, οἱ μὲν δειλοὶ καὶ θρασεῖς διαψεύδονται διὰ τὰς ἕξεις·

τῷ

τῷ μὴ γὰρ δεινῶ, τάχ', τι μὴ φοβερὰ δοκεῖ φοβερὰ εἶναι· καὶ τὸν ἥρεμα θαρραλέα· καὶ τὸν θρασεῖ τοίνυν τοιοῦτος· τάχα φοβερὰ θαρραλέα· καὶ τὸν θρασὺ, ἥρεμα· τῷ δὲ ἀνδρείῳ τὰ ληθῆ μάλιστα· διόπερ οὐ τεῖ τισὶ ὑπομένει τὰ φοβερὰ δι' ἄνοιαν, ἀνδρεῖος· οἷον εἴ τις τοὺς κεραυνοὺς ὑπομένει φερομένους διὰ μανίαν· οὐ τεῖ γινώσκων ὅσος ὁ κίνδυνος, διὰ θυμόν· οἷον οἱ κελρὶ πρὸς τὰ κύματα τὰ ὄλλα ἀφαντῶσι λαβόντες· καὶ ὅλως ἡ βαρβαρικὴ ἀνδρεία μετὰ θυμοῦ ἔστιν· ὡς οἱ δὲ καὶ διάφορος ἡ δοκοῦσ ὑπομένουσι· καὶ γὰρ ὁ θυμὸς ἡδονήν ἔχει τινά· μετ' ἔλπίδος γάρ ἔστι τιμωρίας· ἀλλ' ὅμως οὐ τεῖ διὰ ταύτην οὐ τεῖ διὰ ἄλλην ἡδονὴν ὑπομένει τις τὸν θάνατον, ἢ φυγὴν μειζόνων λυπῶν, οὐδεὶς δικαίως ἀνδρεῖος λέγοιτο τούτων· εἰ γὲ ἦν ἡδὺ τὸ ἀποθνήσκειν πολλάκις ἀν' ἄκρασίαν ἀποθνήσκουσι, οἱ ἀκόλαστοι ὥσπερ καὶ νῦν· ἀν τοίνυν τὸ ἀποθνήσκειν οὐκόν τος ἡδύ· ἔστω τοι ἡ τινὶ δ' αὐτοῦ πολλοῖς δι' ἀκρασίαν πεπίπτουσιν· εἰ δ' τι, οὐν οὐδεὶς ἀνδρεῖος εἶναι δόξειεν εἰ καὶ φαύλως τοίμως ἀποθνήσκειν· οὐ τεῖ φύγοι τις τὸ πονεῖν ὥσπερ πολλοὶ πράττουσιν, οὐδὲ τῶν τοι οὐτων οὐδεὶς ἀνδρεῖος καθάπερ ἐξ ἀγάθων φησί· φαῦλοι βροτῶν δ' τοι πονεῖν κατώμοι, θανεῖν ἐρῶσι ὡς περ καὶ τὸν χείρω μεμυθολογῦσιν οἱ ποιηταί δ' κτὶ ὰ ἀπὸ τοι ἑλκους ὀδυνώμενοι ξαθ' ἀποθανεῖν ἀθάνατον ὄντα· παραπλησίως δὲ τούτοις, καὶ ὅσοι δι' ἐμπειρίαν ὑπομένουσι τοὺς κινδύνους· οὐ περ τρόπον χρῶνται οἱ πλεῖστοι τ στρατιωτικῶν ἀνθρώπων ὑπομένουσιν· αὐτὸ γὲ τοὐναντίον ἔχει ἢ ὡς φέρετο σωκράτης, ὡς τὸ μὴ ὀκνεῖν τὸν ἀνδρείαν εἶναι· οὔτε γὰρ διὰ τὸ εἶναι τὸ φοβερὰ θαρροῦσιν οἱ ἐπὶ τοὺς ἴσους ἀναβαίνειν ἐπισταμένοι, ἀλλ' ὅτι ἴσασι τὰς βοηθείας τ δεινῶν, οὔτε διὰ θαρραλεώτερον ἀεὶ ζῶντα τὸν τῦρ ἀνδρεία· καὶ γὰρ ἀν ἡ ἰχὺς καὶ ὁ πλοῦτος κατὰ θέσιν ἀνδρεία εἴη· ὡς γὰρ ἀνὴρ πρὶν ἢ δεινὰ παθεῖν φανερῶς ἔνιοι δειλοὶ ὄντες ὅμως ὑπομένουσι δὲ

ἐμπειρίαν· τοῦτο δὲ, ὅτι οὐκ οἴονται κίνδυνον εἶναι· ἴσασι γὰρ
τὰς βοηθείας· σημεῖον δὲ ὅταν γὰρ μὴ ἔχειν οἴονται βοήθειαν·
ἀλλ' ἤδη πλησίον ἢ τὸ δεινὸν οὐχ ὑπομένουσιν· ἀλλὰ πάντων
τῶν τοιούτων αἰτίων οἱ διὰ τὴν αἰδῶ ὑπομένοντες μάλιστα
φανεῖεν ἀνδρεῖοι· καθάπερ καὶ ὅμηρος τὸν ἕκτορα φησὶν
ὑπομεῖναι τὸν κίνδυνον τὸν πρὸς τὸν ἀχιλλέα· ἕκτορα δ' αἰ-
δὼς εἷλε· πουλυδάμας μοι πρῶτος ἐλεγχείην ἀναθήσει· καὶ
ἐστὶν ἡ πολιτικὴ ἀνδρεία αὕτη· ἡ δ' ἀληθὴς οὔτε αὕτη· οὔτε ἐκεί-
νων οὐδεμία· ἀλλὰ ὁμοία μὲν ὥσπερ καὶ ἡ τῶν θηρίων· ἃ διὰ
τὸν θυμὸν ὁμόσε τῇ πληγῇ φέρεται· οὔτε γὰρ ὅτι ἀδοξήσει,
δεῖ μένειν φοβουμένους· οὔτε δι' ὀργήν· οὔτε διὰ τὸ μὴ νομίζειν
ἀποθανεῖσθαι, ἢ διὰ τὸ δυνάμεις ἔχειν φυλακτικάς· οὔτε γὰρ
οἰήσεται οὕτω γε φοβερὸν εἶναι οὐθέν· ἀλλ' ἐπεὶ δὴ πᾶσα ἀρε-
τὴ προαιρετική· τοῦτο δὲ πῶς λέγομεν· εἴρηται πρότερον, ὅτι
ἕνεκά τινος πάντα αἱρεῖσθαι ποιεῖ· καὶ τοῦτο ἐστὶ τὸ οὗ ἕνεκα τὸ
καλὸν, δῆλον ὅτι καὶ ἡ ἀνδρεία ἀρετήτις οὖσα ἕνεκά τινος
ποιήσει τὰ φοβερὰ ὑπομένειν· ὥστε δι' ἄγνοιαν· ὀρθῶς ἢ μᾶλ-
λον ποιεῖ κρίνειν· οὔτε δι' ἡδονήν· ἀλλ' ὅτι καλόν· ἐπεὶ ἄν γε μὴ
καλὸν ᾖ ἀλλὰ μανικὸν οὐχ ὑπομένει· αἰσχρὸν γὰρ· περὶ ποῖα
μὲν οὖν ἐστὶν ἡ ἀνδρεία μεσότης καὶ τίνων καὶ διὰ τί καὶ τὰ φο-
βερὰ τίνα δύναμιν, σχεδὸν εἴρηται κατὰ τὴν παροῦσαν ἔφοδον
ἱκανῶς· περὶ δὲ σωφροσύνης καὶ ἀκολασίας μετὰ ταῦτα διε-
λέσθαι πειρατέον· λέγεται δ' ὁ ἀκόλαστος πολλαχῶς· ὅτε γὰρ μὴ
κεκολασμένος πῶς μὴ δι' ἀτρευόμενος ὥσπερ ἄτμητος ὁ
μήτε τμημένος· καὶ τούτων ὁ μὲν, δυνατός· ὁ δ' ἀδύνατος· ἄ-
τμητον γὰρ τό, τε δυνάμενον τμηθῆναι· καὶ τὸ δυνατὸν μὲν μὴ
τε τμημένον δέ· τὸν αὐτὸν τρόπον καὶ τὸ ἀκόλαστον· καὶ γὰρ τὸ μὴ
πεφυκὸς δέχεσθαι κόλασιν· καὶ τὸ πεφυκὸς μὲν μὴ κεκολα-
σμένον δὲ περὶ ἁμαρτίας, περὶ ἃς ὀρθοπραγεῖ ὁ σώφρ ὥσπερ
οἱ παῖδες· κατὰ ταύτην γὰρ ἀκόλαστοι λέγονται τὴν ἀκολα-

σίαν·

σίαν· ἔτι δ' ἄλλον τρόπον οἱ δυσίατοι καὶ ἀνίατοι πάμπαν διὰ κολάσεως· πλεοναχῶς δὲ λεγομένης φλ ἀκολασίας, ὅτι μὲν περὶ ἡδονάς τινας καὶ λύπας εἰσὶ, φανερόν· καὶ ὅτι ἐν τῷ περὶ ταύτας διακεῖσθαι τῶς, καὶ ἀμήλων διαφέρουσι καὶ τῶν ἄλλων· διειλήφαμεν δὲ πρότερον, πῶς τὴν ἀκολασίαν ὀνομάζοντες μεταφέρομεν· τοὺς γὰρ ἀκινήτως ἐχοντας διὰν αἰσθησίαν πρὸς τὰς αὐτὰς ἡδονάς, οἱ μὲν καλοῦσιν ἀναισθήτους· οἱδὲ ἄλλοις ὀνόμασι τοιούτοις προσαγορεύουσιν· ὅτι δ' ὀλίγη τις ἡ μοιρα τοιαύτη πάθος οὐδὲ ἐπιπόλαιον· διὰ τοῦτο ἐπὶ θάτερον ἁμαρτάνειν μᾶλλον καὶ πᾶσιν εἶναι σύμφυτον τὴν τῶν τοιούτων ἡδέων ἧπαν καὶ αἰσθησιν· μάλιστα δ' εἰσὶ φιοῦτοι οἷς οἰκονομοδιδάσκαλοι πᾶς ἀγροίκους· οἱ οὐδὲ τὰ μέτρια καὶ τὰ ἀναγκαῖα πλησιάζουσι τοῖς ἡδέσιν· ἐπεὶ δ' ὀσώφρων ὅτι περὶ ἡδονὰς ἀνάγκη καὶ περὶ ὧν θυμίας τινὰς αὐτὸν εἶναι· δεῖ δὴ λαβεῖν περί τινας· οὐ γὰρ περὶ πάσας· οὐδὲ περὶ ἅπαντα τὰ ἡδέα ὀσώφρων ὅτι· ἀλλὰ τὴν μὲν ὄξη περὶ δύο τῶν αἰσθητῶν· περί τε τὸ γευστὸν καὶ τὸ ἁπτόν· τὴν δὲ ἀληθείας περὶ τὸ ἁπτόν· περὶ γὰρ τὴν διὰ φλόγεως ἡδονὴν τῶν καλῶν οὔτε ἐπιθυμίας ἀφροδισίων, ἢ λύπην τ' αἰσχρῶν· καὶ περὶ τὴν διὰ φλακῆς τῶν ἐναρμόστων ἢ ἀναρμόστων, ἔτι δὲ πρὸς τὰς δ' ὀσφρήσεως τούτων ἐπιθυμίας ἢ τὰς ἀπὸ δυσωδίας ἢ τὰς ἀπὸ δυσωδίας οὐκ ὄστιν ὀσώφρων· οὐδὲ γὰρ ἀκόλαστος οὐδεὶς λέγεται τῷ πάσχειν ἢ μὴ πάσχειν· εἰ γοῦν τις ἢ καλὸν ἀνδριάντα θεώμενος σῖτα ἢ ἵππον ἢ ἄνθρωπον, ἢ ἀκροώμενος ἄδοντος, μὴ βάλοιτο μήτε ἐδίειν μήτε πίνειν μήτι ἀφροδισιάζειν, ἀλλὰ τοῦ μὲν καλὰ θεωρεῖν· τ' δὲ δόντων ἀκούειν, οὐκαὰν δόξειεν ἀκόλαστος εἶναι· ὡς περ οὐδὲ κηλούμενοι περὶ τοῖς σειρῆσιν· ἀλλὰ περὶ τὰ δύο τῶν αἰσθητῶν τοῦτο, περὶ ἅπερ καὶ τἄλλα θηρία μόνα τυγχάνει αἰσθητικῶς ἔχοντα ἢ χαίροντα ἢ λυπούμενα, περὶ τὸ γευστὸν ἢ ἁπτὰ, περὶ δὲ τοῦτ' ἄλλων αἰσθήσεων ἡδέα χρὴν ὁμοίως ἅπαν-

τα φαίνεται αἰσθήτως διακείμενα. οἷον περὶ ἁρμοσίαν ἢ κάλλος. οὐδὲν γὰρ ὅτι καὶ ἄξιον λόγου φαίνεται πάσχοντα αὐτῆ τῇ θεωρίᾳ τῶν καλῶν. ἢ τῇ ἀκροάσει τῶν ῥυθμῶν ἐμπίπτει συμβέβηκε τισὶ τῶνδε, ἀλλ' ὁδὲ πρὸς τὰ ὠφέλιμα ἢ βλαβερά. καίτοι τάς γε αἰσθήσεις ὀξυτέρας ἔχουσι ὡς ἔστας. ἀλλὰ μὴ τῶν ὁμοίων τούτοις χαίρουσιν ὅσοι κατὰ συμβεβηκὸς ὠφελοῦσιν. ἀλλὰ μὴ καθαυτάς. λέγω δὲ καθαυτὰς αἷς μὴ ἕπεται χάρις μνήμη ἢ μεμνημένοις οἷον ὄψεως καὶ ποτῶν. δῆλον γὰρ ἡδονὴν τούτοις χάριν μνήμης τὴν τοῦ φαγεῖν ἢ πιεῖν. καθαυτὰς δέ, οἷον αἰτῶν αὐτῶν φύσιν. διὸ ἐμμελὴς ἐφηρμοστόνικος. τὰς μὲν καλὸν ὄζειν. τὰς δὲ ἡδύ. ἐπεὶ καὶ τὸ πεῖν ποτὸν ἡδονὴν ἐποίησε τὸ θερμὸν. οὐ ὅσον τῷ ἄκρῳ φλογώτητος ἡ αἴσθησις, ἀλλ' ὅσον τῷ φάρυγι. διὸ οἱ ὀψοφάγοι, οὐκ ἔχουσι τὸν γλῶτταν ἀνέχειν μακράν, ἀλλὰ τὸν φάρυγγα μακράν. ὥσπερ φιλόξενος ὁ δεξύστομος. ὥστε πεῖν τὸ ἀπύμμα ὡς ἀπολαυστικώτατον τὴν ἀκολασίαν. ὁμοίως δὲ καὶ ὁ ἀκόλαστος περὶ τὰς τοιαύτας ἐστίν. οἰνοφλυγία γὰρ καὶ γαστριμαργία καὶ λαγνεία καὶ ὀψοφαγία, καὶ πάντα τὰ τοιαῦτα, περὶ τὰς εἰρημένας ἐστὶν αἰσθήσεις. εἰς ἃ περ μέλλει ἡ ἀκολασία διαιρεῖται. περὶ δὲ τὰς δι' ὄψεως ἢ ἀκοῆς ἢ ὀσφρήσεως ὁμοίως, οὐθεὶς λέγεται ἀκόλαστος ἐὰν ὑπερβάλλῃ ἀλλ' αὖ ὀνείδους τὰς ἁμαρτίας ἔχει μᾶλλον τούτους ἢ ὅλως περὶ ὅσα μὴ λεγόμενα ἐγκρατεῖς. οἱ δ' ἐγκρατεῖς οὐκ εἰσὶν ἀκόλαστοι οὐδὲ σώφρονες. ἀναισθητος μὲν ἔστιν ἢ ὅπως δεῖ ὀνομάζειν, ὁ οὕτως ἔχων ὥστε μηδὲν ἐλλείπειν ὅλως, ἀναγκαιοτάτων εἶναι ὡς ἐπὶ τὸ πολὺ πάντας ἥδεσθαι χαίρειν. ὁ δ' ὑπερβάλλων ἀκόλαστος. πάντες γοῦν τούτοις φύσει τὰ χαίρουσι καὶ ἐπιθυμίας λαμβάνουσι καὶ οὐκ εἰσὶν οὐδὲ λέγονται ἀκόλαστοι. καὶ γὰρ ὑπερβάλλουσι τῷ χαίρειν μᾶλλον ἢ δεῖ τυγχάνοντες. καὶ λυπεῖσθαι μᾶλλον ἢ δεῖ μὴ τυγχάνοντες. οὐδὲ ἀναλγητοι. ὀργῆς μὲν ἐλλείπουσι ἢ χαίρειν ἢ λυπεῖσθαι. αἰεὶ δὲ μᾶλλον

λον

λον ὑπερβάλλουσιν· ἐπεὶ δ' ὅτι ὑπερβολὴ καὶ ἔλλειψις περὶ αὐτὸ, δηλονότι ⟨ε⟩ μεσότης· καὶ βελτίστη αὕτη ἡ ἕξις· ⟨ε⟩ ἀμφοῖν ἐναντία· ὥστε τὸ σωφροσύνη ἡ βελτίστη ἕξις, περὶ ἀμφότερα ὁ ἀκόλαστος, ἡ περὶ τὰ ἡδέα τὰ εἰρημένα τῶν αἰσθητῶν μεσότης, σωφροσύνη αὖ εἴη, μεσότης οὖσα ἀκολασίας ⟨ε⟩ ἀναισθησίας· ἡ δ' ὑπερβολὴ ἀκολασία· ἡ δ' ἔλλειψις ἤτοι ἀνώνυμος, ἢ τοῖς εἰρημένοις ὀνόμασι προσαγορευομένη· ἀκεί βέτερον δὲ περὶ τὸ γένος τῶν ἡδονῶν, ἔστω διαιρετέον ἐν τοῖς λεγομένοις ὕστερον περὶ ἐγκρατείας ⟨ε⟩ ἀκρασίας· τὸν αὐτὸν δὲ τρόπον λυπηρόν καὶ περὶ πραότητος καὶ χαλεπότητος, ⟨ε⟩ ἡ τὸν πρᾶον περὶ λύπην τὴν ἀπὸ θυμοῦ γινομένην, ὀρῶ μὲν ὄντα τῷ πρόσταύτην ἔχειν τρόπον· διεγράψαμεν δὲ ἡ αὐτὸν καλοῦμεν ἢ ὀργίλον καὶ χαλεπὸν ἢ ἀγριώπαν τα γὰρ τοιαῦτα τῆς αὐτῆς ὕστερον διαθέσεως, τὸν αὐθραποδώδη καὶ αὐόητον· χαλοῦν γὰρ ταῦτα μάλιστα καλοῦσι· τοὺς μὴ δι' ἐφ' οἷσι δεῖ κινουμένους τὸν θυμόν· ἀλλὰ προσηλακισμένους ὠχαρῶς καὶ τοῦ πεινῆν πρὸς τὰς ὀλιγωρίας· ὅτι γὰρ αὐτικείμενον τῷ μὲν ταχεῖ, τὸ μόλις· τῷ δὲ ῥέμα, τὸ σφόδρα· τῷ δὲ πολὺν χρόνον, τὸ ὀλίγον λυπεῖσθαι ταύτην τὴν λύπην ὡς ἀκαλοῦμεν θυμόν· ἐπεὶ δῶς ποτε καὶ ἐπὶ τῶν ἄλλων εἴποιμεν, ἂν ταῦθ' ἕξιν ὑπερβολὴ καὶ ἔλλειψις, ὁμοίως γὰρ χαλεπὸς τοιοῦτός ἐστιν, ὁ καὶ θᾶττον καὶ μᾶλλον πάσχων καὶ πλείω χρόνον· καὶ ὅτου δεῖ· μὴ ὁπρίοις οὐδεῖ· καὶ ἐπὶ πολλοῖς· ὁ δὲ αὖθραποδώδης, τοὐναντίον, δηλονότι ὅτι πως ὁ μεσοσφαλὴς αὐτοῦ τρόπος· ἐπεὶ οὖν ἡ μακρὴ μέση φύσεων αἱ ἐξ ἐκείναι, φανερὸν ὅτι ἐπιεικὴς ἡ μέση φύσεων ἕξις· οὔτε γὰρ προσιρεῖ οὔθ' ὑπερέχει· οὔτοῖς οὐδεῖ ὀργίζεται· οὔτι οἷς δεῖ οὐκ ὀργίζεται· ὥστε πεὶ καὶ πραότης ἡ βελτίστη ἕξις περὶ ταῦτα τὰ πάθη ὅτιν, εἴη καὶ ἡ πραότης μεσότης τις, καὶ ὁ πρᾶος μέσος τοῦ χαλεποῦ καὶ αὐθραποδώδους· ὅτι δὲ καὶ ἡ μεγαλοψυχία ⟨ε⟩ ἡ μεγαλοπρέπεια μή ἐστιν ἐλευθεριότητος μεσότητες· ἡ μὲν ἐλευ-

θεραπείας περὶ χρημάτων κτῆσιν ἢ ἀποβολήν. ὁ μὲν γὰρ κτήσεσθαι μᾶλλον ἢ δεῖ· ἀποβολὴν δὲ πάσῃ λυπούμενος μᾶλλον ἢ δεῖ, ἀνελεύθερος· ὁδαμῶς δὲ ἑκάτερα ἧττον ἢ δεῖ ἀσώτος· ὁδαμῶς δεῖ ἐλευθέριος· τοῦτο δὲ λέγω τὸ ὡς δεῖ, καὶ ἐπὶ τούτων καὶ ἐπὶ τῶν ἄλλων, τὸ ὡσαύτως ὀρθὸς ἐπεὶ δ' ἐκεῖνοι μὲν εἰσὶν ᾧ περβολῇ καὶ ἐλλείψει, ὅπου δὲ ἔχα τὰ εἴσι καὶ μέσον, ἅ τοὺ τοβέλτισον· ᾧ δὲ περὶ ἕκαστον τῷ εἶδει τὸ βέλτισον, ἀνάγκη καὶ τὴν ἐλευθεριότητα εἶναι ἀσωτίας καὶ ἀνελευθερίας περὶ χρημάτων κτῆσιν ἅ ἀποβολήν· λέχῶς δὲ τοὺ χρήματος τὸ λέγομεν καὶ τῷ χρηματιστικῷ· ἡ μὲν γὰρ καθ' αὐτὸ κτῆσις τοῦ χρήματος δοκεῖν οἷον ὑποδήματοποιικὴ ἱματιοπ. ἡ δὲ κατὰ συμβεβηκὸς μή, δ' μή τοι οὕτως ὥσθ' εἷς τοῦτο χρήσαιτο τῷ ὑποδήματι· ἀλλ' οἷον ἡ πώλησις ἢ μίσθωσις· χρῆται γὰρ ὑποδήματα· ὁδὲ φιλάργυρος ὅπερ τὸ νόμισμα φλκτήσεως αὐτὶ τῆς κατὰ συμβεβηκὸς χρήσεως ὅστις ὁδ' ἀνελεύθερος εἶναι καὶ ἄσωτος περὶ τὸν κατὰ συμβεβηκὸς τρόπον τοῦ χρηματισμοῦ· καὶ γὰρ ἐπὶ τοῖς κατὰ φύσιν χρηματισμοῦ τῇ αὔξησιν δῴκει· ὁδαμῶς ἐπεὶ τῶν ἀναγκαίων· ὁ δ' ἐλευθέριος τῇ περιουσίαν δίδωσιν· αὐτῶν δὲ τούτων εἴδη λέγονται διαφέροντα, τῷ μᾶλλον καὶ ἧττον περὶ μόρια· οἷον ἀνελεύθερος· φδωλίς· καὶ κίμβιξ· καὶ ἀχρηματιστός· φδωλὸς μὲν ἐν τῷ μὴ προΐεσθαι· ἀχρηματιστὴς δ' ἐν τῷ ὅτι οὐ προσίεσθαι· κίμβιξ δὲ, ὁ σφόδρα περὶ σμικρὰ διατεινόμενος· παραλογιστὴς δὲ ὁ ἀποστερητὴς ὁ ἄδικος κατ' ἀνελευθερίαν· καὶ τοῦ ἀσώτου ὡσαύτως φυλάκτης μὲν ὁ ᾧ τῷ ἀτάκτως ἀναλίσκειν· ἀλόγιστος δὲ ὁ ἐν τῷ μὴ ὑπομένειν τὰ ἀπ' ἀλογισμοῦ λύπην· περὶ δὲ μεγαλοψυχίας ἐκ τῶν τοῖς μεγαλοψύχοις ἀποδιδομένων δεῖ διορίσαι τὸ αἴτιον· ὥσπερ γὰρ ἅ τὰ ἄλλα κατὰ τὰ γενίασιν ἡ ὁμοιότητα μέχρι τοῦ λανθάνειν πόρρω προϊόντα, ἅ περὶ τὴν μεγαλοψυχίαν τὸ συμβέ-

βηκε.

βηκε· διὸ ἐνίοτε οἱ ἐναντίοι τοῦ αὐτοῦ ἀντιποιοῦνται· οἷον ὁ
ἄσωτος τῷ ἐλευθερίῳ· καὶ ὁ αὐθάδης τῷ σεμνῷ· καὶ ὁ θρασὺς
τῷ ἀνδρείῳ· εἰσὶ γὰρ καὶ περὶ ταυτὰ καὶ ὅμοροι μέχρι τινός·
ὥσπερ ὁ ἀνδρεῖος ὑπομονητικὸς κινδύνων καὶ ὁ θρασύς· ἀλλ' ὁ
μὲν οὗδε· ὁ δὲ ὧδε· ταῦτα δὲ διαφέρει πλεῖστον· λέγομεν δὲ τὸν
μεγαλόψυχον κατὰ τὴν τοῦ ὀνόματος προσηγορίαν ὥσπερ ἐν
μεγέθει τινὶ ψυχῆς καὶ δυνάμεως· ὥστε καὶ τῷ σεμνῷ καὶ τῷ
μεγαλοπρεπεῖ ὅμοιος εἶναι δοκεῖ· ὅτε καὶ πάσαις ταῖς ἀρετ'
ἀκολουθεῖν φαίνεται· καὶ γὰρ τὸ ὀρθῶς κρῖναι τὰ μεγάλα καὶ
μικρὰ τῶν ἀγαθῶν, ἐπαινετόν· δοκεῖ δὲ ταῦτ' εἶναι μεγάλα
ἃ διώκει ὁ τὴν κρατίστην ἔχων ἕξιν περὶ τὰ τοιαῦτ' εἶναι ἡ
δέα· ἡ δὲ μεγαλοψυχία κρατίστη· κρίνει δὲ περὶ τὰ ἕκαστον ἀ-
ρετὴ, τὸ μεῖζον καὶ τὸ ἔλαττον ὀρθῶς· ἅπερ ὁ φρόνιμος ἂν
κελεύσειε καὶ ἡ ἀρετή· ὥστε ἕπεσθαι αὐτῇ πάσας τὰς ἀρετὰς
ἢ αὐτὴν ἕπεσθαι πάσαις· ἔτι δοκεῖ μεγαλοψύχου εἶναι, τὸ κα-
ταφρονητικὸν εἶναι· ἑκάστη δ' ἀρετὴ καταφρονητικὴ τῶν
παρὰ τὸν λόγον μεγάλων· οἷον ἀνδρεία κινδύνων· μέγα γὰρ
οἴεται εἶναι τῶν αἰσχρῶν· καὶ πλῆθος οὐπᾶν φοβερόν· καὶ σώ-
φρων ἡδονῶν μεγάλων καὶ πολλῶν· καὶ ἐλευθέριος χρημά-
των· μεγαλοψύχου δὲ τοῦτο δοκεῖ, διὰ τὸ περὶ ὀλίγα σπου-
δάζειν καὶ ταῦτα μεγάλα· καὶ οὐχότι δοκεῖ ἑτέρῳ τινί· καὶ
μᾶλλον ἂν φροντίσειεν ἀνὴρ μεγαλόψυχος· τί δοκεῖ ἑνὶ σπου-
δαίῳ ἢ πολλοῖς τυγχάνουσιν· ὥσπερ ἀντιφῶν ἔφη πρὸς ἀγά-
θωνα κατεψηφισμένους τὴν ἀπολογίαν ἐπαινέσαντα· καὶ τὸ
ὀλίγωρον τοῦ μεγαλοψύχου μάλιστ' εἶναι πάθος ἴδιον· πάλιν
περὶ τιμῆς καὶ τοῦ ζῆν καὶ πλούτου περὶ ὧν σπουδάζειν δοκοῦ-
σιν οἱ ἄνθρωποι, οὐθὲν φροντίζειν περὶ τῶν ἄλλων πλὴν περὶ
τιμῆς· καὶ λυπηθήσοιτ' ἂν ἀτιμαζόμενος καὶ ἀρχόμενος ὑπὸ
ἀναξίου· καὶ χαίρειν μάλιστα τυγχάνων· οὕτω μὲν οὖν δόξειεν
ἂν ἐναντίως ἔχειν· τὸ γὰρ εἶναί τε μάλιστα περὶ τιμὴν, καὶ κα-

ταφρονητικὸν εἶναι τῶν πολλῶν καὶ δόξης οὐχὶ μολογεῖσθαι δεῖ δὲ τοῦτο διορίσαντας εἰπεῖν. ὅτι γὰρ τιμὴ καὶ μικρᾶς μεγάλη δοχῆς. ἢ γὰρ τῷ ὑπὸ πολλῶν τῶν τυχόντων, ἢ τῷ ὑπὸ τῶν ἀξίων λόγου. καὶ πάλιν ἢ ὧν τινι ἡ τιμὴ διαφέρει. μεγάλη γὰρ οὐ τῷ πολλοὶ τὸ τιμῶντων ὁδὶ ἢ πρὸς μόνον. ἀλλὰ καὶ τῷ τιμίαν εἶναι. τῇ ἀληθείᾳ δὲ ἐν ἀρχαῖς καὶ τἆλλα ἀγαθὰ τίμια καὶ ἄξια ταῦτα δ' ὅσα μεγάλα ἀληθῶς ὄντι. ὥστε καὶ ἀρετὴ οὐδεμία ἀνθρωπος μεγάθους. διὸ δοκοῦσι μεγάλους προεῖναι ἑκάστη, ὅταν ἐν ὅτι ἑκάστη αὐτῶν ὡς ἔστιν εἰρηται. ἄλλος δ' ὅστις περὶ τὰς ἄλλας ἀρετὰς μικρὸς μεγαλόψυχος, ὡς ἔστιν καὶ ἰδίᾳ μεγαλόψυχον τοῦτον λεκτέον, ὃν ἔχοντα ταύτην. ἐπεὶ δ' ὅστιν ἐνίοις τῶν ἀγαθῶν, τὰ μὲν τίμια. τὰ δ' ὡς διωρίσθη πρότερον, τοιοῦτον δ' ἀγαθῶν ὅστι τὰ μὲν μεγάλα καὶ ἀληθῆ. τὰ δὲ, μικρά. ἐν τούτων ἔνιοι ἄξιοι καὶ ἀξιοῦσιν αὐτούς, ἐν τούτοις ζητητέος ὁ μεγαλόψυχος. τιμῆς ἀνάγκη διαφέρειν. ὅστι μὲν γὰρ ἄξιον εἶναι μεγάλων καὶ ἀξιοῦν ἑαυτὸν τούτων. ὅστι δὲ μικρὰ καὶ ἄξιον τινὰ τηλικούτων. καὶ ἀξιοῦν ἑαυτὸν τούτων. ὅστι δ' ἀνάπαλιν πρὸς ἑκάτερα αὐτῶν. ὁ μὲν γὰρ ἂν εἴη τοιοῦτος, οἷος ἄξιος ὢν μικρῶν, μεγάλων ἀξιοῦν ἑαυτὸν τῶν ἐντίμων ἀγαθῶν. ὁ δὲ ἄξιος ὢν μεγάλων, ἀξιώσει μὲν μικρῶν ἑαυτόν. ὁ μὲν δὴ ἄξιος μικρῶν, μεγάλων, δ' ἄξιῶν ἑαυτὸν ψεκτός. ἀνόητον γὰρ καὶ οὐ καλὸν, τὸ παρὰ τὴν ἀξίαν τυγχάνειν. ψεκτὸς δὲ καὶ ὅστις ἄξιος ὢν ὑπαρχόντων αὐτῷ, τῶν τοιούτων μετέχειν μὴ ἀξιοῖ ἑαυτόν. λείπεται δὲ ἐν ταῦθα ἐναντίῳ τούτοις ἀμφοτέροις. ὅστις ἀξιοῖ ὢν μεγάλων, ἀξιοῖ αὐτὸς ἑαυτὸν τούτων, καὶ τοι οὗτός ὅστιν οἷος ἀξιοῦν ἑαυτὸν, οὗτος ἐπαινετὸς καὶ μέσος τούτων. ἐπεὶ οὖν περὶ τιμῆς αἵρεσιν ἔχουσιν. καὶ τῶν ἄλλων ἀγαθῶν τῶν ἐντίμων ἀεί. ὅστι διάθεσις ἡ μεγαλοψυχία, καὶ τοῦ παρὰ δίκαιον μὲν καὶ οὐ περὶ τὰ χείσιμα τὸν μεγαλόψυχον, ἅμα δὲ καὶ ἡ μεσότης αὐτὴ ἐπαινετὴ

τωτάτη.

τωτάτη, δῆλον ὅτι· καὶ μεγαλοψυχία, μεσότης ἂν εἴη· τῶν δ' ἐναντίων ὥσπερ διεγράψαμεν, ἡ μὲν, ἐπεὶ τῷ ἀξιοῦν ἑαυτὸν ἀγαθῶν μεγάλων ἀνάξιον ὄντα χαυνότης· τοὺς τοι οὔφυσ ἢ χαύνους λέγομεν ὅσοι μεγάλων οἴονται ἄξιοι εἶναι οὐκ ὄντες· ἡ δὲ περὶ τὸ ἄξιον ὄντα μὴ ἀξιοῦν ἑαυτὸν μεγάλ, μικροψυχία μικροψύχου ἢ εἶναι δοκεῖ, ὅστις ὑπαρχόντ δι' ἀδικαῖ ἂν ἀξιοῦτο, μὴ ἀξιοῖ μηθενὸς μεγάλου ἑαυτόν· ὥστ' ἀνάγκη καὶ τὴν μεγαλοψυχίαν εἶναι μεσότητα χαυνότητος καὶ μικροψυχίας· ὁ δὲ τέταρτος τῶν διορισθέντων οὔτε πάμπαν ψεκτὸς οὔτε μεγαλόψυχος περὶ οὐδὲν ἔχων μέγεθος· οὔτε γὰρ ἄξιος οὔτε ἀξιοῖ μεγάλων· διὸ οὐκ ἐναντίος· καὶ τοι δόξειεν ἂν ἐναντίον εἶναι, τῷ μεγάλων ἀξίῳ ὄντι μεγάλων, τὸ, μικρῶν ὄντα ἄξιον, ἀξιοῦν ἑαυτόν· οὐκ ἔστι δὲ ἐναντίος οὔτε τῷ μεμπτὸς εἶναι, ὡς γὰρ ὁλόγος κελεύει ἔχει· καὶ ὁ αὐτός ἐστι τῇ φύσει τῷ μεγαλοψύχῳ· ὧν γὰρ ἄξιοι τούτων ἀξιοῦσιν αὐτοὺς ἄμφω· καὶ ὁ μὲν γένοιτο ἂν μεγαλόψυχος· ἀξιώσει γὰρ ὧν ἐστιν ἄξιος· ὁ δὲ μικρόψυχος ὃς ὑπαρχόντων αὐτῷ μεγάλων κατὰ τιμὴν ἀγαθῶν οὐκ ἀξιοῖ, τί ἂν εἴποι, εἰ μικρῶν ἄξιος ἦν· ἢ γὰρ ἂν μεγάλων ἀξιῶν χαῦνος ἦν ἤτοι ἐλαττόνων· διὸ καὶ οὐθεὶς ἂν εἴποι μικρόψυχον· εἴτις μέτοικος ὢν ἄρχειν μὴ ἀξιοῖ ἑαυτὸν, ἀλλ' ὑπείκει· ἀλλ' εἴτις εὐγενὴς ὢν καὶ ἡγούμενος μέγα εἶναι τὸ ἄρχειν· ἔστι δὲ ὁ μεγαλοπρεπὴς οὐ περὶ τὴν τυχοῦσαν πρᾶξιν καὶ προαίρεσιν, ἀλλὰ τὴν δαπάνην· εἰ μή που κατὰ μεταφορὰν λέγομεν· ἄνευ δὲ δαπάνης, μεγαλοπρέπεια οὐκ ἔστι· τὸ μὲν γὰρ πρέπον, ἐν κόσμῳ ἐστὶν ὁ δὲ κόσμος οὐκ ἐκ τῶν τυχόντων ἀναλωμάτων, ἀλλ' ἐν ὑπερβολῇ τῶν ἀναγκαίων ἐστί· ὁ δὲ ἐν μεγάλῃ δαπάνῃ τοῦ πρέπονος μεγέθους προαιρετικὸς καὶ τῆς τοιαύτης μεσότητος, καὶ ἐπὶ τῇ τοιαύτῃ ἡδονῇ ὀρεκτικὸς, μεγαλοπρεπής· ὁ δ' ἐπὶ τὸ μεῖζον καὶ παρὰ μέλος ἀνώνυμος· οὐ μὴν ἀλλ' ἔχει τινὰ γειτνίασιν, οὓς καλοῦσι τινὰς ἀπειροκάλους καὶ σαλάκουνας· οἷον εἰ εἰς γάμον

δὰ πανοῦν τις τοῦ ἀγαπητοῦ πλούσιος ὤν· δοκεῖ πρέπειν ἐ-
αυτῷ τοι αὐτὴν κατασκευήν· οἷον ἀγαθοδαιμονιαστὰς ὀστιῶν
τι· οὗτος μὲν μικροπρεπής· ὁ δὲ τοιούτους δεχόμενος· ἐκεῖ-
νος μὴ δόξης χάριν μὴ δὲ δι' ἐξουσίαν, ὅμοιος τῷ σαλάκωνι· ὁ δὲ
κατἄξίαν καὶ ὡς ὁλόγος μεγαλοπρεπής· τὸ γὰρ πρέπον κα-
τἄξίαν ἐστίν· οὐδὲν γὰρ πρέπει τῷ παρὰ τὴν ἀξίαν· δεῖ δὲ πρέ-
πον εἶναι· καὶ γὰρ τοῦ πρέποντος κατἄξίαν· καὶ πρέπον ϛ περὶ
ὅ· οἷον περὶ οἰκέτυγάμον ἕτερον τὸ πρέπον· ϛ περὶ ἐρωμένου·
καὶ αὐτῷ εἴπερ ἐπὶ τοσοῦτον ἢ τοιοῦτον· οἷον τὴν θεουρίαν οὐκ
ὤετο θεμιστοκλεῖ πρέπειν ἣν ἐποιήσατο ὀλυμπίαζε, διὰ τὴν
προϋπάρξασαν τὰ πεινότητα· ἀλλὰ κίμωνι· ὁ δ' ὅπως ἔτυ-
χεν ἔχων πρὸς τὴν ἀξίαν ὃ οὐθεὶς τούτων· καὶ ἐπὶ ἐλευθεριότητος
ὡσαύτως· ἔστι γὰρ τις ὡς ἐλευθέριος, ὅταν ἐλεύθερος· σχεδὸν δὲ
καὶ τῶν ἄλλων ἕκαστα τῶν περὶ τὸ ἦθος ἐπαινετῶν καὶ ψεκτῶν·
τὰ μὲν γὰρ ὑπερβολαί· τὰ δ' ἐλλείψεις· τὰ δὲ μεσότητές εἰσι
παθητικαί· οἷον ὁ φθονερὸς ϛ ὑπὸ χαιρέκακος· καθ' ἃς ϛ ἕξεις
λέγονται, ὁ μὲν φθόνος τὸ λυπεῖσθαι ἐπὶ τοῖς κατἄξίαν ϛ πράτ-
τουσίν ἐστι· τὸ δὲ τοῦ ἐπιχαιρεκάκου πάθος ὑπὸ τὸ αὐτὸ ἀνώνυ-
μον· ἀλλ' ὁ ἔχων δῆλος· ἐπὶ τῷ χαίρειν τοῖς παρὰ τὴν ἀξίαν
κακοπραγίαις· ϛ εὐπραγίαις· χαίρειν δὲ ἐπὶ τῶν ἀξίαις· μέσος δὲ
τούτων ὁ νεμεσητικός· καὶ ὃ ἐκάλουν οἱ ἀρχαῖοι τὴν ἔμεσιν· τὸ λυ-
πεῖσθαι μὲν ὑπὸ τῶν παρὰ τὴν ἀξίαν κακοπραγίαις· διὸ ϛ θεὸν οἴονται
εἶναι τὴν ἔμεσιν· αἰδὼς δὲ μεσότης ἀναισχυντίας καὶ καταπλή-
ξεως· ὁ μὲν ϛ μὴ δὲ μιᾶς φροντίζων δόξης, ἀναίσχυντος· ὁ δὲ πάσης
ὁμοῖς καταπλήξ· ὁ δὲ ϛ τῶν φαινομῇ ὑπὸ εἰκῶς αἰδήμων· φι-
λία δὲ μεσότης ἔχθρας ϛ κολακείας· ὁ μὲν γὰρ εὐχερῶς ἅπαν-
τα πρὸς τὰς ἐπιθυμίας ὁμιλῶν κόλαξ· ὁ δὲ πρὸς ἁπάσας ἀν-
τικρούων ἀπεχθητικός· ὁ δὲ μήτε πρὸς ἅπασαν ἡδονὴν μήτἄ
κολουθῶν μήτἄντι τείνων ἀλλὰ πρὸς τὸ φαινόμενον βέλτι-
στον, φίλος· σεμνότης δὲ μεσότης αὐθαδείας καὶ ἀρεσκείας· ὁ μὲν

γὰρ

ἢ μηδὲν πρὸς ἕτερον ζῶν, ἀλλὰ καταφρονητικός· αὐθάδης· ὁ δὲ πάντα πρὸς ἄλλον ἢ καὶ πάντων ἐλάττων, ἄρεσκος· ὁ δὲ τὰ μὲν τὰ δὲ μή, ἢ πρὸς χάριν ἀξίους ὄντως ἔχων, εὐμενής· ὁ δὲ ἀληθὴς ἢ ἀπλοῦς οὐκαλοῦσιν αὐθέκαστον, μέσος τις εἴρωνος ἢ ἀλαζόνος· ὁ μὲν ἢ ὢν τὰ χείρω καταὐτοῦ ψευδόμενος μὴ ἀπεων, εἴρων· ὁ δ' ἐπὶ τὰ βελτίω, ἀλαζών· ὁ δὲ ὡς ἔχει ἀληθὴς, καὶ καθ' ὅμηρον ὥστε πνεῦμα ὁ λόγος ἢ ὁλως ὁ μὲν φιλαλήθης· ὁ δὲ φιλοψευδής· ὅτι δὲ ἡ δύξα ὥστε λία μεσότης· καὶ ὁ ὠμὸς ἄτελος, μέσος τις ἀγροίκου καὶ δυσαπέλαστος τις βωμολόχου· ὡς περ γάρ τις παρὰ ξοφλὼ ὁ σικχὸς τις παμφάγου διαφέρει τῷ, ὁ μὲν μηθὲν ἢ ὀλίγα μὴ χαλεπαίνων προσίεσθαι, ὁ δὲ πάντα δύχερῶς, ὅταν καὶ ὁ ἄγροικος ἔχει πρὸς τὸν φορτικὸν ἢ βωμολόχον· ὁ μὲν γὰρ θᾶττον γελοῖον, ἀλλὰ χαλεπαίνων προσίεται· ὁ δὲ πάντα δύχερῶς καὶ ἥδιον. Δεῖ δ' ὅδ' ἕτερον· ἀλλὰ τὰ μὲν, τὰ δὲ μή· ἢ κατὰ λόγον· οὗτος δ' ὠμὸς πρός πως, ἥδε πρόδηξις ἡ αὐτὴ ἥτις ἢ ὠμὸς ἀπελία ἢ τοιαύτη· καὶ μὴν ἢ μεταφέροντες λέγομεν, ἐπιεικεστάτη ἕξις ἐστὶν ἡ μεσότης ἐπαινετή· τὰ δ' ἄκρα ψεκτά· ὅσης δὲ δυνάμεως ἡ μὲν ἢ ὢν τῷ χαίρειν ὅτι τῷ γελοίῳ ἢ τῷ εἰς αὐτὸν ἐὰν ἥδιον· δὲ ὢν ἢ καὶ σκῶμμά ὅτιν· ἡ δ' ἐν τῷ δύνασθαι τοιαῦτα ποιεῖσθαι ἕτεραι μέν εἰσιν ἀλλήλων· ἀμφότεραι μέντοι μεσότητος μὴ γὰρ τὸν δυσάμενον πιαῦτα ποιεῖσθαι ἐφ' οἷσιν ἁθήσεται δὲ κρίνων, καὶ εἰς αὐτὸν ἢ τὸ γελοῖον μέσος ἐστὶν ὁ φορτικοῦ καὶ τοῦ ψυχροῦ· ὁ δ' ὅρος ὅρος βελτίων, ἢ τὸ λυπηρὸν εἶναι τὸ λέγειν τῷ σκωπτομένῳ ὄντι ὁποιῳοῦν· μᾶλλον ἢ δεῖ τῷ ἐν μεσότητι ὄντι, ἀρέσκειν· ὅρος δὲ κείνῳ ὢν· ὧδε σαι δ' αὖται αἱ μεσότητες ἐπαινεταὶ εἰσὶ, ὅκεῖσι δ' ἀρεταί· ὁ δὲ αἱ ἐναντίαι κακίαι· αὖται προαιρέσεως γάρ· ταῦτα δὲ πάντες ἢ τοῖς περὶ πραγμάτων διαιρέσεσιν· ἕκαστον γὰρ αὐτῶν πάθος τί ὅτι· ἢ δὲ τὸ φυσικὰ εἶναι εἰς τὰς φυσικὰς συμβάλλεται ἀρετάς· ὅτι ἢ ὥς περ λεχθήσεται τοῖς ὕστερον ἑκάστων ἀρετή· καὶ φυσι-

καὶ ἄλλως μετὰ φρονήσεως· ὁ μὲν οὖν φθόνος εἰς ἀδικίαν συμβαίνει· πρὸς γὰρ ἄλλον αἱ πράξεις αἱ ἀπαὐτοῦ· καὶ ἡ νέμεσις εἰς δικαιοσύνην· ἡ αἰδὼς εἰς σωφροσύνην· διὸ καὶ ὁρίζονται ἐν τῷ γένει τούτῳ τὴν σωφροσύνην· ὁ δὰ ληθὴς ⊂ ψευδὴς ὁ μὲν, ἔμφρων, ὁ δὰ φρων· ἔστι δὲ ἐναντιώτερον τοῖς ἄκροις τὸ μέσον ἢ ἐκεῖνα ἀλλήλοις· διότι τὸ μὲν μετοὐδετέρου γίνεται αὐτῶν· τὰ δὲ, πολλάκις μετὰ ἀλλήλων· καὶ εἰσὶν ἐνίοτε οἱ αὐτοὶ θρασύδειλοι· ⊂ τὰ μὲν ἄσωτοι· τὰ δὲ, ἀνελεύθεροι· ⊂ ὅλως ἀνώμαλοι κακῶς· ὅταν μὲν γὰρ καλῶς ἀνώμαλοι εἰσὶν, μέσοι γίνονται· ἐν τῷ μέσῳ γὰρ ἔστι πως τὰ ἄκρα· αἱ δὲ ἐναντιώσεις ὑδοκοῦσιν ὑπάρχειν τοῖς ἄκροις πρὸς τὸ μέσον ὁμοίως ἀμφότεραι· ἀλλ' ὁ τὲ μὲν κατὰ ὑπερβολήν· ὁ τὲ δὲ κατὰ ἔλλειψιν· αἴτια δὲ τάτε πρῶτα ῥηθέντα δύο· ὀλιγότης δὲ, οἷον τῶν πρὸς τὰ ἡδέα ἀναισθήτων· ⊂ ὅτι ἐφ' ὃ ἁμαρτάνομεν, μᾶλλον τοῦτο ἐναντιώτατον εἶναι δοκεῖ· τὸ δὲ τρίτον ὅτι τὸ ὁμοιότερον, ἧττον ἐναντιώτερον φαίνεται οἷον πέτρινθε τὸ θάρσος πρὸς τὸ θράσος· καὶ ἀσωτία· πρὸς ἐλευθεριότητα.

πε μ οὖν τ ἄλλ ἀρετ τῶν ἐπαινετ
εἴρηται σχεδόν· περὶ δὲ δικαιο
σύνης ἤδη λέξεται.

ΤΈΛΟΣ ΤΟΥ Γ'

ἈΡΙΣΤΟΤΈΛΟΥΣ ἨΘΙΚΩ̂Ν ἘΥΔΗ ΜΊΩΝ, ΤΌΔ'.

Περὶ δὲ δικαιοσύνης καὶ ἀδικίας σκε-
πτέον, περὶ ποίας τε τυγχάνουσιν οὖσαι
πράξεις· καὶ ποία μεσότης ἐστὶν ἡ δι-
καιοσύνη· καὶ τὸ δίκαιον τίνων μέσον· ἡ
δὲ σκέψις ἡμῖν ἔσω κατὰ τὴν αὐ-
τὴν μέθοδον τοῖς προειρημένοις· ὁρῶ-
μεν δὲ πάντας τὴν τοιαύτην ἕξιν
βουλομένους λέγειν δικαιοσύνην, ἀφῆς πρακτικοὶ τῶν δικαίων
εἰσί· καὶ ἀφῆς δικαιοπραγοῦσι καὶ βούλονται τὰ δίκαια· τὸν αὐτὸν
δὲ τρόπον καὶ περὶ ἀδικίας ἀφῆς ἀδικοῦσι καὶ βούλονται τὰ ἄδι-
κα· διὸ καὶ ἡμῖν πρῶτον ὡς ἐν τύπῳ ὑποκείσθω ταῦτα· οὐ δὲ γὰρ
τὸν αὐτὸν ἔχει τρόπον ἐπιστημῶν καὶ δυνάμεων· καὶ ἐπὶ τῶν ἕξεων·
δύναμις μὲν γὰρ καὶ ἐπιστήμη δοκεῖ τῶν ἐναντίων ἡ αὐτὴ εἶναι·
ἕξις δὲ ἐναντία τῶν ἐναντίων, οὐ· οἷον ὑπὸ τῆς ὑγιείας οὐ πράτ-
τεται τὰ ἐναντία· ἀλλὰ τὰ ὑγιεινὰ μόνον· λέγομεν γὰρ ὡς
ὑγιεινῶς βαδίζει, ὅταν βαδίζη ὡς ἂν ὁ ὑγιαίνων· πολλάκις
μὲν οὖν γνωρίζεται ἡ ἐναντία ἕξις ἀπὸ τῆς ἐναντίας· πολλά-
κις δὲ αἱ ἕξεις ἀποτῶν ὑποκειμένων· ἐάν τε γὰρ ἡ εὐεξία ᾖ
φανερά· καὶ ἡ καχεξία φανερὰ γίνεται· καὶ ἐκ τῶν εὐεκτι-
κῶν ἡ εὐεξία· καὶ ἐκ ταύτης τὰ εὐεκτικά· εἰ γὰρ ἐστὶν ἡ εὐεξία
πυκνότης σαρκὸς, ἀνάγκη καὶ τὴν καχεξίαν εἶναι μανό-
τητα σαρκός· καὶ τὸ εὐεκτικὸν, τὸ ποιητικὸν πυκνότητος ἐν σαρκὶ

ἀκολουθεῖ δῶς ὧν τὸ πλεῖν, ἐὰν θάττον πλέοντα χρόνον λέγῃ, ἢ θάττους πλέοντας χρόνους λέγεσθαι· οἷον εἰ τὸ ἄδικον ἡ ἀδικία· ἔοικε γὰρ πλεονεκτεῖν λέγεσθαι ἡ δικαιοσύνη καὶ ἀδικία· ἀλλὰ διὰ τὸ συνεγγὺς εἶναι τῷ ὁμωνύμῳ μᾶλλον· ἢ γὰρ διαφορὰ πολλὴ ἢ κατὰ τὴν δέαν· οἷον ὅτι καλεῖται κλεὶς ὁμωνύμως, ἥ τε ὑπὸν αὐχένα τοῦ ζῴου, καὶ ἡ τὰς θύρας κλείουσα· εἰλήφθω δὴ ὁ ἄδικος πλεονεκτεῖν· δοκεῖ γάρ, παράνομος ἄδικος εἶναι· καὶ ὁ πλεονέκτης καὶ ἄδικος· ὥστε δῆλον ὅτι καὶ ὁ δίκαιος ἔσται, ὅ τε νόμιμος καὶ ὁ ἴσος· τὸ μὲν δίκαιον ἄρα τὸ νόμιμον καὶ τὸ ἴσον· τὸ δὲ ἄδικον τὸ παράνομον καὶ τὸ ἄνισον· ἐπεὶ γὰρ πλεονέκτης ὁ ἄδικος, περὶ τἀγαθὰ ἔσται ὁ πάντα· οὐχ ἁπλῶς δὲ ὅσα ὠφελίμως καὶ ἀφελίμως· ἀεὶ γὰρ ἀπαθῆ τινὰ δεῖ ἀεί, οἱ δ' ἄνθρωποι ταῦτα οὐχ ἑλόμενοι ἀλλὰ βουλόμενοι μᾶλλον τὰ ἁπλῶς ἀγαθὰ· ἃ οὖν ἁρμόττει ἀνθρώποις αἱρεῖσθαι δὲ τὰ αὐτὰ ἀπαθῆ· ὁ δὲ ἄδικος οὐ δικαιεῖ τὸ πλεῖον αἱρεῖται· ἀλλὰ μὴ τὸ ἔλαττον ἐν τοῖς ἁπλῶς κακοῖς· ἀλλ' ὅτι δοκεῖ μὴ τὸ μὴ κακὸν ἀγαθὸν εἶναι· τοῦ δ' ἀγαθοῦ ὄντος ἡ πλεονεξία· διὰ τοῦτο δοκεῖ πλεονέκτης εἶναι· ὅστις δ' ἄνισος· τοῦτο δὲ περιέχει καὶ κοινόν· ὁ παράνομος· τοῦτο γὰρ ἡ παρανομία ἦν ἡ ἀνισότης, περιέχει πᾶσαν ἀδικίαν μὴ κοινόν· ὅστε πόσαι ἀδικίας· ἐπεὶ δὲ παράνομος ἄδικος ἦν, ὁδὲ νόμιμα μὲ δίκαιος, δῆλον ὅτι πάντα τὰ νόμιμα ὅστε πως δίκαια· τά, τε ὡρισμένα ὑπὸ τῆς νομοθετικῆς νόμιμα· ὅ ἕκαστον φύτων δίκαιον εἶναι φαμέν· οἱ δὲ νόμοι ἀγορεύουσι περὶ πάντων· σπουδάζουσαι μὲν ἢ τὸ κοινῇ συμφέρον πᾶσιν, ἢ τοὺς ἀρίστους· ἢ τοὺς κυρίους· ἢ κατά τινα τοιαύτην ἄλλην τοιοῦτον τρόπον· ὥστε ἕν μὲν τρόπον δίκαια λέγομεν, τὰ ποιητικὰ καὶ φυλακτικὰ εὐδαιμονίας ἢ τῶν μορίων αὐτῆς τῇ πολιτικῇ κοινωνίᾳ· προστάττει δὲ ὁ νόμος, ἢ τὰ τοῦ ἀνδρείου ἔργα ποιεῖν· οἷον μὴ λιποτακτεῖν τὸν τάξιν μὴ φεύγειν· μηδὲ ῥιπτεῖν τὰ ὅπλα· καὶ τὰ τοῦ σώφρονος οἷον μὴ μοιχεύειν μηδὲ ὑβρίζειν· ἢ τὰ τοῦ πράου· οἷον μὴ τύπτειν μηδὲ κακηγορεῖν· ὁμοίως δὲ καὶ

κατὰ

κατὰ τὰς ἄλλας ἀρετὰς καὶ μοχθηρίας· τὰ μὲν κελεύων· τὰ δ' ἀπαγορεύων, ὀρθῶς μὲν ὁ κείμενος ὀρθῶς· χείρων δὲ ὁ ἀπεσχεδιασμένος· ταύτη μὲν οὖν, ἡ δικαιοσύνη ἀρετὴ μέν ἐστι τελεία· ἀλλὰ πρὸς ἕτερον· καὶ διὰ τοῦτο πολλάκις κρατίστη τῶν ἀρετῶν εἶναι δοκεῖ ἡ δικαιοσύνη καὶ οὔθ' ἕσπερος οὔτε ἑῶος οὕτω θαυμαστός· καὶ παροιμιαζόμενοι φαμέν· ἐν δὲ δικαιοσύνῃ συλλήβδην πᾶσ' ἀρετή ἐστι· καὶ τελεία μάλιστα ἀρετή· ὅτι τῆς τελείας ἀρετῆς χρήσις ἐστί· τελεία δ' ἐστὶν ὅτι ὁ ἔχων αὐτὴν καὶ πρὸς ἕτερον δύναται τῇ ἀρετῇ χρήσασθαι· ἀλλ' οὐ μόνον καθ' αὑτόν· πολλοὶ γὰρ, ἐν μὲν τοῖς οἰκείοις, τῇ ἀρετῇ δύνανται χρῆσθαι· ἐν δὲ τοῖς πρὸς ἕτερον ἀδυνατοῦσι· καὶ διὰ τοῦτο εὖ δοκεῖ ἔχειν τὸ τοῦ βίαντος· ὅτι ἀρχὴ ἄνδρα δείξει· πρὸς ἕτερον γὰρ· καὶ ἐν κοινωνίᾳ ἤδη ὁ ἄρχων· διὰ δὲ τὸ αὐτὸ τοῦτο τὸ ἀλλότριον ἀγαθὸν δοκεῖ εἶναι ἡ δικαιοσύνη μόνη τῶν ἀρετῶν, ὅτι πρὸς ἕτερον ἐστίν· ἄλλῳ γὰρ τὰ συμφέροντα πράττει ἢ ἄρχοντι ἢ κοινωνῷ· κάκιστος μὲν οὖν ὁ καὶ πρὸς αὑτὸν καὶ πρὸς τοὺς φίλους χρώμενος τῇ μοχθηρίᾳ· ἄριστος δ' οὐχὸ πρὸς αὑτὸν τῇ ἀρετῇ· ἀλλὰ πρὸς ἕτερον· τοῦτο δὲ ἔργον χαλεπόν· αὕτη μὲν οὖν ἡ δικαιοσύνη οὐ μέρος ἀρετῆς· ἀλλ' ὅλη ἀρετή ἐστιν· οὐδὲ ἐναντία ἀδικία μέρος κακίας ἀλλ' ὅλη κακία· τί δὲ διαφέρει ἡ ἀρετὴ καὶ ἡ δικαιοσύνη αὕτη, δῆλον ἐκ τῶν εἰρημένων· ἔστι μὲν δὲ ἡ αὐτή· τὸ δ' εἶναι οὐ τὸ αὐτό· ἀλλ' ἡ μὲν πρὸς ἕτερον ἡ δικαιοσύνη· ἡ δὲ τοιάδε ἕξις ἁπλῶς ἀρετή· ζητοῦμεν δὲ τὸ ἐν μέρει ἀρετῆς δικαιοσύνην· ἔστι δέ τις ὥσφαμεν· ὁμοίως δὲ καὶ περὶ ἀδικίας τῆς κατὰ μέρος· σημεῖον δ' ὅτι ἐστί· κατὰ μὲν γὰρ τὰς ἄλλας μοχθηρίας ὁ ἐνεργῶν, ἀδικεῖ μὲν, πλεονεκτεῖ δ' οὐδέν· οἷον ὁρίψας τὴν ἀσπίδα διὰ δειλίαν· ἢ ὁ κακῶς εἰπὼν διὰ χαλεπότητα· ἢ οὐβοηθήσας χρήμασι δι' ἀνελευθερίαν· ὅτε δὲ πλεονεκτῇ πολλάκις καὶ οὐδεμίαν τούτων· ἀλλὰ μὴν οὐδὲ κατὰ πάσας· κατὰ πονηρίαν δέ γε τινά· ψέγομεν γὰρ κατ' ἀδικίαν· ἔστιν ἄρα γε ἄλλη τις ἀδικία ὡς μέρος τῆς ὅλης· καὶ ἀδικόντι ἐνμέρει τοῦ ὅλου ἀδίκου τοῦ παρὰ τὸν νόμον·

ἔτι εἰ ὁ μὲν τοῦ κερδαίνειν ἕνεκα μοιχεύει καὶ προσλαμβάνει, ὁ δὲ,
προστιθεὶς καὶ ζημιούμενος δι' ἐπιθυμίαν, οὗτος μὲν ἀκόλαστος μᾶλ-
λον δόξειεν εἶναι, ἢ πλεονέκτης· ἐκεῖνος δ' ἄδικος· ἀκόλαστος δοῦ·
δῆλον ἄρα ὅτι διὰ τὸ κερδαίνειν· ἔτι περὶ μὲν τὰ ἄλλα πάντα
ἀδικήματα σίνεται ἡ ἐπαναφορὰ ἐπί τινα μοχθηρίαν ἀεί· οἷον εἰ
ἐμοίχευσεν ἐπ' ἀκολασίαν· εἰ ἔλκα τέλι πετὸν παραστάτην, ἐπὶ
δειλίαν· εἰ δ' ἐπάταξεν ἐπὶ ὀργήν· εἰ δὲ ἐκέρδανεν ἐπ' οὐδὲ μίαν
μοχθηρίαν· ἀλλ' ἢ ἐπ' ἀδικίαν· ὥστε φανερὸν ὅτι ἔστί τις ἀδικία
παρὰ τὴν ὅλην ἄλλη ἐν μέρει συνώνυμος, ὅτι ὁ ὁρισμὸς ἐν τῷ
αὐτῷ μένει· ἄμφω δὲ ἐν τῷ πρὸς ἕτερον ἔχουσι τὴν δύναμιν· ἀλλ' ἡ
μὲν περὶ τιμὴν ἢ χρήματα ἢ σωτηρίαν ἢ εἴ τινα, ἔχοι μὲν ἑνὶ ὀνόματι
περιλαβεῖν ταῦτα πάντα, καὶ δι' ἡδονὴν τὴν ἀπὸ τοῦ κέρδους·
ἡ δὲ, περὶ πάντα περὶ ὅσα ὁ σπουδαῖος· ὅτι μὲν οὖν εἰσὶν αἱ δι-
καιοσύναι πλείους, καὶ ὅτι ἔστί τις καὶ ἑτέρα παρὰ τὴν ὅλην ἀρε-
τὴν, δῆλον· τίς δὲ καὶ ποία τις, λεπτέον· διώρισται δὲ τὸ ἄδικον, τό, τε
πρᾶνον μὲν καὶ τὸ ἄνισον· τὸ δὲ δίκαιον τό, τε νόμιμον καὶ τὸ ἴσον· κατὰ τὸ
πρᾶνον μὲν ἡ πρὸς ἕτερον εἰρημένη ἀδικία ἐστίν· ἐπεὶ δὲ τὸ ἄνισον καὶ
τὸ πρᾶνον μὲν πλέον, οὐταυτὸν, ἀλλ' ἕτερον ὡς μέρος πρὸς ὅλον, τὸ μὲν
πλέον ἅπαν ἄνισον· τὸ δ' ἄνισον οὐ πᾶν πλέον, καὶ τὸ ἄδικον καὶ ἡ
ἀδικία οὐταυτά· ἀλλ' ἕτερα ἐκείνων· τὰ μὲν ὡς μέρη· τὰ δὲ ὡς ὅλα·
μέρος γὰρ αὕτη ἡ ἀδικία τῆς ὅλης ἀδικίας· ὁμοίως δὲ καὶ ἡ δικαιο-
σύνη τῆς δικαιοσύνης· ὥστε περὶ τῆς ἐν μέρει ἀδικίας λεκτέον
καὶ τοῦ δικαίου ὡσαύτως· ἡ μὲν οὖν κατὰ τὴν ὅλην ἀρετὴν τε ταγμένη
δικαιοσύνη καὶ ἀδικία, ἡ μὲν τῆς ὅλης οὖσα χρῆσις πρὸς ἄλλον· ἡ
δὲ, τῆς κακίας, ἀφείσθω· καὶ τὸ δίκαιον καὶ τὸ ἄδικον τὸ κατὰ ταύ-
τας, φανερὸν ὡς διοριστέον· σχεδὸν δὲ τὰ πολλὰ τῶν νομίμων τὰ ἀπὸ
τῆς ὅλης ἀρετῆς προστατόμενα ἐστί· καθ' ἑκάστην δὲ ἀρετὴν προ-
στάττει ζῆν· καὶ καθ' ἑκάστην μοχθηρίαν κωλύει ὁνόμος· τὰ δὲ ποιητι-
κὰ τῆς ὅλης ἀρετῆς, ἐστὶ τῶν νομίμων, ὅσα νενομοθέτηται περὶ
παιδείαν τὴν πρὸς τὸ κοινόν· περὶ δὲ τῆς καθ' ἑκάστην παιδείκαθ' ἣν

ἁπλῶς

ἀπολωλὸς ἀνὴρ ἀγαθός ἐστι, πότερον φιλοπολίτικης ἐστὶν ἢ ἑτέρου τινός; ὕστερον σκοπεῖσθον· ἔοικε γὰρ ἴσως ταὐτὸν ἀνδρὶ ἀγαθῷ εἶναι καὶ πολίτην παντὸς φιλοπολίτικου. μέρος δικαιοσύνης καὶ τοῦτο καταῦτον δικαίου φαμέν ἐστιν εἶδος τὸ ἐν τοῖς διανομαῖς τιμῆς ἢ χρημάτων, ἢ τῶν ἄλλων ὅσα μεριστὰ τοῖς κοινωνοῦσι φιλοπολιτείας· ἐν τοῖς γὰρ ἔστιν ἀνίσου ἔχειν καὶ ἴσον ἑτέρου ἑτέρῳ· ἔστι δὲ τὸ ἐναντίον συναλλάγματος διορθωτικόν· τούτου δὲ μέρη δύο· τὰ γὰρ ἀδικημάτων, τὰ μὲν ἑκούσιά ἐστι· τὰ δ' ἀκούσια ἑκούσια μὲν, τοιάδε· οἷον πρᾶσις· ὠνή· δανεισμός· ἐγγύη· χρῆσις· παρακαταθήκη· μίσθωσις· ἑκούσια δὲ λέγεται ὅτι ἡ ἀρχὴ τῶν συναλλαγμάτων ἑκούσιος· τῶν δὲ ἀκουσίων τὰ μὲν λαθραῖα· οἷον κλοπή· μοιχεία· φαρμακεία· προαγωγή· δουλαποδισία· δολοφονία· ψευδομαρτυρία· τὰ δὲ βίαια οἷον αἰκία· δεσμός· θάνατος· ἁρπαγή· πήρωσις· κακηγορία· προπηλακισμός· ἐπεὶ δ' ὅτ' ἄδικος ἄνισος, ἦν δὲ ἄδικον ἄνισον, δῆλον ὅτι καὶ μέσον τι ἐστὶ τοῦ ἀνίσου· τοῦτο δ' ἐστὶ τὸ ἴσον· ἐν ὁπαιᾳ γὰρ πράξει ἐστὶ τὸ πλέον καὶ τὸ ἔλαττον, ἐστὶ δὲ καὶ τὸ ἴσον· καὶ τὸ ἄνισον· εἰ δὴ τὸ ἄδικον ἄνισον, τὸ δίκαιον ἴσον· ὅπερ καὶ ἄνευ λόγου δοκεῖ πᾶσιν· ἐπεὶ δὲ τὸ ἴσον μέσον, καὶ τὸ δίκαιον μέσον ἄν τι εἴη· ἔστι δὲ τὸ ἴσον, ἐν ἐλαχίστοις δυσὶν· ἀναγκαῖον ἄρα τὸ δίκαιον μέσον τε εἶναι καὶ ἴσον καὶ πρός τι καὶ ἤ μὲν μέσον τι ᾖ τινῶν· ταῦτα δ' ἐστὶ πλεῖόν καὶ ἔλαττον· ἤ δ' ἴσον δυοῖν· ἤ δ' ἄρα τισίν· ἀνάγκη ἄρα τὸ δίκαιον γε ἐλαχίστοις εἶναι τέτταρσιν· οἷς τε γὰρ δίκαιον τυγχάνει ὂν, δύο ἐστί· καὶ ἐν οἷς τὰ πράγματα δύο· καὶ αὐτὴ ἰσότης ἔσται οἷς καὶ ἐν οἷς· ὡς γὰρ ἐκεῖνα ἔχει τὰ ἐν οἷς, οὕτω καὶ ἐκεῖνα ἔχει· εἰ γὰρ μὴ ἴσοι οὐκ ἴσα ἕξουσιν· ἀλλ' ἐντεῦθεν αἱ μάχαι καὶ τὰ ἐγκλήματα· ὅταν ἢ μὴ ἴσα ἴσοι, ἢ μὴ ἴσοι ἴσα ἔχωσι καὶ νεμωνται· ἔτι ἐκ τοῦ καταξίαν τοῦτο δῆλον· τὸ γὰρ δίκαιον ἐν τοῖς νομαῖς ὁμολογοῦσι πάντες καταξίαν δεῖ εἶναι· τὸ μέντοι ἀξίαν ὃ τὸ αὐτὸ τιμὴν λέγουσι πάντες· ἀλλ' οἱ μὲν δημοκρατικοὶ ἐλευθερίαν· οἱ δ' ὀλιγαρχικοὶ πλοῦτον· οἱ δ' ἀριστοκρατικοὶ ἀρετὴν

ἔστιν ἄρα τὸ δίκαιον ἀνάλογόν τι· τὸ γὰρ ἀνάλογον οὐ μόνον ἐστὶ
μονάδικοῦ ἀριθμοῦ ἴδιον, ἀλλ' ὅλως ἀριθμοῦ· ἡ δὲ ἀναλογία ἰσό-
της ἐστὶ λόγου καὶ ἐν τέτταρσιν ἐλαχίστοις· ἡ μὲν οὖν διηρημένη,
ὅτι ἐν τέτταρσι δῆλον· ἀλλὰ καὶ ἡ συνεχής· τῷ δὲ ἑνὶ, δυσὶ χρῆται·
καὶ δὶς λέγει· οἷον ὡς ἡ φῦ ᾱ· πρὸς τὴν τοῦ β'· οὕτως ἡ τοῦ β̄· πρὸς τὴν
τοῦ γ̄· δὶς οὖν ἡ φῦ β̄ εἴρηται· ὥστε ἐὰν τὸ β̄ δὶς τεθῇ, τέσσαρα ἔσται
τὰ ἀνάλογα· ἔστι δὲ καὶ τὸ δίκαιον ἐν τέτταρσιν ἐλαχίστοις, καὶ
ὁ λόγος ὁ αὐτός· διῄρηται γὰρ ὁμοίως, οἷς τε καὶ ἁ· ἔσται ἄρα ὡς
ὁ ᾱ· ὅρος πρὸς τὸν β̄, οὕτως ὁ γ̄· πρὸς τὸν δ̄· ἐναλλὰξ ἄρα ὡς ὁ
ᾱ πρὸς τὸν γ̄· ὁ β̄, πρὸς τὸν δ̄· καὶ τὸ ὅλον πρὸς τὸ ὅλον· ὅπερ ἦν· ὁ
μὴ συνδοιάζει· κἂν οὕτω συντεθῇ, δικαίως συνδοιάζει· ἡ ἄρα
τοῦ ᾱ· ὅρου τῷ γ̄· καὶ ἡ φῦ β̄· τῷ δ̄· σύζευξις, τὸ ἐν διανομῇ δίκαιόν
ἐστι· καὶ μέσον τὸ δίκαιον· τουτέστι τὸ παρὰ τὸ ἀνάλογον· τὸ γὰρ
ἀνάλογον, μέσον· τὸ δὲ δίκαιον, ἀνάλογον· καλοῦσι δὲ τὴν φιαύτην ἀνα-
λογίαν γεωμετρικὴν οἱ μαθηματικοί· ἐν δὲ τῇ γεωμετρικῇ συμ-
βαίνει· καὶ τὸ ὅλον πρὸς τὸ ὅλον ὅπερ ἑκάτερον πρὸς ἑκάτερον· ἔστι
δ' οὐ συνεχὴς αὕτη ἡ ἀναλογία· οὐ γὰρ γίνεται ἰσάριθμος ᾧ καὶ ὁ· τὸ
μὲν οὖν δίκαιον φῦτο τὸ ἀνάλογον· τὸ δὲ ἄδικον φῦτο τὸ παρὰ τὸ
ἀνάλογον· τὸ ἀνάλογον γίνεται ἄρα τὸ μὲν πλέον· τὸ δὲ ἔλαττον· ὅπερ
καὶ ἐπὶ τῶν ἔργων συμβαίνει· ὁ μὲν δὲ ἀδικῶν πλέον ἔχει· ὁ δ' ἀδικούμε-
νος ἔλαττον τοῦ ἀγαθοῦ· ἐπὶ δὲ τοῦ κακοῦ ἀνάπαλιν· ἐν ἀγαθοῦ
γὰρ λόγῳ γίνεται τὸ ἔλαττον κακὸν πρὸς τὸ μεῖζον κακόν· ἔστι
δὲ τὸ ἔλαττον κακὸν, μᾶλλον αἱρετὸν τοῦ μείζονος· τὸ δὲ αἱρετὸν
ἀγαθόν· τὸ δὲ μᾶλλον, μεῖζον· τὸ μὲν οὖν ἐν εἶδος τοῦ δικαίου, φῦτόν ἐστι·
τὸ δὲ λοιπὸν ἐν τὸ διορθωτικόν· ὁ γίνεται ἐν τοῦ συναλλάγμασι καὶ τοῦ
ἑκουσίοις καὶ τοῦ ἀκουσίοις· τοῦτο δὲ τὸ δίκαιον ἄλλο εἶδος τοῦ πρότερον·
τὸ μὲν δὲ διανεμητικὸν τῶν κοινῶν, ἀεὶ κατὰ τὴν ἀναλογίαν ἐστὶ τὴν
εἰρημένην· καὶ γὰρ ἀπὸ χρημάτων κοινῶν, ἐὰν γίνηται διανο-
μὴ ἔσται κατὰ τὸν λόγον τὸν αὐτὸν ὅνπερ ἔχουσι πρὸς ἄλληλα
τὰ εἰσενεχθέντα· καὶ τὸ ἄδικον τὸ ἀντικείμενον τῷ δικαίῳ

τούτῳ

τούτω, τὸ πρὰ τὸ ἀνάλογον ἐστί· τὸ δ' ἐν τοῖς συναλλάγμασι δί-
καιον, ἐστὶ μὲν ἴσον τι· καὶ τὸ ἄδικον ἄνισον· ἀλλ' οὐκ κατὰ τὴν ἀναλογίαν ἐ-
κείνην· ἀλλὰ κατὰ τὴν ἀριθμητικήν· οὐδὲν γὰρ διαφέρει, εἰ ἐπιεικὴς
φαῦλον ἀπεστέρησεν· ἢ φαῦλος ἐπιεικῆ, οὐδ' εἰ ἐμοίχευσεν ὑπὸ ἐπι-
εικὴς ἢ φαῦλος· ἀλλὰ πρὸς τοῦ βλάβους τὴν διαφορὰν βλέπει
μόνον ὁνόμος· καὶ χρῆται ὡς ἴσοις· εἰ ὁ μὲν ἀδικεῖ, ὁ δ' ἀδικεῖ-
ται· καὶ εἰ ἔβλαψεν· ὁ δὲ βέβλαπται· ὥστε τὸ ἄδικον τοῦτο ἄνι-
σον ὂν πειρᾶται ἰσάζειν ὁ δικαστής· καὶ γὰρ ὅταν ὁ μὲν πληγῇ, ὁ δὲ
πατάξῃ ἢ καὶ κτείνῃ, ὁ δ' ἀποθάνῃ, διῄρηται τὸ πάθος καὶ ἡ πρᾶ-
ξις εἰς ἄνισα· ἀλλὰ πειρᾶται τῇ ζημίᾳ ἰσάζειν ἀφαιρῶν τοῦ
κέρδους· λέγεται δὲ ὡς ἁπλῶς εἰπεῖν ὑπὸ τοῖς τοιούτοις, κἂν
εἰ μήτισιν οἰκεῖον ὄνομα ᾖ, τὸ κέρδος· οἷον τῷ πατάξαν τι· καὶ
ἡ ζημία τῷ παθόν τι· ἀλλ' ὅταν γε μετρηθῇ τὸ πάθος καλεῖται
τὸ μὲν, ζημία· τὸ δὲ, κέρδος· ὥστε τοῦ μὲν πλείονος καὶ ἐλάττονος,
τὸ ἴσον μέσον· τὸ δὲ κέρδος καὶ ἡ ζημία τὸ μὲν, πλέον· τὸ δὲ ἔλατ-
τον ἐναντίως· τὸ μὲν τοῦ ἀγαθοῦ πλέον· τὸ δὲ τοῦ κακοῦ, ἔλαττον
κέρδος· τὸ δ' ἐναντίον ζημία· ὧν ἦν μέσον τὸ ἴσον· ὃ λέγομεν
εἶναι δίκαιον· ὥστε τὸ ἐπανορθωτικὸν δίκαιον ἂν εἴη τὸ μέ-
σον ζημίας καὶ κέρδους· διὸ καὶ ὅταν ἀμφισβητῶσιν ἐπὶ τὸν
δικαστὴν καταφεύγουσι· τὸ δ' ἐπὶ τὸν δικαστὴν ἰέναι, τὸ ἰέναι καὶ
ἐπὶ τὸ δίκαιον· ὁ γὰρ δικαστὴς βούλεται εἶναι οἷον δίκαιον ἔμ-
ψυχον· καὶ ζητοῦσι δικαστὴν μέσον· καὶ καλοῦσιν ἔνιοι με-
σιδίους· ὡς ἐὰν τοῦ μέσου τύχωσι τοῦ δικαίου τευξόμενοι·
μέσον ἄρα, εἴπερ καὶ ὁ δικαστής· ὁ δὲ δικαστὴς ἐπανισοῖ· καὶ ὥς-
περ γραμμῆς εἰς ἄνισον τετμημένης, ᾧ τὸ μεῖζον τμῆμα τῆς
ἡμισείας ὑπερέχει, τοῦ τἀφεῖλε τῷ ἐλάττονι τμήματι·
ὅταν δὲ διαιρεθῇ τὸ ὅλον δίχα τότε φασὶν ἔχειν τὸ αὐτό· ὅταν λά-
βωσι τὸ ἴσον· τὸ δ' ἴσον μέσον ἐστὶ τῆς μείζονος καὶ ἐλάττονος
κατὰ τὴν ἀριθμητικὴν ἀναλογίαν· διὰ τοῦτο καὶ ὀνομάζεται
δίκαιον ὅτι δίχα ἐστί· ὥσπερ ἂν εἴ τις εἴποι δίχαιον· καὶ ὁ δικαστής·

ἐπὰν γὰρ δύο ἴσων ἀφαιρεθῇ ἀπὸ θατέρου· πρὸς θάτερον δὲ πρὸς
τεθῇ, δυσὶ φύτων ὑπερέχει τὸ θάτερον· εἰ γὰρ ἀφῃρέθη μὲν, μὴ
προσετέθη δὲ, ἑνὶ ἂν μόνον ὑπερεῖχε τοῦ μέσου· ἑνὶ καὶ τὸ μέ-
σον ἀφ' οὗ ἀφῃρέθη· ἑνὶ φύτῳ ἄρα γνωριοῦ μὲν, τί ἀφελεῖν δεῖ
ἀπὸ τοῦ πλέον ἔχοντος· καὶ τί προσθεῖναι τῷ ἔλαττον ἔχοντι· ὧ
μὲν γὰρ τὸ μέσον ὑπερέχει, φυτὸν προσθεῖναι τῷ ἔλαττον ἔχον-
τι· ὧ δὲ ὑπερέχετο, ἀφελεῖν ἀπὸ τοῦ μεγίστου· ἴσαι αἱ ἐφ' ὧν αα·
ββ· γγ· ἀνῃρήλαις ἀπὸ τῆς αα· ἀφῃρητο τὸ αε· καὶ πρόσκειτο τῇ γγ· τὸ
ἐφ' ὧν γδ· ὥστε ὅλη ἡ δγ· τῆς εα· ὑπερέχει τὸ γδ· καὶ τὸ γζ· τῆς
ἄρα ββ· τῷ γδ· ἔστι δὲ τοῦτο καὶ ἐπὶ τῶν ἄλλων τεχνῶν· ἀνῃρῶν τε καὶ
εἰ μὴ ἐπρίουν τὸ πριοῦν καὶ ὅσον οἷον, καὶ τὸ πάσχον ἔπασχε τοῦτο καὶ τοσοῦ-
τον καὶ τοιοῦτον· ἐλήλυθε δὲ ὀνόματα ταῦτα ἥτε ζημία καὶ τὸ
κέρδος ἐκτῆς ἑκουσίου ἀλλαγῆς· τὸ μὲν καὶ πλέον ἔχειν ἢ τὰ αὐ-
τοῦ κερδαίνειν λέγεται· τὸ δὲ ἔλαττον τῶν ἐξ ἀρχῆς ζημιοῦσθαι· οἷον
γὰρ τὸ ὠνεῖσθαι καὶ πωλεῖν καὶ ἐν τοῖς ἄλλοις δέδωκεν ὀνόμος· ὅταν
δὲ μήτε πλέον μήτε ἔλαττον, ἀλλ' αὐτὰ δι' αὐτῶν γένηται τὰ αὐ-
τῶν φασὶν ἔχειν· καὶ οὔτε ζημιοῦσθαι οὔτε κερδαίνειν· ὥστε κέρ-
δους τινὸς καὶ ζημίας, μέσον τὸ δίκαιον ἐστί· τῷ παρὰ τὸ ἑκού-
σιον τὸ ἴσον ἔχειν πρότερον καὶ ὕστερον· δοκεῖ δέ τισι καὶ τὸ ἀντι-
πεπονθὸς ἁπλῶς εἶναι δίκαιον· ὥσπερ οἱ πυθαγόρειοι ἔφα-
σαν· ὁρίζονται γὰρ ἁπλῶς τὸ δίκαιον τὸ ἀντιπεπονθός· τὸ δ' ἀν-
τιπεπονθὸς οὐκ ἐφαρμόττει οὔτε ἐπὶ τὸ νεμητικὸν δίκαιον, οὔ-
τε ἐπὶ τὸ διορθωτικόν· καίτοι βούλονται λέγειν τοῦτο καὶ τὸ ῥα-
δαμάνθυος δίκαιον· εἴκε πάθοι τὰ κέρεξε δικηκεῖθι γένοιτο·
πολλαχοῦ καὶ διαφωνεῖ· οἷον εἰ ἀρχὴν ἔχων ἐπάταξεν, οὐδεῖ ἀντι
πληγῆναι· καὶ εἰ ἄρχοντα ἐπάταξεν οὐ πληγῆναι μόνον δεῖ· ἀλ-
λὰ καὶ κολασθῆναι· ἔτι τὸ ἑκούσιον καὶ τὸ ἀκούσιον διαφέρει
πολύ· ἀλλ' ἐν μὲν ταῖς κοινωνίαις ταῖς ἀλλακτικαῖς συνεί-
κει τὸ τοιοῦτο δίκαιον τὸ ἀντιπεπονθὸς κατ' ἀναλογίαν καὶ
μὴ κατ' ἰσότητα· τῷ ἀντιποιεῖν γὰρ ἀνάλογον συμμένει ἡ πόλις·

τὸ

τὸ γὰρ ἤκακῶς ζητοῦσιν· εἰ δὲ μὴ δουλεία δοκεῖ εἶναι εἰ μὴ ἀντι
ποιήσει· ἢ τὸ εὖ· εἰ δὲ καὶ μετάδοσις ὀυσίνεται· τῇ μεταδόσει δὲ συμ-
μένουσι· διὸ καὶ χάριτος ἕτερον ἐμπροδὼν ποιοῦνται, ἵνα ἀντατό-
δοσις ᾖ· τοῦτο γὰρ ἴδιον χάριτος· ἀνθυπηρετῆσαι γὰρ δεῖ τῷ
χαρισαμένῳ· καὶ πάλιν αὐτὸν ἄρξαι χαριζόμενον· ποιεῖ δὲ τὴν
ἀντίδοσιν τὴν κατἀναλογίαν, ἡ κατὰ διάμετρον σύζευξις·
οἷον οἰκοδόμος ἐφ' ᾧ α· σκυτοτόμος ἐφ' ᾧ β· οἰκία ἐφ' ᾧ γ· ὑπό-
δημα ἐφ' ᾧ δ'· δεῖ οὖν λαμβάνειν τὸν οἰκοδόμον παρὰ τοῦ σκυ-
τοτόμου τὸ ἐκείνου ἔργον· καὶ αὐτὸν ἐκείνῳ μεταδιδόναι τοῦ αὐ-
τοῦ· ἐὰν οὖν πρῶτον ᾖ τὸ κατὰ τὴν ἀναλογίαν ἴσον, εἶτα τὸ
ἀντιπεπονθὸς γένηται, ἔσται τὸ λεγόμενον· εἰ δὲ μή, οὐκ ἴσον οὐ
δὲ συμμένει· οὐδὲν γὰρ κωλύει κρεῖττον εἶναι τὸ θατέρου ἔργον·
ἢ τὸ θατέρου· δεῖ οὖν ταῦτα ἰσασθῆναι· ὅστι δὲ τοῦτο καὶ ἐπὶ τῶν ἄλ-
λων τεχνῶν· ἀνῃροῦντο γὰρ εἰ μὴ ἐποίει τὸ ποιοῦν· καὶ ὅσον καὶ οἷον·
καὶ τὸ πάσχον ἔπασχε τοῦτο· καὶ τοσοῦτο· οὐ γὰρ ἐκ δύο ἰατρῶν γίνε-
ται κοινωνία· ἀλλ' ἐξ ἰατροῦ καὶ γεωργοῦ· καὶ ὅλως ἑτέρων καὶ
οὐκ ἴσων· ἀλλὰ τούτους δεῖ ἰσασθῆναι· διὸ πάντα συμβλητὰ
δεῖπως εἶναι, ὧν ἐστιν ἀλλαγή· ἐφ' ὧν τὸ νόμισμα ἐλήλυθε καὶ
γίνεταί πως μέσον· πάντα γὰρ μετρεῖ· ὥστε καὶ τὴν ὑπεροχὴν
καὶ τὴν ἔλλειψιν μετρεῖ δηλονότι τὸ νόμισμα· πόσα ὑποδήματα
ἴσον οἰκίας τροφῇ· δεῖ τοίνυν ὅπερ οἰκοδόμος πρὸς σκυτοτόμον,
τοσάδε ὑποδήματα πρὸς οἰκίαν ἢ τροφήν· εἰ γὰρ μὴ τοῦτο οὐκ
ἔσται ἀλλαγὴ οὐδὲ κοινωνία· τοῦτο δ' εἰ μὴ ἴσα εἴη πως, οὐκ ἔσται·
δεῖ ἄρα ἑνί τινι πάντα μετρεῖσθαι ὥσπερ ἐλέχθη πρότερον· τοῦτο
δὲ ὅτι τῇ μὲν ἀληθείᾳ ἡ χρεία ἢ πάντα συνέχει· εἰ γὰρ μηθὲν δέ-
οιντο, ἢ μὴ ὁμοίως, ἢ οὐκ ἔσται ἀλλαγή· ἢ οὐχ ἡ αὐτή· οἷον ὑπάλ-
λαγμα τῆς χρείας τὸ νόμισμα γέγονε κατὰ συνθήκην· καὶ διὰ
τοῦτο τοὔνομα ἔχει νόμισμα ὅτι οὐ φύσει· ἀλλὰ νόμῳ ἐστί· καὶ
ἐφ' ἡμῖν μεταβαλεῖν καὶ ποιῆσαι ἄχρηστον· ἔσται δὴ ἀντιπε-
πονθὸς, ὅταν ἰσασθῇ· ὥστε ὅπερ δὴ γεωργὸς πρὸς σκυτοτόμον,

τὸ ἔργον τὸ τοῦ σκυτοτόμου πρὸς τὸ τοῦ γεωργοῦ· εἰς σχῆμα δ' οὐ
δεῖ ἄγειν ἀναλογίας ὅταν ἀλλάξωνται· εἰ δὲ μὴ ἀμφοτέρας
ἕξει τὰς ὑπεροχὰς τὸ ἕτερον ἄκρον· ἀλλ' ὅταν ἔχωσι τὸ αὐτῶ· οὕ-
τως ἴσοι καὶ κοινονοί· ὅτι αὐτὴ ἡ ἰσότης δύνατ' ἐπ' ἄντα γίνεσθαι·
γεωργὸς τὸ α· τροφὴ, γ· σκυτόμος, β· τὸ ἔργον αὐτοῦ τὸ ἰσασμέ-
νον δ· εἰ δ' οὕτω μὴ ἦν ἀντιπεπονθέναι οὐκ ἂν ἦν κοινωνία· ὅτι
δ' ἡ χρεία συνέχει ὥσπερ ἔντι ὄν, δηλοῖ· ὅτι ὅταν μὴ ἐν χρείᾳ ὦ-
σιν ἀλλήλων ἢ ἀμφότεροι ἢ ἄτερος οὐκ ἀλλάττονται· ὥσπερ
ὅταν οὐ ἔχῃ αὐτὸς οὐδέηται· οἷον οἴνου δόντες, σίτου ἐξαγωγῆς·
δεῖ ἄρα τοῦτο ἰσασθῆναι· ὑπὲρ δὲ τῆς μελλούσης ἀλλαγῆς εἰ-
νῦν μηδὲν δεῖται ὅτι ἔσται· ὅτι ἂν δεηθῇ τὸ νόμισμα· οἷον ἐπιτη-
τὴς ἔσθ' ἡμῖν· δεῖ γὰρ τοῦτο φέροντι εἶναι λαβεῖν· πάσχει μὲν
οὖν καὶ τοῦτο τὸ αὐτό· οὐ γὰρ ἀεὶ ἴσον δύναται· ὅμως δὲ βούλεται
μένειν μᾶλλον· διὸ δεῖ πάντα τετιμῆσθαι· οὕτω δὲ ἔσται ἀλλαγή·
εἰ δὲ τοῦτο κοινωνία· τὸ δὴ νόμισμα ὥσπερ μέσον σύμμετρα τρι-
ῆσαν ἰσάζει· οὔτε δὲ ἂν μὴ οὔσης ἀλλαγῆς κοινωνία ἦν· οὔτε ἄλλαγὴ
ἰσότητος μὴ οὔσης· οὔτε ἰσότης μὴ οὔσης συμμετρίας· τῇ μὲν οὖν
ἀληθείᾳ, ἀδύνατον τὰ τοσοῦτον διαφέροντα σύμμετρα γενέ-
σθαι· πρὸς δὲ τὴν χρείαν ἐνδέχεται ἱκανῶς· ἐν δήτι δεῖ εἶναι· τοῦ-
το δὲ ἐξ ὑποθέσεως· διὸ νομίσματα καλεῖται· τοῦτο γὰρ πάντα
τριεῖ σύμμετρα· μετρεῖται δὲ πάντα νομίσματι· οἰκία, α· μναί
δέκα, β· κλίνη, γ· τί α, τοῦ β ἥμισυ· εἰ πέντε μνῶν ἀξία ἡ οἰκία·
ἢ ἴσον· ἡ δὲ κλίνη δέκατον μέρος τὸ γ τοῦ β· δῆλον τοίνυν τόσαι
κλίναι ἴσον οἰκία, ὅτι πέντε· ὅτι δὲ οὕτως ἡ ἀλλαγὴ ἦν πρὶν τό-
νομισμα ἦν, δῆλον· διαφέρει δὲ οὐδὲν ἢ κλῖναι πέντε ἀντὶ οἰκί-
ας, ἢ ὅσου αἱ πέντε κλῖναι· τί μὲν οὖν τὸ ἄδικον καὶ τὶ τὸ δίκαιόν
ἐστιν εἴρηται· διωρισμένων δὲ τούτων, δῆλον ὅτι ἡ δικαιοπρα-
γία μέσον ἐστὶ τοῦ ἀδικεῖν καὶ ἀδικεῖσθαι· τὸ μὲν γὰρ πλέον
ἔχει· τὸ δ' ἔλαττόν ἐστιν· ἡ δὲ δικαιοσύνη μεσότης τίς ἐστιν· οὐ τὸν
αὐτὸν δὲ τρόπον ταῖς ἄλλαις ἀρεταῖς· ἀλλ' ὅτι μέσον ἐστίν· ἡ δ' ἀ-

δικία

δικία τῶν ἄκρων· καὶ ἡ μὲν δικαιοσύνη ἐστὶ καθ' ἣν ὁ δίκαιος λέγεται πρακτικὸς κατὰ προαίρεσιν τοῦ δικαίου καὶ διανεμητικὸς καὶ αὐτῷ πρὸς ἄλλον· καὶ ἑτέρῳ πρὸς ἕτερον· οὐχ οὕτως ὥστε τοῦ μὲν αἱρετοῦ τὸ πλέον αὐτῷ· ἔλαττον δὲ τῷ πλησίον· τοῦ βλαβεροῦ δ' ἀνάπαλιν· ἀλλὰ τοῦ ἴσου τοῦ κατὰ ἀναλογίαν· ὁμοίως δὲ καὶ ἄλλῳ πρὸς ἄλλον· ἡ δὲ ἀδικία τοὐναντίον τοῦ ἀδίκου· τοῦτο δ' ἐστὶν ὑπερβολὴ καὶ ἔλλειψις ἡ ἀδικία· ὅτι ὑπερβολῆς καὶ ἐλλείψεώς ἐστιν· ἐφ' ἑαυτοῦ μὲν ὑπερβολῆς τοῦ ἁπλῶς ὠφελίμου· ἐλλείψεως δὲ τοῦ βλαβεροῦ· ἐπὶ δὲ τῶν ἄλλων τὸ μὲν ὅλον ὁμοίως· τὸ δὲ παρὰ τὸ ἀνάλογον ὁποτέρως ἔτυχεν· τοῦ δὲ ἀδικήματος, τὸ μὲν ἔλαττόν ἐστι τὸ ἀδικεῖσθαι· τὸ δὲ μεῖζον τὸ ἀδικεῖν· περὶ μὲν οὖν δικαιοσύνης καὶ ἀδικίας, τίς ἑκατέρας ἐστὶν ἡ φύσις, εἰρήσθω τοῦτον τὸν τρόπον· ὁμοίως δὲ καὶ περὶ δικαίου καὶ ἀδίκου καθόλου ἐπεὶ δ' ἐστὶν ἀδικοῦνταμή πω ἄδικον εἶναι, ὁποῖα ἀδικήματα ἀδικῶν ἢ δικάδικός ἐστιν ἑκάστην ἀδικίαν, οἷον κλέπτης ἢ μοιχὸς ἢ οὕτω μὲν οὐδὲν διοίσει· καὶ γὰρ ἂν συγγένοιτο γυναικί, εἰδὼς τὸ ἦν, ἀλλ' οὐ διὰ προαιρέσεως ἀρχήν· ἀλλὰ διὰ πάθος ἀδικεῖ μὲν οὖν· ἄδικος δ' οὐκ ἔστι· οἷον οὐ κλέπτης, ἔκλεψε· οὐδὲ μοιχὸς ἐμοίχευσε δέ· ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων· πῶς μὲν οὖν ἔχει τὸ ἀντιπεπονθὸς πρὸς τὸ δίκαιον εἴρηται πρότερον· δεῖ δὲ μὴ λανθάνειν ὅτι τὸ ζητούμενόν ἐστιν, οὐ τὸ ἁπλῶς δίκαιον καὶ τὸ πολιτικὸν δίκαιον, ἀλλὰ τί δίκαιον καὶ καθ' ὁμοιότητα· ἔστι γὰρ δίκαιον, οἷς καὶ νόμος πρὸς αὐτοὺς· καὶ νόμος δ' ἐν οἷς ἀδικία· ἡ γὰρ δίκη κρίσις τοῦ δικαίου καὶ τοῦ ἀδίκου· ἐν οἷς δ' ἀδικία καὶ τὸ ἀδικεῖν ἐν τούτοις· ἐν οἷς δὲ τὸ ἀδικεῖν, οὐ πᾶσιν ἀδικία· τοῦτο δ' ἐστὶ τὸ πλέον αὐτῷ νέμειν τῶν ἁπλῶς ἀγαθῶν· ἔλαττον δὲ τῶν ἁπλῶς κακῶν· διὸ οὐκ ἐῶμεν ἄρχειν ἄνον, ἀλλὰ τὸν λόγον· ὅτι ἑαυτῷ τοῦτο ποιεῖ· καὶ γίνεται τύραννος· ἔστι δ' ὁ ἄρχων φύλαξ τοῦ δικαίου καὶ τοῦ ἴσου· ἐπεὶ δ' οὐδὲν αὐτῷ πλέον εἶναι δοκεῖ, εἴπερ δίκαιος· οὐ γὰρ νέμει πλέον τοῦ

ἀπλῶς ἀπαθοῦ αὐτῷ εἰ μὴ πρὸς αὐτὸν καὶ ἄλλον ὅστ. διὸ ἔτερῳ
τινὶ εἶναι καὶ διὰ τοῦτο ἄριστον εἶναί φασιν ἀγαθὸν τὴν δικαι-
οσύνην, καθάπερ εἴρηται καὶ πρότερον. μισθὸς ἄρα τις δυτέος·
τοῦτο δὲ τιμὴ καὶ γέρας. οἷς δὲ μὴ ἱκανὰ τὰ τοιαῦτα, οὗτοι εἰ-
σὶν οἱ τύραννοι. τὸ δὲ δεσποτικὸν δίκαιον καὶ τὸ οἰκονομικὸν ὁπερ
τὸν τούτοις. ἀλλ' ὅμοιον. οὐ γάρ ἐστιν ἀδικία πρὸς τὰ αὑτοῦ ἀ-
πλῶς. τὸ δὲ κτῆμα καὶ τὸ τέκνον ἕως ἂν ᾖ πηλίκον καὶ χωρισθῇ·
ὥσπερ μέρος αὐτοῦ. αὐτὸν δ' οὐδεὶς προαιρεῖται βλάπτειν. διὸ
οὐκ ἔστιν ἀδικία πρὸς αὐτόν. οὐδ' ἄρα ἄδικον οὐδὲ δίκαιον πρὸς
πολιτικόν. κατὰ νόμον γὰρ ἦν. ᾧ ἐνῆν εἶναι νόμος. οὗτοι δὲ ἦσαν οἷς
ὑπάρχει τὸ ἄρχεσθαι τοῦ ἄρχειν. διὸ μᾶλλον πρὸς γυναῖκα ἐστὶ δίκαιον ἢ πρὸς τέκνα καὶ κτήματα. ἔστι τοῦτο γάρ ἐστι τὸ οἰκονομικὸν δίκαιον. ἕτερον δὲ καὶ τοῦτο τοῦ πολιτικοῦ δικαίου. τὸ μὲν γὰρ φυσικόν ἐστι. τὸ δὲ νόμιμον. φυσικὸν μὲν τὸ πανταχοῦ τὴν αὐτὴν ἔχον δύναμιν. καὶ οὐ τῷ δοκεῖν ἢ μή. νομικὸν δὲ ὃ ἐξ ἀρχῆς μὲν οὐδὲν διαφέρει ὅτως ἢ ἄλλως. ὅταν δὲ θῶνται. οἷον διαφέρει τὸ μνᾶς λυτροῦσθαι ἢ αἶγα θύειν. ἀλλὰ μὴ δύο πρόβατα. ἔτι ὅσα ἐπὶ τῶν καθ' ἕκαστα νομοθετοῦσιν, οἷον τὸ θύειν βρασίδᾳ καὶ πέψιν φάρματος δοκεῖ δέ νισιν εἶναι πάντα τοιαῦτα ὅτι τὰ μὲν φύσει, ἃ κινεῖται τὴν αὐτὴν ἔχει δύναμιν· ὥσπερ τὸ πῦρ καὶ ἐνθάδε, καὶ ἐν Πέρσαις καίει. τὰ δὲ δίκαια κινοῦμεν ὁρῶντες τοῦτο δ' οὐκ ἔστιν οὕτως ἔχον. ἀλλ' ἔστιν ὡς. καὶ πρὶ παραλαγὴ τοῖς θεοῖς ἴσως οὐδαμῶς ἔχον· παρ' ἡμῖν δέ ἐστι μὲν τι καὶ φύσει κινητὸν μὲν πᾶν· ἀλλ' ὅμως ὄντος τὸ μὲν φύσει τὸ δὲ οὐ φύσει πρᾶον ὃ φύσει τῷ ἐνδέχεσθαι καὶ ἄλλως ἔχειν καὶ πρᾶον δ' ἀλλ' ἀνομικὸν ἢ συνθήκη ἂν πρᾶγμα φωκικὸν τὸ ὁμοίως δῆλον καὶ ἐνταῦθα καὶ ὁ αὐτὸς ἁρμόσει διορισμὸς φύσει μὲν ἥδε ἐξ ἀκριβείπων καὶ τοιχάδε χειρὸς παντὸς ἀμφοτερόξεος γενέσθαι. τὸ δὲ κατὰ συνθήκην καὶ συμφέρον τῶν δικαίων ὅμοια ὅστε τοῖς μέτροις. ἃ μὲν πανταχοῦ ἴσα τὰ οἰνηρὰ ἢ σιτηρὰ μέτρα. ἀλλ' οὐ-

ἀλλ' οὗ μὲν ὠνοῦνται μείζω· οὗ δὲ πωλοῦσιν ἐλάττω· ὁμοίως
δὲ ϛ τὰ φυσικὰ ἀλλ' ἀνθρώπινα δίκαια, οὐταν τὰ πάντα χοῦ·
ἐπεὶ οὐ δὲ πολιτείαι· ἀλλὰ μία μόνον πάντα χοῦ κατὰ φύ-
σιν ἡ ἀρετή· τῶν δὲ δικαίων καὶ νομίμων ἕκαστον ὡς τὰ κα-
θόλου πρὸς ἕκαστα ἔχει· τὰ μὲν γὰρ πραττόμενα πολλὰ· ἐκείνων
δ' ἕκαστον ἐν· καθόλου γὰρ· διαφέρει δὲ τὸ ἀδίκημα καὶ τὸ ἄδικον
καὶ τὸ δικαίωμα καὶ τὸ δίκαιον· ἄδικον μὲν γὰρ ἐστι τῇ φύσει
ἢ τάξει· ταυτὸν δὲ τοῦτο ὅταν πραχθῇ ἀδίκημα· πρὶν δὲ πρα-
χθῆναι, οὔπω· ἀλλ' ἄδικον· ὅτι ὅταν πραχθῇ ἀδίκημά ἐστιν· ὁμοί
ως δικαίωμα· καλεῖται δὲ μᾶλλον δικαιοπράγημα τὸ κοι-
νὸν· δικαίωμα δὲ τὸ ἐπανόρθωμα τοῦ ἀδικήματος· καθ' ἕκαστον
δὲ αὐτῶν ποῖα τε εἴδη καὶ πόσα καὶ περὶ ποῖα τυγχάνει ὄντα, ὕστε
ρον ἐπισκεπτέον· ὄντων δὲ τῶν δικαίων ⊂ τῶν ἀδίκων τῶν εἰρη
μένων, ἀδικεῖ μὲν ϛ δικαιοπραγεῖ, ὅταν ἑκόντες αὐτὰ πράτ
τη· ὅταν δ' ἄκων, οὔτε δικαιοπραγεῖ· ἀλλ' ἢ κατὰ συμβεβηκός·
οἷς ϛ συμβεβηκὸς δικαίοις εἶναι ἢ ἀδίκοις, πράττουσιν· ἀδίκη-
μα δὲ ϛ δικαιοπράγημα ὥρισται τῷ ἑκουσίῳ καὶ ἀκουσίῳ· ὅταν ϛ ἑ
κούσιον ᾖ, ψέγεται· ἅμα δὲ καὶ ἀδίκημα τότε ἐστίν· ὡς τέσται τι ἄ
δικον μὲν, ἀδίκημα δὲ οὔπω· ἂν μὴ τὸ ἑκούσιον προσῇ· λέγω δὲ
ἑκούσιον μὲν ὥσπερ καὶ πρότερον εἴρηται, ὃ ἄν τις τῶν ἐφ' ἂν τῷ
ὄντων εἰδὼς καὶ μὴ ἀγνοῶν πράττη μήτε ὃ μήτε ὧ μήτε ὃν· οἷον
τίνα τύπτει καὶ τίνι· καὶ τίνος ἕνεκα· μὴ κατὰ συμβεβηκὸς, μὴ
δὲ βίᾳ· ὥσπερ εἴ τις λαβὼν τὴν χεῖρα αὐτοῦ τύπτει ἕτερον οὐχ
ἑκών· οὐ ϛ ἐπ' αὐτῷ ἐνδέχεται δὲ τὸν τυπτόμενον πατέρα εἶναι·
τὸν δ' ὅτι μὲν ἄνθρ ἢ τῶν παρόντων, γινώσκειν· πατὴρ δὲ ἀγνοεῖν· ὁμοί
ως δὲ τὸ τοιοῦτον διωρίσθω ⊂ ἐπὶ τοῦ ἕνεκα· καὶ περὶ τὴν πρᾶ
ξιν ὅλην· τὸ δὲ ἀγνοούμενον ἢ μὴ ἀγνοούμενον μὲν μὴ ἐπ' αὐτῷ
δ' ὂν ἢ βίᾳ, ἀκούσιον· πολλὰ γὰρ καὶ τῶν φύσει ὑπαρχόντων εἰδό-
τες καὶ πάσχομεν καὶ πράττομεν· ὧν οὐθὲν οὔτε ἑκούσιον οὔτε ἀκού
σιόν ἐστιν· οἷον τὸ γῆρας, ἢ ἀποθνήσκειν· ἔστι δ' ὁμοίως καὶ ἐπὶ τῶν

ἀδίκων καὶ τ δίκαιον καὶ τὸ κατὰ συμβεβηκός· καὶ γὰρ ἂν
τὴν παρακαταθήκην ἀποδοίη τις ἄκων ἢ διὰ φόβον, οὐ δοκεῖ τι δίκαια πράττειν οὐδὲ δίκαιο πραγεῖν φαῖεν, ἀλλ' ἢ κατὰ συμβεβηκός· ὁμοίως δὲ καὶ τὸν ἀναγκαζόμενον καὶ ἄκοντα τὴν παρακαταθήκην μὴ ἀποδιδόντα κατὰ συμβεβηκὸς φαῖεν ἂν δικεῖν καὶ τὰ ἄδικα πράττειν. τῶν δὲ ἑκουσίων τὰ μὲν προελόμενοι πράττομεν, τὰ δὲ οὐ προελόμενοι· προελόμενοι μὲν ὅσα προβουλευσάμενοι· ἀπροαίρετα δὲ ὅσα ἀπροβούλευτα· τριῶν δὴ οὐσῶν βλαβῶν τῶν ἐν τοῖς κοινωνίαις, τὰ μὲν μεθ' ἁγνοίας ἁμαρτήματά ἐστιν· ὅταν μήτε ὃ μήτε ᾧ μήτε οὗ ἕνεκα ἢ ὑπ' ἄλλα βλαβῇ πράξῃ· ἢ γὰρ οὐ βάλλειν ἢ οὐ φυτὸν ἢ οὐ τοῦτον ἢ τοῦδε ἕνεκα ἢ ὧδε ἔβαλε πράξας· ἢ γὰρ οὐ βάλλειν ἢ οὐ φυτὸν ἢ οὐ τοῦτον ἢ τοῦδε ἕνεκα ἢ ὧδε ἔβαλε· ἀλλὰ συνέβη οὐ γὰρ ἕνεκα ὧδε ἔβαλε· οἷον οὐχ ἵνα ἐξώσῃ· ἀλλ' ἵνα κεντήσῃ, ἢ οὐχ οὗ· ἢ οὐχ ᾧ· ὅταν μὲν οὖν παρὰ λόγον βλάβη γένηται, ἀτύχημα· ὅταν δὲ μὴ παρὰ λόγον ἄνευ δὲ κακίας, ἁμάρτημα· ἁμαρτάνει μὲν γὰρ ὅταν ἡ ἀρχὴ ἐν αὐτῷ ᾖ τῆς αἰτίας· ἀτυχεῖ δὲ ὅταν ἔξωθεν· ὅταν μὲν εἰδὼς μὲν προβαλλόμενος ᾖ, ἀδίκημα· διὸ καὶ ὃ μοιχὸς καὶ ὁ κακουργῶν ἀδικεῖ· οἷον ὅσοις τὸ θυμοῦσθαι ἢ ἄλλοις πάθεσιν ὅσοις ἀναγκαῖοις ἢ φυσικοῖς συμβαίνει τοῖς ἀνθρώποις· ταῦτα γὰρ βλάπτοντες καὶ ἁμαρτάνοντες ἀδικοῦσι μὲν καὶ ποιοῦσιν ἀδικήματα ὅστε ὑμῖν οὐ μὴν πω ἄδικοι διὰ ταῦτα οὐδὲ πονηροί· οὐ γὰρ διὰ μοχθηρίαν ἡ βλάβη· ὅταν δὲ ἐκ προαιρέσεως, ἄδικος καὶ μοχθηρός· διὸ καλῶς τὰ ἐκ θυμοῦ οὐκ ἐκ προνοίας γίνεται· οὐ γὰρ ἀρχὴ ὁ θυμῶ ποιῶν· ἀλλ' ὀργίσας· ἔτι δὲ ὁ περὶ τοῦ γενέσθαι ἢ μὴ, ἀμφισβητεῖται, ἀλλὰ περὶ τοῦ δικαίου· ἐῶ φαινομένη γὰρ ἀδικία ἡ ὀργή ἐστιν· ὁ γὰρ ὥσπερ ἐν ταῖς συναλλάγμασι περὶ τοῦ γενέσθαι ἀμφισβητοῦσιν· ὧν ἀνάγκη τὸν ἕτερον εἶναι μοχθηρὸν ἂν μὴ διαλήθῃ αὐτὸ δρῶσιν· ἀλλ' ὁμολογοῦν τες περὶ τοῦ πράγματος περὶ δὲ τοῦ ποτέρως δίκαιον, ἀμφισβητοῦσιν· ὁ δὲ βουλευόμενος οὐκ ἀγνοεῖ· ὥστε τὸ μὲν οἴεται ἀδικεῖσθαι, ὁ δ' οὐκ οἴεται δὲ ἐκ προαιρέσεως βλάπτει, ἀδικεῖ· καὶ κατὰ ταῦτα ἡ τὰ ἀδικήματα

τὰ ὁ

μαστὸς ὁ ἀδίκων ἄδικος, ὅταν παρὰ τὴν αὐτάλογον ᾖ, ἢ ἴσον· ὁμοίως δὲ καὶ τὸ δικαίως ὅταν μὲν προελόμενος δικαιοπραγῇ· δικαιοπραγεῖ δὲ ἐὰν μόνον ἑκὼν πράξῃ· τῶν δ' ἀκουσίων τὰ μὲν ὅτι συγγνωμονικά· τὰ δὲ οὐ συγγνωμονικά· ὅταν μὲν γὰρ μὴ μόνον ἀγνοοῦντες ἁμάρτωσι, καὶ δι' ἄγνοιαν ἁμαρτάνωσι, συγγνωμονικά· ὅσα δὲ μὴ δι' ἄγνοιαν, ἀλλ' ἀγνοοῦντες μὲν, διὰ πάθος δὲ μὴ τὸ φυσικὸν μηδ' ἀνθρώπινον, οὐσυγγνωμονικά· ἀπορήσειε δ' ἄν τις εἰ ἱκανῶς διώρισται περὶ τοῦ ἀδικεῖσθαι καὶ ἀδικεῖν· πρῶτον μὲν εἰ ὄντι ὡς περ διώρισται ἐρικελέγων, τὸ πῶς μᾶλλον κατὰ τοῦτον ἐμπνεύσαιχ' ὁ λόγος· ἑκὼν ἑκοῦσαν ἢ θέλουσαν ἄρχ ἑκών· πότερ' οὖν γὰρ ὅταν ὡς ἀληθῶς ἑκόντα ἀδικεῖσθαι ἢ οὔ· ἀλλ' ἀκούσιον ἄπασιν, ὥσπερ καὶ τὸ ἀδικεῖν ἅπαν ἑκούσιον, καὶ ἆρα ἅπασιν οὕτως ἢ ἐκείνως ὥσπερ καὶ τὸ ἀδικεῖν ἢ πᾶν ἑκούσιον, ἢ τὸ μὲν ἑκούσιον· ὁμοίως δὲ καὶ ἐπὶ τοῦ δικαιοῦσθαι· τὸ γὰρ δικαιοπραγεῖν πᾶν ἑκούσιον· ὥστε καὶ τὸ δικαιοῦσθαι ὁμοίως καθ' ἑκάτερον, πότερ' ἀδικεῖσθαι καὶ δικαιοῦσθαι, ἢ ἑκούσιον ἢ ἀκούσιον εἶναι· ἀλλὰ τὸν μὲν δὴ δόξειεν ἂν ἐπὶ τοῦ δικαιοῦσθαι εἶπᾶν ἑκούσιον· ἔνιοι γὰρ δικαιοῦνται οὐχ ἑκόντες· ἐπεὶ δ' ἂν ἀπορήσειεν ἄν τις πότερον ὁ τὰ ἄδικα ὡς πεπονθὼς ἀδικεῖται καὶ ὡς περ καὶ ἐπὶ τοῦ πράττειν ἢ ἐπὶ τοῦ πάσχειν ὅτι· καὶ τὰ συμβεβηκὸς γὰρ ἐνδέχεται ἐπ' ἀμφοτέρων μετειλαμβάνειν τῶν δικαίων· ὁμοίως δὲ δηλονότι καὶ ἐπὶ τῶν ἀδίκων· ὁ γὰρ τὰ δίκαια πράττειν τῷ ἀδικεῖν· οὐ δὲ τὰ ἄδικα πάσχων τῷ ἀδικεῖσθαι· ὁμοίως δὲ καὶ ἐπὶ τοῦ δικαιοπραγεῖν ἢ δικαιοῦσθαι· ἀδύνατον γὰρ ἀδικεῖσθαι μὴ ἀδικοῦντος· ἢ δικαιοπραγοῦντος εἰλ' ὅτι μὴ ἀπλῶς τὸ ἀδικεῖν τὸ βλάπτειν ἑκόντα τινα· τὸ δ' ἑκόντα εἰδότα καὶ οἷς καὶ ᾧ καὶ ὡς· ὁ δὲ ἀκρατὴς ἑκὼν βλάπτει, αὐτὸς αὑτὸν, ἑκών τε καὶ ἀδικοῖτο· καὶ ἐνδέχοιτο αὐτὸν αὑτὸν ἀδικεῖν· ὅτι δὲ καὶ τοῦτο ἐν τῶν ἀπορουμένων εἰ ἐνδέχοιτο αὐτὸν αὑτὸν ἀδικεῖν, ἔστι ἑκὼν αὐτὸς δ' ἀκρασίαν ὑπ' ἄλλου βλάπτοιτο ἀδ

κοῦντος· ὥστε εἴη ἂν ἑκόντα ἀδικεῖσθαι· ἢ οὐκ ὀρθὸς ὁ διορισμός·
ἀλλὰ προσθετέον τὸ βλάπτειν εἰδότα, ⁊ ᾧ καὶ ὡς παρὰ τὴν ἐ-
κείνου βούλησιν· βλάπτεται μὲν οὖν τις ἑκὼν, καὶ τἄδικα πάσ-
χει· ἀδικεῖται δὲ οὐδὲ εἷς ἑκών· οὐδεὶς γὰρ βούλεται οὐδ' ἀκρα-
τής· ἀλλὰ παρὰ τὴν βούλησιν πράττει· οὔτε δὲ βούλεται οὐδεὶς
ὁ μὴ οἴετ' εἶναι σπουδαῖον, οὔθ' ὁ ἀκρατής, οὐχὰ οἴεται δεῖν πράτ-
τειν, πράττει· ὁ δὲ τὰ αὐτὰ διδοὺς ὥσπερ ὅμηρος φησὶ δοῦναι
τὸν γλαῦκον τῷ διομήδει χρύσεα χαλκείων ἑκατόμβοι ἐννεαβοί-
ων, οὐκ ἀδικεῖται· ἐπαὐτῷ γὰρ ἐστι τὸ διδόναι· τὸ δ' ἀδικεῖσθαι οὐκ
ἐπαὐτῷ· ἀλλὰ τὸν ἀδικοῦντα δεῖ ὑπάρχειν· περὶ μὲν οὖν τοῦ
ἀδικεῖσθαι ὅτι οὐχ ἑκούσιον, δῆλον· ὅτι δ' ὧν προειλόμεθα δ' ὑ
ἐστὶν εἰπεῖν, πότερον πότε ἀδικεῖ ὁνείμας ἢ ὁ παρὰ τὴν ἀξί-
αν τὸ πλέον ἔχων, εἰ ἔστιν αὐτὸν αὑτὸν ἀδικεῖν· εἰ γὰρ ἐνδέχεται τὸ
πρότερον λεχθὲν ⁊ ὁ διανέμων ἀδικεῖ· ἀλλ' οὐχ ὁ ἔχων τὸ πλέον
εἴ τις πλέον αὐτοῦ ἑτέρῳ νέμει εἰδὼς, ⁊ ἑκὼν αὐτὸς αὑτὸν ἀδι-
κεῖ· ὅπερ δοκοῦσιν οἱ μέτριοι ποιεῖν· ὁ γὰρ ἐπιεικὴς ἐλαττωτικός
ἐστιν· ἢ οὐ τὸ τοῦτο ἁπλοῦν· ἑτέρου γὰρ ἀγαθοῦ εἰ ἔτυχε πλεονεκτεῖ
οἷον δόξης ἢ τοῦ ἁπλῶς καλοῦ· ἔτι λύεται κατὰ τὸν διορισμὸν
τοῦ ἀδικεῖν· οὐδὲν γὰρ παρὰ τὴν αὑτοῦ πάσχει βούλησιν· ὥστε οὐκ
ἀδικεῖται διάγε τοῦτο· ἀλλ' εἴπερ βλάπτεται μόνον· φανερὸν
δὲ ὅτι καὶ ὁ διανέμων ἀδικεῖ· ἀλλ' οὐχ ὁ τὸ πλέον ἔχων ἀεί· οὐ γὰρ
ᾧ τὸ ἄδικον ὑπάρχει ἀδικεῖ· ἀλλ' ᾧ τὸ ἑκόντα τοῦτο τοιεῖν· τοῦτο
δ' ὅθεν ἡ ἀρχὴ τῆς πράξεως ἡ ἐστιν ἐν τῷ διανέμ' τι, ἀλλ' οὐκ ἐν
τῷ λαμβάνειν· ἔτι ἐπεὶ πολλαχῶς τὸ τοιεῖν λέγεται καί ἐστιν ὥστ'
ἀψυχακτήνη, ⁊ ἡ χεὶρ καὶ ὁ οἰκέτης, ἐπιτάξαντος μὲν οὐκ ἀδικεῖ
τοιεῖ δὲ τὰ ἄδικα· ἔτι εἰ μὲν ἀγνοῶν ἔκρινεν, οὐκ ἀδικεῖ κατὰ
τὸ νομικὸν δίκαιον· οὐδ' ἄδικος ἡ κρίσις ἐστίν· ἔστι δ' ὡς ἄδικος· ἕτε-
ρον γὰρ τὸ νομικὸν δίκαιον καὶ τὸ πρῶτον· εἰ δὲ γινώσκων ἔκρινεν
ἀδίκως, πλεονεκτεῖ ⁊ αὐτὸς, ἢ χάριτος ἢ τιμωρίας· ὥσπερ οὖν
⁊ εἴ τις μερίσαιτο τοῦ ἀδικήματος· ⁊ ὁ ταῦτα κρίνας ἀδίκως

πλέον

πλέον ἔχει· καὶ ϛ ἐπ' ἐκείνω κρίνας τὸν ἀγρὸν, οὐκ ἀγρὸν ἀλλ' ἀργύριον ἔλαβεν· οἱ δ' ἄνοι ἐφ' ἑαυτοῖς οἴονται εἶναι τὸ ἀδικεῖν· διὸ ϛ τὸ δίκαιον εἶναι ῥάδιον· τὸ δ' οὐκ ἔστι· συγγενέσθαι μὲν γὰρ τῇ τοῦ γείτονος γυναικὶ καὶ πατάξαι τὸν πλησίον, καὶ δοῦναι τῇ χειρὶ τὸ ἀργύριον, ῥάδιον ϛ ἐπ' αὐτοῖς· ἀλλὰ τὸ ὡδὶ ἔχοντας ταυτὸ ποιεῖν, οὔτε ῥάδιον οὔτε ἐπ' αὐτοῖς· ὁμοίως δὲ καὶ τὰ δίκαια τὸ γνῶναι καὶ τὰ ἄδικα, οὐδὲν οἴονται σοφὸν εἶναι· ὅτι περὶ ὧν οἱ νόμοι λέγουσιν, οὐχαλεπὸν συνιέναι· ἀλλ' οὐταῦτ' ἐστὶ τὰ δίκαια ἀλλ' ἢ κατὰ συμβεβηκός· ἀλλὰ πῶς πραττόμενα καὶ πῶς νεμόμενα δίκαια· τοῦτο δὲ πλέον ἔργον ἢ τὰ ὑγιεινὰ εἰδέναι· ἐπεὶ κἀκεῖ μέλι καὶ οἶον καὶ ἐλέβορον καὶ καῦσιν καὶ τομὴν εἰδέναι ῥάδιον· ἀλλὰ πῶς δεῖ εἶναι πρὸς ὑγίειαν καὶ τίνι καὶ πότε, τοσοῦτον ἔργον, ὅσον ἰατρὸν εἶναι· διὰ ταυτὸ δὲ τοῦτο ϛ τοῦ δικαίου οἴονται εἶναι οὐδὲν ἧττον τὸ ἀδικεῖν· ὅτι οὐχ ἧττον ὁ δίκαιος ἀλλὰ καὶ μᾶλλον δύναιτ' ἂν ἕκαστον πράξαι τούτων· καὶ γὰρ συγγενέσθαι γυναικὶ καὶ πατάξαι· καὶ ὁ ἀνδρεῖος τὴν ἀσπίδα ἀφεῖναι· καὶ στραφεὶς ἐφ' ὁπότερα οὖν τρέχειν· ἀλλὰ τὸ δειλαίνειν ϛ τὸ ἀδικεῖν οὐ τὸ ταῦτα ποιεῖν ἐστι πλὴν κατὰ συμβεβηκός· ἀλλὰ τὸ ὧδε, ἔχοντα ταῦτα ποιεῖν, ὥσπερ καὶ τὸ ἰατρεύειν ϛ τὸ ὑγιάζειν· τὸ τέμνειν· ἢ μὴ τέμνειν· ἢ φαρμακεύειν ἢ μὴ φαρμακεύειν ἐστίν· ἀλλὰ τὸ ὡδί· ἔστι δὲ ϛ τὰ δίκαια ἐν τούτοις οἷς μέτεστι τῶν ἁπλῶς ἀγαθῶν· ἔχουσι δ' ὑπερβολὴν ἐν τούτοις καὶ ἔλλειψιν· τοῖς μὲν γὰρ ἔστιν ὑπερβολὴ αὐτῶν, οἷον ἴσως τοῖς θεοῖς· τοῖς δ' οὐδὲν μόριον ὠφέλιμον τοῖς ἀνιάτως κακοῖς· ἀλλὰ πάνταβλάπτει· τοῖς δὲ μέχριτου, τἀνθρώπινόν ἐστι· περὶ δὲ ἐπιεικείας καὶ τοῦ ἐπιεικοῦς πῶς ἔχει, ἡ μὲν ἐπιείκεια πρὸς δικαιοσύνην· τὸ δ' ἐπιεικὲς πρὸς τὸ δίκαιον ἐχόμενόν ἐστιν εἰπεῖν· οὔτε γὰρ ὡς ταυτὸν ἁπλῶς, οὔτε ὡς ἕτερον τῷ γένει φαίνεται σκοπουμένοις· καὶ ὁ τὲ μὲν τὸ ἐπιεικὲς ἐπαινοῦμεν, καὶ ἄνδρα τὸν τοιοῦτον· ὥστε καὶ ἐπὶ τὰ ἄλλα

ἐπαινοῦμεν μεταφέρομεν αὐτὸ τοῦ ἀγαθοῦ τὸ ἐπιεικέστερον ὅτι βέλτιον δηλοῦντες· ὅτι δὲ τῷ λόγῳ ἀκολουθοῦσι, φαίνεται ἄρτιον εἶναι τὸ ἐπιεικὲς παρὰ τὸ δίκαιόν τι ὂν ἐπαινετόν· ὅτι γὰρ ἢ τὸ δίκαιον οὐ σπουδαῖον, ἢ τὸ ἐπιεικὲς οὐ δίκαιον εἰ ἄλλο· ἢ εἰ ἄμφω σπουδαῖά ἐστιν· ἢ μὴ οὖν ἀποδεκτὸν δὲ ταῦτα σπουδαῖα· ἔχει δὲ ἁπλῶς τὸν τρόπον ὀρθῶς· καὶ οὐδὲν ὑπεναντίον ἐστὶν εἰπεῖν· τὸ γὰρ ἐπιεικὲς δίκαιόν ἐστιν ὂν βέλτιόν ἐστι τοῦ δικαίου· ταυτὸν ἄρα δίκαιόν καὶ ἐπιεικές· ἢ ἀμφοῖν σπουδαίων ὄντων κρεῖττον τὸ ἐπιεικές· πρὶν δὲ τὴν ἀπορίαν ὅ τι τὸ ἐπιεικὲς δίκαιον μέν ἐστιν· οὐκατὰ νόμον δὲ· ἀλλ' ἐπανόρθωμα δικαίου νομίμου· αἴτιον δ' ὅτι ὁ μὲν νόμος καθόλου πᾶς· περὶ ἐνίων δὲ οὐχοἷόν τε ὀρθῶς εἰπεῖν καθόλου· ἐν οἷς οὖν ἀνάγκη μὲν εἰπεῖν καὶ μὴ οἷόν τε δὲ ὀρθῶς, τὸ ὡς ἐπὶ τὸ πλεῖον λαμβανόμενον οὐκ ἀγνοῶν τὸ ἁμάρτανόμενον· καὶ ὄντων ἔθεν ἧττον ὀρθῶς· τὸ δ' ἁμάρτημα οὐκ ἐν τῷ νόμῳ, οὐδ' ἐν τῷ νομοθέτῃ· ἀλλ' ἐν τῇ φύσει τοῦ πράγματος ὅτιν· αὕθυλις γὰρ τοιαύτη τῶν πρακτῶν ὕλη ἐστίν· ὅταν οὖν λέγῃ μὲν ὁ νόμος καθόλου, συμβῇ δ' ἐπὶ τούτοις παρὰ τὸ καθόλου τὸ ὀρθῶς ἔχειν παραλείπειν ὁ νομοθέτης· ἢ ἥμαρτεν ἁπλῶς εἰπὼν ἐπανορθοῦν τὸ ἐλλιφθὲν ὃ καὶ ὁ νομοθέτης αὐτὸς εἶπε παρών, ἢ εἰ ἤδη ἐνομοθέτησεν· διὸ δίκαιον μέν ἐστι καὶ βέλτιστον τινὸς δικαίου, οὐ τοῦ ἁπλῶς δὲ ἀλλὰ τοῦ διὰ τὸ ἁπλῶς ἁμάρτημα τος· καὶ ἔστιν αὕτη ἡ φύσις ἡ τοῦ ἐπιεικοῦς ἐπανόρθωμα νόμου ᾗ ἐλλείπει διὰ τὸ καθόλου· τοῦτο γὰρ αἴτιον· καὶ τοῦ μὴ πάντα κατὰ νόμον εἶναι, ὅτι περί τινων, ἀδύνατον θέσθαι νόμον· ὥστε ψηφίσματος δεῖ· τοῦ γὰρ ἀορίστου ἀόριστος ὁ κανών ἐστιν· ὥσπερ καὶ τῆς λεσβίας οἰκοδομίας ὁ μόλιβδινος κανών· πρὸς γὰρ τὸ σχῆμα τοῦ λίθου μετακινεῖται καὶ οὐ μένει ὁ κανών· καὶ τὸ ψήφισμα πρὸς τὰ πράγματα· τί μὲν οὖν ἐστὶ τὸ ἐπιεικὲς, καὶ τί τὸ δίκαιον ἢ τίνος δικαίου βέλτιον, δῆλον· φανερὸν δὲ καὶ ὑπὸ τοῦ ἐπιεικῆς τίς ἐστιν ὁ δὲ τὰ τοιάδε

πρᾶξαι

προαιρετικὸς ἢ μὴ ὁ ἀκρατὴς βλάπτει γὰρ τὸ χεῖρον, ἀλλ' ἐλαττῶ
τικός. ἢ πρειέχωνφὴν μόνον βοηθὸν, ἐπεικὴς ὅστις. ἢ ἕξις αὕτη
ἐπιείκεια δικαιοσύνη τίς ἐστι καὶ ἀρετὴ ἕξις. πότερον δὲ ἐν
δέχεται ἑαυτὸν ἀδικεῖν ἢ ὄ, φανερὸν ἐκ τῶν εἰρημμένων. τὰ μὲν
γὰρ ὅλως τὸ δικαίων τὰ κατὰ πᾶσαν ἀρετὴν ὑπὸ τοῦ νόμου τεταγ
μένα. οἷον ἀκολουθεῖ ἑαυτὸν ἀποκτιννύναι ὁ νόμος, ἃ δὲ μὴ κελεύει ἀ
ποτρεπεύει. ἔτι ὅταν παρὰ τὸν νόμον βλάπτῃ μὴ αὐτὸ βλάπ
των, ἑκὼν ἀδικεῖ. ἑκὼν δ' ἐστὶν ὃ εἰδὼς καὶ οἷς καὶ ὧν καὶ ᾧ καὶ ὡς
σφάττων ἑκὼν τοῦτο δρᾷ παρὰ τὸν ὀρθὸν λόγον, οὗ δὲ ἑαυτοῦ ὁ νό
μος. ἀδικεῖ ἄρα. ἀλλὰ τίνα ἢ τὴν πόλιν αὐτὸν δοῦ. ἑκὼν δ' ποιέ
χει. ἀδικεῖται δυοῖν δεῖ ἑκών. διὸ καὶ ἡ πόλις ζημιοῖ. καὶ τις ἀτιμία
πρόσεστι τῷ ἑαυτὸν διαφθείραντι, ὡς τὴν πόλιν ἀδικοῦντι. ἔτι
καθὸ ἄδικος ὁμόνον ἀδικῶν ἢ μὴ ἁπλῶς φαῦλος, οὐκ ἔστιν ὁ
δικῆσαι ἑαυτόν. τοῦτο δ' ἄλλο ἐκείνου. ὅστι γάρ πως ὁ ἀδικος ὅτω
πονηρὸς ὥσπερ ὅλῳ λόγῳ. ἀχρὸς ὅλην ἔχων τὴν πονηρίαν. ὥστε τοῦ
ἧκαθ' αὑτὴν ἀδικίαν. ἅμα γὲ αὐτῷ εἶναι ἀφαιρεῖσθαι καὶ πρᾶ
κεῖσθαι τὸ αὐτό. τοῦτο δ' ἀδύνατον. ἀλλ' αἰεὶ ἐν πλείοσιν ἀναγ
καῖον εἶναι τὸ δίκαιον ἢ τὸ ἄδικον. ἔτι ἓν ἕκαστόν τι καὶ ἐκ προαιρέ
σεως καὶ πρότερον. ἢ γὰρ διότι ἔπαθε καίριον αὐτὸ αὐτί πρίων
οὐδοκεῖ ἀδικεῖν. αὐτὸς δ' αὑτὸν ταῦτα ἅμα καὶ πάσχει καὶ
ποιεῖ. ἔτι εἴη ἂν ἑκόντα ἀδικεῖσθαι. πρὸς δὲ τούτοις οὐ πᾶσιν
κατὰ μέρος ἀδικημάτων ἀδικεῖ οὐδείς. μοιχεύει δ' οὐδεὶς τὴν
ἑαυτοῦ. οὐ δέ τοι χρυσοῦν ἑαυτοῦ τοῖχον. οὐ δὲ κλέπτει τὰ
ἑαυτοῦ. ὅλως δὲ λύεται τὸ αὐτὸν ἀδικεῖν καὶ κατὰ τὸν δρο
ισμὸν τὸν περὶ τοῦ ἑκουσίως ἀδικεῖσθαι. φανερὸν δὲ καὶ
ὅτι ἀμφοτέρως φαῦλα καὶ τὸ ἀδικεῖσθαι ἢ τὸ ἀδικεῖν. τὸ
μὲν γὰρ ἔλαττον, τὸ δὲ πλεῖον ἔχον ὅστι τοῦ μέσου. καὶ ὡς
περ ὑγιεινὸν μὲν ἐν ἰατρικῇ δύναται ὁ ἐν γυμναστικῇ, ἀλλ'
ὅμως χεῖρον τὸ ἀδικεῖν. τὸ μὲν γὰρ ἀδικεῖν μετὰ κακίας καὶ
ψεκτόν. καὶ κακίας ἢ τῆς τελείας ἁπλῶς ἢ ἐγγύς. τὸ δὲ πάσχειν
ἕκαστον μετὰ ἀδικίας. τὸ δὲ δικεῖσθαι αὖ κακίας, ἀδικίας.

καθ' αὑτὸ μὲν οὖν τὸ ἀδικεῖσθαι ἧττον φαῦλον· κατὰ συμβε-
βηκὸς δὲ οὐδὲν κωλύει μεῖζον κακόν· ἀλλ' οὐθὲν μέλει τῇ τέχνῃ·
ἀλλὰ πλευρῖτιν λέγει μείζω νόσον πρὸς πταίσμαρος· καίτοι γέ-
νοιτ' ἄν ποτε θάτερον κατὰ συμβεβηκός· εἰ πρὸς πταίσαντα
διὰ τὸ πεσεῖν συμβαίη ἢ ὑπὸ τῶν πολεμίων λυφθῆ-
ναι καὶ ἀποθανεῖν· κατὰ μεταφορὰν δὲ καὶ ὁμοιότητα ἐστὶν οὐχ
αὑτῷ πρὸς αὑτὸν δίκαιον· ἀλλὰ τῶν αὐτοῦ τισίν· οὐ πᾶν δὲ δί-
καιον ἀλλὰ τὸ δεσποτικόν· ἢ τὸ οἰκονομικόν· ἐν τούτοις γὰρ τοῖς
λόγοις διέστηκε, τὸ λόγον ἔχον μέρος τῆς ψυχῆς πρὸς τὸ ἄλογον
εἰς ἃ δὴ βλέπουσι καὶ δοκεῖ εἶναι ἀδικία πρὸς αὐτόν· ὅτι ἐν τού-
τοις ἐστὶ πάσχειν τὶ παρὰ τὰς ἑαυτῶν ὀρέξεις· ὥσπερ οὖν ἄρχοντι
καὶ ἄρχομένῳ εἶναι πρὸς ἄλληλα δίκαιόν τι καὶ τούτοις· περὶ
μὲν οὖν δικαιοσύνης καὶ τῶν ἄλλων ἠθικῶν
ἀρετῶν, διωρίσθω τὸν
τρόπον τοῦ
τον·

✕

ΤΕΛΟΣ ΤΟΥ Δ'.

ἈΡΙΣΤΟΤΈΛΟΥΣ ἨΘΙΚῶΝ ἘΥΔΗΜΊΩΝ, Τὸ Ἐ.

Ἐπεὶ δὲ τυγχάνομεν πρότερον εἰρηκότες ὅτι δεῖ τὸ μέσον αἱρεῖσθαι μὴ τὴν ὑπερβολὴν μηδὲ τὴν ἔλλειψιν, τὸ δὲ μέσον ἐστὶν ὡς ὁ λόγος ὁ ὀρθὸς λέγει, τοῦτο διέλωμεν. ἐν πάσαις γὰρ ταῖς εἰρημέναις πράξεσι καθάπερ καὶ ἐπὶ τῶν ἄλλων ἔστι τίς σκοπός· πρὸς ὃν ἀποβλέπων ὁ τὸν λόγον ἔχων ἐπιτείνει καὶ ἀνίησι· καὶ τίς ἐστιν ὅρος τῶν μεσοτήτων ἃς μεταξὺ φαμὲν εἶναι τῆς ὑπερβολῆς καὶ τῆς ἐλλείψεως, οὔσης κατὰ τὸν ὀρθὸν λόγον. ἔστι δὲ τὸ μὲν εἰπεῖν οὕτως, ἀληθὲς μὲν, οὐθὲν δὲ σαφές· καὶ γὰρ ἐν ταῖς ἄλλαις ἐπιμελείαις, περὶ ὅσας ἐστὶν ἐπιστήμη, τοῦ τἀληθὲς εἰπεῖν· ὅτι οὔτε πλείω οὔτε ἐλάττω δεῖ τὸν εἶν· οὐ δὲ ῥαθυμεῖν· ἀλλὰ τὰ μέσα καὶ ὡς ὁ ὀρθὸς λόγος· τοῦτο δὲ μόνον ἔχων ἄν τις οὐδὲν ἂν εἰδείη πλέον· οἷον τοῖα δεῖ προσφέρεσθαι πρὸς τὸ σῶμα εἴ τις εἴποι ἐν· ὅτι ὡς ἡ ἰατρικὴ κελεύει καὶ ὡς ὁ ταύτην ἔχων· διὸ δεῖ καὶ περὶ τὰς τῆς ψυχῆς ἕξεις μὴ μόνον ἀληθῶς εἶναι τοῦτο εἰρημένον, ἀλλὰ καὶ διωρισμένον τίς τε ἐστὶν ὁ ὀρθὸς λόγος· καὶ τούτου τίς ὅρος· τὰς δὲ τῆς ψυχῆς ἀρετὰς διελόμενοι, τὰς μὲν εἶναι τοῦ ἤθους ἔφαμεν τὰς δὲ, τῆς διανοίας· περὶ μὲν οὖν τῶν ἠθικῶν διεληλύθαμεν· περὶ δὲ τῶν λοιπῶν, περὶ ψυχῆς πρῶτον εἰπόντες λέγομεν οὕτω· πρότερον μὲν οὖν ἐλέχθη δύο εἶναι τῆς ψυχῆς μέρη, τό τε λόγον ἔχον καὶ τὸ ἄλογον

νῦν δὲ περὶ τοῦ λόγον ἔχοντος τὸν αὐτὸν τρόπον διαιρετέον. εἰ
ὑποκείσθω δύο τὰ λόγον ἔχοντα. ἓν μὲν ᾧ θεωροῦμεν τὰ φιαῦ
τα τῶν ὄντων. ὅσων αἱ ἀρχαὶ μὴ ἐνδέχονται ἄλλως ἔχειν. ἓν
δὲ τῶν ἃ ἐνδέχονται. πρὸς γὰρ τὰ τῷ γένει ἕτερα. καὶ τῶν τῆς
ψυχῆς μορίων, ἕτερον τῷ γένει τὸ πρὸς ἑκάτερον πεφυκός. εἴ
περ καθ' ὁμοιότητα καὶ οἰκειότητα ἡ γνῶσις ὑπάρχει αὐτοῖς.
λεγέσθω δὲ τούτων, τὸ μὲν ἐπιστημονικόν. τὸ δὲ, λογιστικόν. τὸ
γὰρ βουλεύεσθαι καὶ λογίζεσθαι ταυτόν. οὐδεὶς δὲ βουλεύεται πε
ρὶ τῶν μὴ ἐνδεχομένων ἄλλως ἔχειν. ὥστε τὸ λογιστικόν ἐστιν
ἐντιμέρος τοῦ λόγον ἔχοντος. λεπτέον ἄρα ἑκατέρου τούτων
τίς ἡ βελτίστη ἕξις. αὕτη γὰρ ἀρετὴ ἑκατέρου ἡ δ' ἀρετὴ πρὸς τὸ
ἔργον τὸ οἰκεῖον. τρία δ' ἐστὶν ἐν τῇ ψυχῇ τὰ κύρια πράξεως καὶ
ἀληθείας. αἴσθησις, νοῦς. ὄρεξις. τούτων δὴ αἴσθησις οὐδὲ μιᾶς
ἀρχὴ πράξεως. δῆλον δὲ, τῷ τὰ θηρία αἴσθησιν μὲν ἔχειν. πρά
ξεως δὲ μὴ κοινωνεῖν. ἔστι δ' ὅπερ ἐν διανοίᾳ κατάφασις καὶ ἀ-
πόφασις, τοῦτο ἐν ὀρέξει διώξις καὶ φυγή. ὥστε πειδὴ ἡ ἠθι-
κὴ ἀρετὴ ἕξις προαιρετικὴ, ἡ δὲ προαίρεσις ἕξις βουλευτικὴ,
δεῖ διὰ μὲν ταῦτα ὄντε λόγον ἀληθῆ εἶναι καὶ τὴν ὄρεξιν ὀρ-
θήν. εἴπερ ἡ προαίρεσις σπουδαία. καὶ τὰ αὐτὰ τὸν μὲν φάναι
τὴν δὲ, διώκειν. αὕτη μὲν οὖν ἡ διάνοια καὶ ἡ ἀλήθεια πρακτική.
τῆς δὲ θεωρητικῆς διανοίας καὶ μὴ πρακτικῆς μὴ δὲ ποιη-
τικῆς, τὸ εὖ καὶ κακῶς, τἀληθές ἐστι καὶ τὸ ψεῦδος. τοῦτο γὰρ ἐστι
παντὸς διανοητικοῦ ἔργον. τοῦ δὲ πρακτικοῦ καὶ διανοητικοῦ
ἀλήθεια, ὁμολόγως ἔχουσα τῇ ὀρέξει τῇ ὀρθῇ πράξεως μὲν οὖν
ἀρχὴ προαίρεσις, ὅθεν ἡ κίνησις ἀλλ' οὐχοῦ ἕνεκα. προαιρέσε-
ως δὲ ὄρεξις καὶ ὁ λόγος ὁ ἕνεκά τινος. διὸ οὔτ' ἄνευ νοῦ καὶ δι-
ανοίας, οὔτ' ἄνευ ἠθικῆς ἐστιν ἕξεως ἡ προαίρεσις, εὐπραξία
γὰρ. καὶ τὸ ἐναντίον ἐν πράξει ἄνευ διανοίας καὶ ἤθους
οὐκ ἔστι. διάνοια δὲ αὕτη οὐθὲν κινεῖ. ἀλλ' ἡ ἕνεκά του καὶ
πρακτική. αὕτη γὰρ καὶ τῆς ποιητικῆς ἄρχει. ἕνεκα γὰρ τοῦ

ποιεῖ

ποιεῖ πᾶς ὁ ποιῶν. ϛ οὐ τέλος ἁπλῶς, ἀλλὰ πρός τι καί τινος τὸ
ποιητὸν. ἀλλοῦ τὸ πρακτὸν. ἡ γὰρ εὐπραξία τέλος. ἡ δ' ὄρεξις τοῦ
του. διὸ ἢ ὀρεκτικὸς νοῦς ἢ προαίρεσις. ἢ ὄρεξις διανοητική. ⊂
ἡ τοιαύτη ἀρχὴ ἄνθρωπος. οὐκ ἔστι δὲ προαιρετὸν οὐδὲν γεγονός.
οἷον οὐδεὶς προαιρεῖται ἴλιον πεπορθηκέναι. οὐδὲ γὰρ βουλεύε
ται περὶ τοῦ γεγονότος. ἀλλὰ περὶ τοῦ ἐσομένου καὶ ἐνδεχομέ
νου. τὸ δὲ γεγονὸς οὐκ ἐνδέχεται μὴ γενέσθαι. διὸ ὀρθῶς ἀγάθων.
μόνου γὰρ αὐτοῦ καὶ θεὸς στερίσκεται ἀγένητα ποιεῖν ἅσσαν ἢ
πεπραγμένα. ἀμφοτέρων δὴ τῶν νοητῶν μορίων ἀλήθεια τὸ
ἔργον. καθ' ἃς οὖν μάλιστα ἕξεις ἀληθεύσει, ἑκάτερον, αὗται αἱ ἀρε
ταὶ ἀμφοῖν. ἀρξάμενοι οὖν ἄνωθεν περὶ αὐτῶν πάλιν λέγωμεν
ἔστω δὴ οἷς ἀληθεύει ψυχή, τῷ καταφάναι ἢ ἀποφάναι πέντε
τὸν ἀριθμόν. ταῦτα δ' ἐστὶ τέχνη, ἐπιστήμη. φρόνησις. σοφία. νοῦς.
ὑπολήψει γὰρ καὶ δόξῃ ἐνδέχεται διαψεύδεσθαι, ἐπιστήμη μὲν οὖν
τί ἐστιν, ἐν τεῦθεν φανερὸν. εἰ δεῖ ἀκριβολογεῖσθαι ϛ μὴ ἀκολου
θεῖν ταῖς ὁμοιότησι. πάντες γὰρ ὑπολαμβάνομεν ὃ ἐπιστάμεθα
μὴ ἐνδέχεσθαι ἄλλως ἔχειν. τὰ δὲ ἐνδεχόμενα ἄλλως ὅταν ἔξω
τοῦ θεωρεῖν γένηται, λανθάνει εἰ ἔστιν ἢ μὴ. ἐξ ἀνάγκης ἄρα ἐστὶ
τὸ ἐπιστητὸν ἀΐδιον ἄρα. τὰ δὲ ἐξ ἀνάγκης ὄντα ἁπλῶς πάν
τα ἀΐδια. τὰ δ' ἀΐδια. ἀγέννητα ⊂ ἄφθαρτα ἔτι δίδακτὴ ἅπα
σα ἡ ἐπιστήμη δοκεῖ εἶναι. ⊂ τὸ ἐπιστητὸν μαθητὸν. ἐκ προγινω
σκομένων δὲ πᾶσα διδασκαλία ὡς περ καὶ ἐν τοῖς ἀναλυτικοῖς
ἐλέγομεν. ἡ μὲν γὰρ δι' ἐπαγωγῆς. ἡ δὲ, συλλογισμῷ. ἡ μὲν δὴ ἐπα
γωγὴ, ἀρχή ἐστι ϛ τοῦ καθόλου. ὁ δὲ συλλογισμὸς ἐκ τῶν καθόλου.
εἰσὶν ἄρα ἀρχαὶ ἐξ ὧν συλλογισμὸς ὤν, οὐκ ἔσται συλλογισμός.
ἐπαγωγὴ ἄρα. ἡ μὲν ἄρα ἐπιστήμη ἐστὶν, ἕξις ἀποδεικτικὴ. καὶ
ὅσα ἄλλα προσδιορίζομεθα ἐν τοῖς ἀναλυτικοῖς. ὅταν γάρ πως
πιστεύῃ ⊂ γνώριμοι αὐτῶν ὦσιν αἱ ἀρχαὶ, ἐπίσταται. εἰ γὰρ μὴ μᾶλ
λον τοῦ συμπεράσματος, κατὰ συμβεβηκὸς ἕξει τὴν ἐπιστήμην

περὶ μὲν οὖν ἐπιστήμης διωρίσθω τὸν τρόπον τοῦτον· τοῦ δὲ δεχομένου ἄλλως ἔχειν ἐστί τε καὶ τριητὸν καὶ πρακτόν, ἕτερον δ' ἐστὶ ποίησις καὶ πρᾶξις· πιστεύομεν δὲ περὶ αὐτῶν καὶ τοῖς ἐξωτερικοῖς λόγοις· ὥστε καὶ ἡ μετὰ λόγου ἕξις πρακτικὴ, ἕτερόν ἐστι τῆς μετὰ λόγου τριητικῆς ἕξεως· διὸ οὐδὲ περὶ ἔχεται ὑπ' ἄλλήλων, ὅτε ἡ πρᾶξις ποίησις, οὔτε ἡ ποίησις πρᾶξίς ἐστιν· ἐπεὶ δὴ οἰκονομικὴ τέχνη τίς ἐστι· καὶ ὥσπερ ἕξις τις μετὰ λόγου ποιητικὴ, καὶ οὐδὲ μία οὔτε τέχνη ἐστὶν, ἥτις οὐ μετὰ λόγου ποιητικὴ ἕξις ἐστὶν· οὔτε τοιαύτη ἡ οὐ τέχνη, τὸ αὐτὸ ἂν εἴη τέχνη καὶ ἕξις μετὰ λόγου ἀληθοῦς ποιητική· ἔστι δὲ τέχνη πᾶσα περὶ γένεσιν· καὶ τὸ τεχνάζειν καὶ θεωρεῖν ὅπως ἂν γένηταί τι τῶν ἐνδεχομένων καὶ εἶναι καὶ μὴ εἶναι καὶ ὧν ἡ ἀρχὴ ἐν τῷ ποιοῦντι ἀλλὰ μὴ ἐν τῷ ποιουμένῳ· ὅτε δὲ τῶν ἐξ ἀνάγκης ὄντων ἢ γινομένων ἡ τέχνη ἐστὶν ὅτε τῶν κατὰ φύσιν· ἐν αὐτοῖς γὰρ ἔχουσι ταῦτα ἀρχήν· ἐπεὶ δὲ τρίησις καὶ πρᾶξις ἕτερον, ἀνάγκη τὴν τέχνην ποιήσεως ἀλλ' οὐ πράξεως εἶναι· καὶ τρόπον τινὰ περὶ ταῦτ' ἐστὶν ἡ τύχη· καθάπερ καὶ ἀγάθων φησὶ· τέχνη τύχην ἔστερξε καὶ τύχη τέχνην· ἡ μὲν οὖν τέχνη, ὥσπερ εἴρηται ἕξις τις μετὰ λόγου ἀληθοῦς ποιητική ἐστιν· ἡ δὲ τεχνία, τοὐναντίον μετὰ λόγου ψευδοῦς ποιητική ἐστιν ἕξις, περὶ τὸ ἐνδεχόμενον ἄλλως ἔχειν· περὶ δὲ φρονήσεως οὕτως ἂν λάβωμεν θεωρήσαντες, τίνας λέγομεν τοὺς φρονίμους· δοκεῖ δὴ φρονίμου εἶναι, τὸ δύνασθαι καλῶς βουλεύσασθαι περὶ τὰ αὐτῷ ἀγαθὰ καὶ συμφέροντα οὐκ ἀπὸ μέρος, οἷον οὐ πρὸς ὑγίειαν ἢ ἰσχὺν· ἀλλὰ ποῖα πρὸς τὸ εὖ ζῆν· σημεῖον δ' ὅτι καὶ τοὺς περί τι φρονίμους λέγομεν, ὅταν πρὸς τὸ τέλος τι σπουδαῖον εὐλογίσωνται ὧν μή ἐστι τέχνη· ὥστε καὶ ὅλως ἂν φρόνιμος εἴη ὁ βουλευτικός· βουλεύεται δ' οὐδεὶς περὶ τῶν ἀδυνάτων ἄλλως ἔχειν· οὐδὲ τῶν μὴ ἐνδεχομένων αὐτῷ πρᾶξαι· ὥστε εἴπερ ἐπιστήμη μὲν μετὰ προδείξεως

ὧν δ' αἱ

ὧν δαὶ ἀρχαὶ ἐνδέχονται ἄλλως ἔχειν, τούτων μή ἐστιν ἀ-
πόδειξις· πάντα γὰρ ἐνδέχεται καὶ ἄλλως ἔχειν· καὶ οὗ ἐστι
βουλεύσασθαι περὶ τῶν ἐξ ἀνάγκης ὄντων, οὐκ ἂν εἴη ἡ φρόνη-
σις ἐπιστήμη οὔτε τέχνη· ἐπιστήμη μὲν, ὅτι ἐνδέχεται τὸ πρακ-
τὸν ἄλλως ἔχειν· τέχνη δὲ ὅτι ἄλλο τὸ γένος πράξεως καὶ ποιή-
σεως· λείπεται δ' ἄρ' αὐτὴν εἶναι ἕξιν ἀληθῆ μετὰ λόγου πρα-
κτικὴν περὶ τὰ ἀνῷ ἀγαθὰ καὶ κακά· τῆς μὲν γὰρ ποιήσεως ἕ-
τερον τὸ τέλος· τῆς δὲ πράξεως οὐκ ἂν εἴη· ἔστι γὰρ αὐτὴ ἡ εὖ πρα-
ξία τέλος· διὰ τοῦτο περικλέα καὶ τοὺς φρόνους οἱ ὁμεθα-
φρονίμους εἶναι ὅτι τὰ αὑτοῖς ἀγαθὰ καὶ τὰ φῖς ἀνοῖς δύναται
θεωρεῖν· εἶναι δὲ φρόνους ἡγούμεθα τοὺς οἰκονομικοὺς καὶ πολι-
τικούς· ἔνθεν καὶ τὴν σωφροσύνην τούτῳ προσαγορεύομεν τῷ ὀ-
νόματι σώζουσαν τὴν φρόνησιν· σώζει δὲ τὴν φιαύτην ὑπολη-
ψιν οὐ διαφθείρει, οὐδὲ διαστρέφει τὸ ἡδὺ καὶ λυπηρόν· οἷον ὅτι τὸ
τρίγωνον δυοὀρθὰς ἴσας ἔχει ἢ οὐκ ἔχει· ἀλλὰ τὰς περὶ τὸ πρα-
κτόν· αἱ μὲν καὶ ἀρχαὶ τῶν πρακτῶν· τὸ οὗ ἕνεκα τὰ πρακτά· τῷ δὲ διε-
φθαρμένῳ δι' ἡδονὴν ἢ λύπην, εὐθὺς οὐφανεῖται ἀρχὴ· οὐδὲ δεῖ
τούτου ἕνεκα, οὐδὲ διὰ τοῦτο αἱρεῖσθαι πάντα καὶ πράττειν· ἔστι
καὶ ἡ κακία φθαρτικὴ ἀρχῆς· ὡς τὰ ἀνάγκη τὴν φρόνησιν ἕξιν εἶ-
ναι μετὰ λόγου ἀληθῆ περὶ τὰ ἀνθρώπινα ἀγαθὰ πρακτικήν·
ἀλλὰ μὴν τέχνης μέν ἐστιν ἀρετή· φρονήσεως δ' οὐκ ἔστι· καὶ ἐν μὲν
τέχνῃ ὁ ἑκὼν ἁμαρτάνων αἱρετώτερος· περὶ δὲ φρόνησιν ἧττον·
ὥσπερ καὶ περὶ τὰς ἀρετάς· δῆλον οὖν ὅτι ἀρετήτις ἐστὶ καὶ
οὐ τέχνη· δυοῖν δὲ τοῖν μεροῖν τῆς ψυχῆς τὸν λόγον ἐχόντων,
θατέρου ἂν εἴη ἀρετὴ τοῦ δικαστικοῦ· ἥτε γὰρ δόξα περὶ τὸ ἐνδεχό-
μενον ἄλλως ἔχειν ἐστὶ καὶ ἡ φρόνησις· ἀλλὰ μὴν οὐδ' ἕξις μετὰ
λόγου μόνον· σημεῖον δ' ὅτι λήθη μὲν τῆς φιαύτης ἕξεως ἐστὶ φρο-
νήσεως δ' οὐκ ἔστιν· ἐπεὶ δ' ἡ ἐπιστήμη περὶ τῶν καθόλου ἐστὶν ὑπόληψις
καὶ τῶν ἐξ ἀνάγκης ὄντων; εἰσὶ δαὶ ἀρχαὶ τῶν ἀποδεικτῶν καὶ πάσης

ἐπιστήμης. μετὰ λόγου δὴ ἡ ἐπιστήμη τῆς ἀρχῆς τοῦ ἐπιστητοῦ. οὐ τἄρα ἐπιστήμη εἴη οὔτε τέχνη ὅτι φρόνησις. τὸ μὲν γὰρ ἐπιστητὸν ἀποδεικτόν. οὐδὲ τυγχάνουσιν οὖσαι περὶ τὰ ἐνδεχόμενα ἄλλως ἔχειν. οὐδ' ἡ σοφία τούτων ἐστίν. τοῦ γὰρ σοφοῦ περὶ ἐνίων ἔχειν ἀπόδειξίν ἐστιν. εἰδὴ οἷς ἀληθεύομεν καὶ μὴ δι' ἃ ψευδόμεθα ποτὲ περὶ τὸ ἐνδεχόμενον ἢ καὶ μὴ ἐνδεχόμενον ἄλλως ἔχειν, ἐπιστήμη καὶ φρόνησίς ἐστι καὶ σοφία καὶ νοῦς. τούτων δὲ τριῶν μηδὲν ἐνδέχεται εἶναι. λέγω δὲ τρία. φρόνησιν ἐπιστήμην σοφίαν. λείπεται νοῦν εἶναι τῶν ἀρχῶν. τὴν δὲ σοφίαν. ἐντιμοτέραις τέχναις τοῖς ἀκριβεστάτοις τὰς τέχνας ἀποδίδομεν. οἷον Φειδίαν λιθουργὸν σοφὸν. καὶ πολύκλειτον ἀνδριαντοποιὸν σοφόν. ὡνταῦθα μὲν οὐθὲν ἄλλο σημαίνοντες τὴν σοφίαν ἢ ὅτι ἀρετὴ τέχνης ἐστίν. εἶναι δέ τινας σοφοὺς οἰόμεθα ὅλως, οὐκατὰ μέρος οὐδ' ἁπλῶς σοφὸν ὡς ὁ μῦθος ἀνθρωπον μαργείτην. τὸν δ' οὐ τἄρα καὶ πρὸ ἀρχῆς τιθέναι ὅτι τἄρα τοῦτο. ὅτι τἄλλως τι σοφόν. ὥστε δῆλον ὅτι ἀκριβεστάτη τῶν ἐπιστημῶν εἴη ἡ σοφία. δεῖ ἄρα τὸν σοφὸν μὴ μόνον τὰ ἐκ τῶν ἀρχῶν εἰδέναι. ἀλλὰ καὶ περὶ τὰς ἀρχὰς ἀληθεύειν. ὥστε εἴη ἂν ἡ σοφία νοῦς καὶ ἐπιστήμη ὥσπερ κεφαλὴν ἔχουσα ἐπιστημῶν τιμιωτάτων. ἄτοπον γὰρ εἰ τὴν πολιτικὴν ἐπιστήμην ἢ τὴν φρόνησιν πασῶν δεινοτάτην τιθέασιν εἶναι, εἰ μὴ τὸ ἄριστον τῶν ἐν τῷ κόσμῳ ἀνθρώπους ἐστίν. εἰδὴ ὑγιεινὸν μὲν καὶ ἀγαθὸν ἕτερον ἀνθρώποις καὶ ἰχθύσι. τὸ δὲ λευκὸν καὶ εὐθὺ τὸ αὐτὸ ἀεί. καὶ τὸ σοφὸν πᾶν τὸ αὐτὸ ἀεὶ ποιεῖν. φρόνιμον δὲ ἕτερον. τὸ γὰρ περὶ αὐτὸ ἕκαστα δυνάμενον θεωρεῖν φήσει εἶναι φρόνιμον. ἡ γὰρ ἐπιστήμη καὶ τὰ ὠφέλιμα τὰ αὐτοῖς ἐργάσεται σοφίαν πολλαὶ

ἔσονται

ἐστὶν αὐτὴ σοφία· οὐ γὰρ μία ἐστὶ τὸ ἀπάντων ἀποθεῖον τῶν ζώων·
ἀλλ' ἕτερα περὶ ἕκαστον· εἰ μὴ καὶ ἰατρικὴ μία περὶ πάντως
τῶν ὄντων· εἰ δ' ὅτι βέλτιστον ἀνθρώπος τῶν ἄλλων ζώων, ὄδεν
διαφέρει· καὶ γὰρ ἄλλα πολὺ θειότερα τῇ φύσει· οἷον τὰ
φανερώτατα τούτων ἐξῶν ὁ κόσμος συνέστηκεν· ἐκ δὲ τῶν εἰρημέ-
νων δῆλον, ὅτι ἡ σοφία ἐστὶ καὶ ἐπιστήμη καὶ νοῦς τῶν τιμιω-
τάτων τῇ φύσει· διὸ καὶ ἀναξαγόρας καὶ θαλῆν καὶ τοὺς τοι
οὑτους σοφοὺς μὲν· φρονίμους δ' οὐφασιν εἶναι, ὅταν ἴδωσιν
ἀγνοοῦντας τὰ συμφέροντα ἑαυτοῖς· καὶ περὶ πάμεν καὶ
θαυμαστὰ καὶ χαλεπὰ καὶ δαιμόνια εἶναι αὐτούς φασιν· ἀ-
χρηστα δ' ὅτι ὐ τοῦ ἀνθρώπινα ἀγαθὰ ζητοῦσιν· ἡ φρόνησις περὶ
τὰ ἀνθρώπινα ἐστὶ περὶ ὧν βουλεύσασθαι· τοῦ γὰρ φρονίμου μά
λιστα τοῦτο ἔργον εἶναι φαμέν, τὸ εὖ βουλεύσασθαι· βουλεύεται
δὲ οὐδεὶς περὶ τῶν ἀδυνάτων ἄλλως ἔχειν· οὐδ' ὅσων μὴ τέλος τι
ὄντι· καὶ τοῦτο πρακτὸν ἀγαθόν· ὁδ' ἁπλῶς μὲν βουλος τοῦ ἀ
ρίστου ἀνθρώπῳ τῶν πρακτῶν στοχαστικὸς κατὰ τὸν λογισμόν·
οὐδ' ἔστιν ἡ φρόνησις τῶν καθόλου μόνον, ἀλλὰ δεῖ καὶ τὰ
καθ' ἕκαστα γνωρίζειν· πρακτικὴ γὰρ· ἡδὲ πρᾶξις περὶ τὰ κα-
θ' ἕκαστα· διὸ καὶ ἐνίοις οὐκ εἰδόσι ἑτέρων εἰδότων πρακτικω-
τέροι· καὶ ἐν τοῖς ἄλλοις οἱ ἔμπειροι· εἰ γὰρ εἰδείη ὅτι τὰ κου-
φα δύσπεπτα καὶ ὑγιεινά, ὁποῖα δὲ κοῦφα ἀγνοεῖ· οὐ
ποιήσει ὑγίειαν· ἀλλ' εἰδὼς ὅτι τὸ ὀρνίθεια κοῦφα καὶ ὑγιει-
νὰ ποιήσει μᾶλλον· ἡδὲ φρόνησις πρακτική· ὥστε δεῖ ἄμφω
ἔχειν ἢ τούτου μᾶλλον· εἰ δ' αὖτις καὶ ἐν ταῦθα ἀρχιτεκτονι-
κή· ὄστε δ' ἡ πολιτικὴ καὶ ἡ φρόνησις ἡ αὐτὴ μὲν ἕξις· τὸ μὲν τί
εἶναι ὄντων αὐτῶν· τῆς δὲ πόλεως ἡ μὲν ὡς ἀρχιτεκτονικὴ
φρόνησις νομοθετική· ἡ δὲ ὡς τὰ καθ' ἕκαστα κοινὸν ἔχει ὄνομα
πολιτική· αὕτη δὲ πρακτική βουλευτική· τὸ γὰρ ψήφισμα πρα-
κτόν· ὡς τοῦτο ἔσχατον· διὸ τοὺς πολιτεύεσθαι τούτους μόνους λέγουσι·

μόνοι γὰρ πράττουσιν οὗτοι ὥσπερ οἱ χειροτέχναι. δοκεῖ δὲ
καὶ φρόνησις μάλιστ' εἶναι ἡ περὶ αὐτὸν ὁ ἕνα. καὶ ἔχει αὐτὴ
τὸ κοινὸν ὄνομα φρόνησις. ἐκείνων δ' ἡ μὲν οἰκονομία. ἡ δὲ νο-
μοθεσία. ἡ δὲ πολιτική. καὶ ταύτης ἡ μὲν βουλευτική, ἡ δὲ στοχα-
στική. εἶδος μὲν οὖν τι ἂν εἰη γνώσεως τὰ αὐτοῦ εἰδέναι. ἀλλ'
ἔχει διαφορὰν πολλήν. καὶ δοκεῖ ὁ τὰ περὶ αὐτὸν εἰδὼς καὶ
διατρίβων φρόνιμος εἶναι. οἱ δὲ πολιτικοὶ πολυπράγμονες.
διὸ εὐριπίδης Γῶσ δ' ἂν φρονοίην ᾧ παρῆν ἀπραγμόνως. Ἐν-
τοῖσι πολλοῖς ἠριθμημένῳ στρατοῦ Ἴσον μεταχεῖν. τοὺς γὰρ
περισσοὺς καί τι πράττοντας πλέον. ζητοῦσι γὰρ τὸ αὐτοῖς
ἀγαθὸν. καὶ οἴονται τοῦτο δεῖν πράττειν. ἐκ ταύτης οὖν τῆς
δόξης ἐλήλυθε, τὸ τούτους εἶναι φρονίμους. καὶ τοι ἴσως οὐκ
ἔστι τὸ αὐτοῦ εὖ ἄνευ οἰκονομίας οὐδ' ἄνευ πολιτείας. ἔτι δὲ
τὰ αὐτοῦ πῶς δεῖ διοικεῖν ἄδηλον καὶ σκεπτέον. σημεῖον
δ' ἔστι τοῦ εἰρημένου. καὶ διατί γεωμετρικοὶ μὲν νέοι καὶ
μαθηματικοὶ γίνονται καὶ σοφοὶ τὰ τοιαῦτα. φρόνιμος
δ' οὐδοκεῖ γίνεσθαι. αἴτιον δ' ὅτι καὶ τῶν καθ' ἕκαστά ἐστιν ἡ φρόνη-
σις. ἃ γίνεται γνώριμα ἐξ ἐμπειρίας. νέος δ' ἔμπειρος οὐκ ἔστι.
πλῆθος γὰρ χρόνου ποιεῖ τὴν ἐμπειρίαν. ἐπεὶ καὶ τοῦ τάντις
σκέψαιτο. διατί μαθηματικὸς μὲν παῖς γένοι τάν. σοφὸς
δ' ἡ φυσικὸς οὔ. ἢ ὅτι τὰ μὲν δι' ἀφαιρέσεώς ἐστι. τῶν δ' αἱ ἀρ-
χαὶ ἐξ ἐμπειρίας. καὶ τὰ μὲν οὐ πιστεύουσιν οἱ νέοι. ἀλλὰ λέγουσι.
τῶν δὲ, τὸ τί ἐστιν ἄδηλον. ἔτι ἡ ἁμαρτία ἢ περὶ τὸ καθόλου ἐν-
τῷ βουλεύεσθαι, ἢ περὶ τὸ καθ' ἕκαστον. ἢ γὰρ ὅτι πάντα τὰ βα-
ρύσταθμα φαῦλα, ἢ ὅτι τοδὶ τὸ βαρύσταθμον. ὅτι δ' ἡ φρό-
νησις οὐκ ἐπιστήμη, φανερόν. τοῦ γὰρ ἐσχάτου ἐστὶν ὥσπερ εἴρηται.
τὸ γὰρ πρακτὸν τοιοῦτον. αὐτιληπτικοὶ μὲν δὴ τῷ νῷ. ὁ μὲν
γὰρ νοῦς τῶν ὅρων ὧν οὐκ ἔστι λόγος. ἡ δὲ τοῦ ἐσχάτου οὐκ ἔστιν ἐπι-
στήμη ἀλλ' αἴσθησις οὐχ ἡ τῶν ἰδίων. ἀλλ' οἷα, ἢ αἰσθανόμεθα ὅτι
τὸ ἐν τοῖς μαθηματικοῖς ἔσχατον τρίγωνον. στήσεται γὰρ κἀκεῖ.

ἀλλ' αὐτὴ

ἀλλ' αὕτη μᾶλλον αἴσθησις ἡ φρόνησις· ἐκείνης δὲ ἄλλο εἶδος·
τὸ ζητεῖν δὲ καὶ τὸ βουλεύεσθαι διαφέρει· τὸ γὰρ βουλεύεσθαι ζη-
τεῖν τι ἐστί· δεῖ δὲ διαλαβεῖν καὶ περὶ εὐβουλίας τί ἐστι· πότε-
ρον ἐπιστήμη τις ἢ δόξα ἢ εὐστοχία ἢ ἄλλο τι γένος· ἐπιστήμη μὲν δὴ
οὐκ ἔστιν· οὐ γὰρ ζητοῦσι περὶ ὧν ἴσασιν· ἡ δ' εὐβουλία βουλή-
τις· ὁ δὲ βουλευόμενος ζητεῖ καὶ λογίζεται· ἀλλὰ μὴν οὐδ' εὐ-
στοχία· ἄνευ τε λόγου καὶ ταχυτῆτος ἡ εὐστοχία· βουλεύονται δὲ
πολὺν χρόνον· καὶ φασὶ πρᾶττειν μὲν δεῖν ταχὺ τὰ δόξαντα βουλεύεσθαι
ἢ βραδέως· ἔτι οὐδὲ ἀσχίνοια· οὐδὲ δὴ δόξα ἡ εὐβουλία οὐδὲ μία·
ἀλλ' ἐπεὶ ὁ μὲν κακῶς βουλευόμενος ἁμαρτάνει, ὁ δὲ εὖ ὀρθῶς
βουλεύεται, δηλονότι ὀρθότης τις ἡ εὐβουλία ἐστίν· οὔτε ἐπιστήμη
δόξης ἐπιστήμη μὲν γὰρ οὐκ ἔστιν ὀρθότης οὐδὲ γὰρ ἁμαρτία· δόξης
ὀρθότης ἀλήθεια· ἅμα δὲ καὶ διώρισται ἤδη πᾶν ὃ δόξα ἐστίν·
ἀλλὰ μὴν οὐδ' ἄνευ λόγου ἡ εὐβουλία· διανοίας ἄρα λείπεται·
αὔξησις γὰρ οὕτω φάσις· καὶ γὰρ ἡ δόξα οὐ ζήτησις· ἀλλὰ φάσις
τις ἤδη· ὁ δὲ βουλευόμενος ἐάν τε καὶ κακῶς βουλεύεται ζητεῖ τι
καὶ λογίζεται ἀλλ' ὀρθότης τίς ἐστιν ἡ εὐβουλία βουλῆς· διὸ ἡ
βουλὴ ζητητέα πρῶτον τί καὶ περὶ τί· ἐπεὶ δὴ ὀρθότης πλεο-
ναχῶς δηλονότι οὐ πᾶσα· καὶ γὰρ ὁ ἀκρατὴς καὶ ὁ φαῦλος, ὃ προ-
τίθεται· ἰδεῖν ἐκ τοῦ λογισμοῦ τεύξεται· ὥστε ὀρθῶς ἔσται βε-
βουλευμένος· κακὸν δὲ μέγα εἰληφώς· δοκεῖ δὲ ἀγαθόν τι τὸ
εὖ βεβουλεῦσθαι· ἡ γὰρ τοιαύτη ὀρθότης, βουλῆς εὐβουλία ἡ ἀγα-
θοῦ τευκτική· ἀλλ' ἔστι καὶ τοῦτο ψευδεῖ συλλογισμῷ τυχεῖν· καὶ
ὁ μὲν δεῖ ποιῆσαι τυχεῖν· ὁ δὲ οὔ· ἀλλὰ ψευδῆ τὸν μέσον ὅρον εἶ-
ναι· ὥστε οὐδ' αὐτήπως εὐβουλία· καθ' ἣν οὐδεῖ μὲν, τυγχάνει·
οὐ μέντοι διὸ ἔδει τί ἐστι πολὺν χρόνον βουλευόμενον τυχεῖν· ἔστι
δὲ πολὺν χρόνον βουλευόμενον τυχεῖν· τὸν δὲ ταχύ· οὐκοῦν οὐδ' ἐκεί-
νη πω εὐβουλία· ἀλλ' ὀρθότης ἡ κατὰ τὸ ὠφέλιμον· καὶ οὐδὲ καὶ
καὶ ὅτε ὃ ἔτι ἐστὶ καὶ ἁπλῶς ἡ πρὸς τὸ τέλος τὸ ἁπλῶς κατορ-
θοῦσα· ἥτις δὲ ἡ πρός τι τέλος· εἰ δὴ τῶν φρονίμων τὸ εὖ βεβου-

λεῦσθαι, ἡ εὐβουλία εἴη ἂν ὀρθότης κατὰ τὸ συμφέρον πρὸς τὸ
τέλος· οὗ ἡ φρόνησις ἀληθὴς ὑπόληψις· ἔστι δὲ καὶ ἡ σύνεσις
καὶ ἡ ἀσυνεσία καθ' ἃς λέγομεν συνετοὺς καὶ ἀσυνέτους.
οὔτε ὅλως τὸ αὐτὸ πιστήμη ἢ δόξη, πάντες γὰρ ἦσαν συνετοὶ,
οὔτε τις μία τῶν κατὰ μέρος ἐπιστημῶν· οἷον ἢ ἰατρικὴ περὶ
ὑγιεινῶν· ἢ γεωμετρία περὶ μεγέθη· οὔτε γὰρ περὶ τῶν ἀεὶ ὄντων
καὶ ἀκινήτων ἡ σύνεσίς ἐστιν, οὔτε περὶ τῶν γινομένων ὁτουοῦν·
ἀλλὰ περὶ ὧν ἀπορήσειεν ἄν τις καὶ βουλεύσαιτο· διὸ περὶ τὰ
αὐτὰ μὲν τῇ φρονήσει ἐστίν, οὐκ ἔστι δὲ τὸ αὐτὸ σύνεσις καὶ φρό-
νησις· ἡ μὲν γὰρ φρόνησις ἐπιτακτική ἐστι· τί γὰρ δεῖ πράττειν
ἢ μὴ, τὸ τέλος αὐτῆς ἐστιν· ἡ δὲ σύνεσις κριτικὴ μόνον· ταυτὸν δὲ
ξύνεσις καὶ εὐξυνεσία· καὶ γὰρ οἱ ξυνετοὶ καὶ εὐξύνετοι· ἔστι δ' οὔτε
τὸ ἔχειν τὴν φρόνησιν οὔτε τὸ λαμβάνειν ἡ ξύνεσις· ἀλλ' ὥσπερ
καὶ μανθάνειν λέγεται ξυνιέναι, ὅταν χρῆται τῇ πιστήμῃ, οὕτως
ἐν τῷ χρῆσθαι τῇ δόξῃ πρὸς τὸ κρίνειν περὶ τούτων, περὶ ὧν ἡ φρό-
νησίς ἐστιν ἄλλου λέγοντος, καὶ κρίνειν καλῶς· τὸ γὰρ εὖ τῷ
καλῶς, τὸ αὐτό· καὶ ἐντεῦθεν ἐλήλυθε τὸ ὄνομα ἡ σύνεσις·
καθ' ἣν εὐσύνετοι ἐκ τῆς ἐν τῷ μανθάνειν· λέγομεν γὰρ τὸ μαν-
θάνειν συνιέναι πολλάκις· οἱ δὲ καλούμενοι εὐγνώμονες οὓς
ἔχειν φαμὲν γνώμην, ἡ τοι πιστικοῦς ἐστι κρίσις ὀρθή· σημεῖον δέ·
τὸν γὰρ πιστικῆ μάλιστα φαμὲν εἶναι συγγνωμονικόν· καὶ ἐπιει-
κὲς τὸ ἔχειν περὶ ἐνία συγγνώμην· ἡ δὲ συγγνώμη· γνώμη ἐστὶ τοῦ
πιστικοῦς ὀρθή· ὀρθὴ δὴ τοῦ ἀληθοῦς· εἰσὶ δὲ πᾶσαι αἱ ἕξεις εὐλό-
γως εἰς ταυτὸ τείνουσαι· λέγομεν γὰρ γνώμην καὶ σύνεσιν καὶ
φρόνησιν καὶ νοῦν πρὸς τοὺς αὐτοὺς ἐπιφέροντες γνώμην ἔχειν
καὶ νοῦν, ἡ δὴ καὶ φρονίμους καὶ συνετούς· πᾶσαι γὰρ αἱ δυνάμεις
αὗται τῶν ἐσχάτων εἰσὶ καὶ τῶν καθ' ἕκαστα καὶ ἐν μὲν τῷ κριτι-
κὸς εἶναι περὶ ὧν ὁ φρόνιμος, συνετός ἐστι καὶ εὐγνώμων· τὰ γὰρ
ἐπιεικῆ κοινὰ τῶν ἀγαθῶν ἁπάντων ἐστὶν ἐν τῷ πρὸς ἄλλους·
ἔστι δὲ τῶν καθ' ἕκαστα καὶ τῶν ἐσχάτων πάντα τὰ πρακτά· καὶ δὲ

τὸν

τὸν φρόνιμον δεῖ γινώσκειν αὐτά· καὶ ἡ σύνεσις καὶ ἡ γνώμη
περὶ τὰ πρακτά· ταῦτα δ' ἔσχατα ϛ ὁ νοῦς τῶν ἐσχάτων ἐπάμ
φότερα· καὶ γὰρ τῶν πρώτων ὅρων καὶ τῶν ἐσχάτων, νοῦς ἐστι ϛ οὐ
λόγος· καὶ ὁ μὲν κατὰ τὰς ἀποδείξεις τῶν ἀκινήτων ὅρων καὶ
τῶν πρώτων· ὁ δ' ἐν ταῖς πρακταῖς τοῦ ἐσχάτου καὶ ἐνδεχομένου
καὶ τῆς ἑτέρας προτάσεως· ἀρχαὶ γὰρ τοῦ ἕνεκα αὗται· ἐκ τῶν
καθ' ἕκαστα γὰρ τὰ καθόλου· τούτων οὖν δεῖ ἔχειν αἴσθησιν· αὕ-
τη δ' ἐστὶν οὖς· διὸ καὶ φυσικὰ δοκεῖ εἶναι ταῦτα· καὶ φύσει σο-
φὸς μὲν οὐδεὶς γνώμην δ' ἔχει καὶ σύνεσιν καὶ νοῦν· σημεῖον δ'
ὅτι καὶ ταῖς ἡλικίαις οἰόμεθα ἀκολουθεῖν· καὶ ἡ ἡλικία δὲ νοῦν
ἔχει καὶ γνώμην ὡς τῆς φύσεως αἰτίας οὔσης· διὸ ϛ ἀρχὴ καὶ
τέλος, νοῦς· ἐκ τούτων καὶ αἱ ἀποδείξεις ϛ περὶ τούτων· ὥστε
δεῖ προσέχειν τῶν ἐμπείρων καὶ πρεσβυτέρων ἢ φρονίμων ταῖς
ἀναποδείκτοις φάσεσι καὶ δόξαις, οὐχ ἧττον τῶν ἀποδείξεως·
διὰ γὰρ τὸ ἔχειν ἐκ τῆς ἐμπειρίας ὄμμα, ὁρῶσιν ἀρχάς· τί μὲν
οὖν ἐστιν ἡ φρόνησις ϛ ἡ σοφία, καὶ περὶ τί ἑκατέρα τυγχάνει
οὖσα, καὶ ὅτι ἄλλου τῆς ψυχῆς μορίου ἀρετὴ ἑκατέρου ἑκατέρα,
εἴρηται· διαπορήσειε δ' ἄντις περὶ αὐτῶν τί χρήσιμοί εἰσιν· ἡ
μὲν γὰρ σοφία οὐθὲν θεωρήσει ὀξ ὧν ἔσται εὐδαίμων ἄνθρωπος·
οὐδὲ μιᾶς γὰρ ἐστιγενέσεως· ἡ δὲ φρόνησις τοῦτο μὲν ἔχει· ἀλλὰ
τίνος ἕνεκα δεῖ αὐτῆς· εἴπερ ἡ μὲν φρόνησίς ἐστιν ἡ περὶ τὰ δί-
καια καὶ καλὰ καὶ ἀγαθὰ ἀνθρώπῳ· ταῦτα δ' ἐστὶν ἃ τοῦ ἀγαθοῦ
ἐστιν ἀνδρὸς πράττειν· οὐδὲν δὲ πρακτικώτεροι τῷ αὐτὰ εἰδέ-
ναι ἐσμέν· εἴπερ ἕξεις αἱ ἀρεταί εἰσιν· ὥσπερ οὐδὲ τὰ ὑγιεινὰ οὐ δὲ
τὰ εὐεκτικὰ ὅσα μὴ τῷ ποιεῖν, ἀλλὰ τῷ ἀπὸ τῆς ἕξεως εἶναι
λέγεται· οὐθὲν γὰρ πρακτικώτεροι τῷ ἔχειν τὴν ἰατρικὴν καὶ
γυμναστικὴν ἐσμέν· εἰ δὲ μὴ τούτων χάριν φρόνιμον ῥητέον,
ἀλλὰ τῷ γίνεσθαι, τοῖς οὖσι σπουδαίοις· ἔτι δ' οὐδὲ τοῖς μὴ ἔχου
σιν· οὐδὲν γὰρ διοίσει αὐτοῖς ἔχειν ἢ ἄλλοις ἔχουσι πείθεσθαι· ἱκα
νῶς τ' ἔχοιεν ἂν ἡμῖν ὥσπερ καὶ περὶ τὴν ὑγίειαν· βουλόμενοι

γὰρ ὑγιάνῃ ὅμως ὰν βαδίσοιμι ἀπρικλῶ· πρὸς δὲ τούτοις
ἀ τοπον ἂν εἶναι δόξειεν, εἰ χείρων φιλοσοφίας οὖσα, κυριωτέρα
αὐτῆς ἔσται· ἡ γὰρ ποιοῦσα ἄρχει καὶ ἐπιτάττει ἑκάστοις·
περὶ δὲ τούτων λεκτέον· πῶς μὲν γὰρ ἡ πόρνη περὶ αὐτῶν μό-
νον· πρῶτον μὲν ὅν λέγω μὲν ὅτι καθ' αὑτὰς καὶ τὰς αὐλὰς καλῶν
ἀρετὰς εἶναι· ἀρεταὶ γὰρ οὖσαι ἑκατέραν ἑκατέρᾳ μορίου, καὶ
εἰ μὴ ποιοῦσι μηδὲν μηδετέρα αὐτῶν· ἔπειτα ἐπιβάσι μὲν ὀχ
ὡσὶ ἀτρικὴ δὲ ὑγίαν· ἀλλ' ὡς ἡ ὑγίεια, ὅτως ἡ σοφία αὐδαι μο-
νίαν· μέρος γὰρ οὖσα φιλ ὅλης ἀρετῆς, τῷ ἐχαθ ποιεῖ καὶ τῷ
ἐνεργεῖν εὐδαίμονα· ἔστι γὰρ ἔργον ἀπεκλεῖται κατὰ τὴν φρό
νησιν ἐπὶ τὴν ἠθικὴν ἀρετήν· ἡ μὲν γὰρ ἀρετὴ τὸν σκοπὸν ποιεῖ
ὀρθόν· ἡ δὲ φρόνησις τὰ πρὸς τοῦτον· τὸ δὲ τετάρτου μορίου
φιλ ψυχῆς ἑκάστην ἀρετὴν ἰδιαύτην τοι θρεπτικὸν· ἐδὲν γὰρ ἐπ' αὐ-
τῷ πράττειν ἢ μὴ πράττειν· ἀλλὰ φιλ φύσεως δηλονότι· περὶ δὲ
τοῦ μηθὲν εἶναι πρακτικωτέρους δι' ἀτὴν φρόνησιν τῶν κα-
λῶν καὶ δικαίων μικρὸν ἄνωθεν ἀρκτέον λαβόντας ἀρχὴν
ταύτην· ὡς πῶς γὰρ ἢ τὰ δίκαια λέγομεν πράττοντας τοὺς τυραν; οὐ-
χωὶ καίους εἶναι, οἷον τοὺς τὰ ὑπὸ τῶν νόμων τεταγμένα
ποιοῦντας ἢ ἀκοντας ἢ διάνοιαν ἢ δι' ἑτέρου τι, καὶ μὴ δι' αὐτὰ
ταῦτα· καίτοι πράττουσί γε δεῖ ὅσα χρὴ τὸν σπουδαῖον· ὅ-
τως ὡς ἔοικεν ὅστις τὸ ὡς ἔχοντα πράττειν ἐκάστοτε· ὥστ' εἶναι
ἀπαθῆ· λέγω δὲ οἷον διὰ προαίρεσιν, καὶ αὐτῶν ἕνεκα τῶν πρακ-
τῶν· τὸ μὲν οὖν προαίρεσιν ὀρθὴν ποιεῖ ἡ ἀρετή· τὸ δ' ὅσα
ἐκεῖνος ἕνεκα ποιεῖ φύκε πράττεσθαι, οὐκ ὅστι φιλ ἀρετῆς ἀλλ' ἑτέ
ρας δυνάμεως· λεκτέον δ' ἐπισκήσασι σαφέστερον περὶ αὐτῶν·
ὅστι δὴ δύναμις ἣν καλοῦσι δεινότητα· αὕτη δ' ὅστὶ τοιαύτη·
ὥστε τὰ πρὸς τὸν ὑποτεθέντα σκοπὸν συντείνοντα, δύνασθαι
ταῦτα πράττειν καὶ τυγχάνειν αὐτῶν· ἂν μὲν οὖν ὁ σκοπὸς ᾖ κα-
λὸς, ἐπαινετή ὅστιν· ἐὰν δὲ φαῦλος πανουργία· διὸ καὶ τοὺς φρο-
νίμους δεινοὺς καὶ πανούργους φαμὲν εἶναι· ὅστι δὲ ἡ φρόνησις

οὐχὶ

τῆς δεινότητος δύναμις· ἀλλ' οὐκ ἄνευ τῆς δυνάμεως ταύτης·
ἡ δὲ ἕξις τῷ ὄμματι τούτῳ γίνεται τῇ ψυχῆς, οὐκ ἄνευ ἀρε-
τῆς ὡς εἴρηται· καὶ ἔστι δῆλον· οἱ γὰρ συλλογισμοὶ τῶν πρακτῶν
ἀρχὴν ἔχοντές εἰσιν· ἐπεὶ δὴ τοιόνδε τὸ τέλος καὶ τὸ ἄριστον ὅτι
δήποτε ὄν· ἔστω γὰρ λόγου χάριν τὸ τυχόν· τοῦτο δ' εἰ μὴ τῷ ἀγα-
θῷ οὐφαίνεται· διαστρέφει γὰρ ἡμοχθηρία καὶ διαψεύδεσθαι τοιεῖ
περὶ τὰς πρακτικὰς ἀρχὰς, ὡς φανερὸν ὅτι ἀδύνατον φρό-
νιμον εἶναι μὴ ὄντα ἀγαθόν· σκεπτέον δὲ πάλιν καὶ περὶ ἀρε-
τῆς· καὶ γὰρ ἡ ἀρετὴ παραπλησίως ἔχει, ὡς ἡ φρόνησις πρὸς
τὴν δεινότητα· οὐταυτὸ μὲν, ὅμοιον δέ· οὕτω καὶ ἡ φυσικὴ ἀρετὴ
πρὸς τὴν κυρίαν· πᾶσι γὰρ δοκεῖ ἕκαστα τῶν ἠθικῶν ὑπάρχειν
φύσει πως· καὶ γὰρ δίκαιοι καὶ σωφρονικοὶ καὶ ἀνδρεῖοι· καὶ τ' ἄλλα
ἔχομεν εὐθὺς ἐκγενετῆς· ἀλλ' ὅμως ζητοῦμεν ἕτερόν τι τὸ κυρί-
ως ἀγαθὸν εἶναι καὶ τὰ τοιαῦτα ἄλλον τρόπον ὑπάρχειν· καὶ γὰρ
παισὶ καὶ θηρίοις αἱ φυσικαὶ ὑπάρχουσιν ἕξεις· ἀλλ' ἄνευ νοῦ βλα-
βεραὶ φαίνονται οὖσαι· πλὴν τοσοῦτον ἔοικε ὁρᾶσθαι, ὅτι ὥσ-
περ σώματι ἰσχυρῷ ἄνευ ὄψεως κινουμένῳ, συμβαίνει σφάλ-
λεσθαι ἰσχυροῦς διὰ τὸ μὴ ἔχειν ὄψιν, οὕτω καὶ ἐνταῦθα ἐὰν λά-
βη νοῦν ἐν τῷ πράττειν, διαφέρει· ἡ δ' ἕξις ὁμοιαοῦσα τῇ δεινότητι
τότ' ἔσται κυρίως ἀρετή· ὥστε καθάπερ ἐπὶ τοῦ δοξαστικοῦ
δύο ἐστὶν εἴδη, δεινότης καὶ φρόνησις, οὕτω καὶ ἐπὶ τοῦ ἠθικοῦ
δύο ἐστί· τὸ μὲν ἀρετὴ φυσική· τὸ δὲ κυρία· καὶ τούτων ἡ-
κυρία· οὐ γίνεται ἄνευ φρονήσεως· διὸ φασίτινες πάσας τὰς
ἀρετὰς φρονήσεις εἶναι· καὶ σωκράτης τῇ μὲν ὀρθῶς ἐζή-
τει· τῇ δ' ἡμάρτανεν· ὅτι μὲν γὰρ φρονήσεις ᾤετ' εἶναι πάσας
τὰς ἀρετὰς, ἡμάρτανεν· ὅτι δ' οὐκ ἄνευ φρονήσεως καλῶς
ἔλεγε, σημεῖον δέ· καὶ γὰρ νῦν πάντες ὅταν ὁρίζωνται τὴν ἀρε-
τὴν προστιθέασι τὴν ἕξιν· εἰπόντες καὶ πρὸς ἃ ἐστι κατὰ τὸν
ὀρθὸν λόγον· ὀρθὸς δ' ὁ κατὰ τὴν φρόνησιν· ἐοίκασι δὲ μαντεύε-
σθαί πως ἅπαντες, ὅτι ἡ τοιαύτη ἕξις ἀρετή ἐστιν ἡ κατὰ τὴν

φρόνησιν. δεῖ δὲ μικρὸν μεταβῆναι. ἔστι γὰρ οὐ μόνον ἡ κατὰ τὸν ὀρθὸν λόγον, ἀλλ' ἡ μετὰ τοῦ ὀρθοῦ λόγου ἕξις, ἀρετή ἐστιν. ὀρθὸς δὲ λόγος ὡσεὶ τ τοιούτων ἡ φρόνησις ἐστί. σωκράτης μὲν οὖν λόγους τὰς ἀρετὰς ὡετο εἶναι. ἐπιστήμας γὰρ εἶναι πάσας. ἡμεῖς δὲ μετὰ λόγου. δῆλον δ' ἐκ τ εἰρημένων ὅτι δεῖ ὑπάρχειν ἀγαθὸν εἶναι κυρίως αὐτὸν φρονήσεως ἢ φρόνιμον αὐτὸν φύσει τῆς ἠθικῆς ἀρετῆς. αἱ μὲν γὰρ ὁ λόγος τοῦτο λύει τὸν, ὡς, διαλεγόμενος τις αὐτὸν ὅτι χωρίζουσι ἀλλήλων αἱ ἀρεταί. ἔστι δ' οὐ τοῦτο ὃ ποιοῦσιν φύσει πρὸς ἀρετὰς πάσας· ὥστε τ μὲν ἤδη, τὴν δ' ὅπως ἐλθὼν ἔσται. τὸ γὰρ κατὰ μὲν τὰς φυσικὰς ἀρετὰς οὕτως ἐχ. καθ' ἃς γὰρ ἁπλῶς λέγεται ἀγαθὸς, δύναται δέχεσθαι. ἅμα γὰρ τῇ φρονήσει μιᾷ ὑπαρχούσῃ, πᾶσαι ὑπάρξουσι. δῆλον δὲ καὶ ἐκ μὴ πρακτικὴν εἶναι ὅτι ἐδόκει αὐτῆς διὰ τοῦ μόριόν ἀρετὴν εἶναι. ἔστι δ' ὅτι δύναται ἡ προαίρεσις ὀρθὴ αὐτῶν φρονήσεως, δεῖται δ' ἀρετῆς. ἡ μὲν γὰρ τέλος. ἥδε, τὰ πρὸς τὸ τέλος ποιεῖ πράττειν. ἀλλὰ μὴν δὲ κυρίως ἐστὶ φρονήσεως· οὐδὲ τοῦ βελτίονος μείζουσπερ οὐδὲ φύσεως ἡ ἰατρικὴ. οὐχ ἕξει τὰ αὐτῆ. ἀλλ' ὅρα ὅπως χρήσεται ἐκείνῃ ἕνεκα ἐπὶ τούτῳ. ἀλλ' ἔστι ἐκείνη ἐπὶ ὁμοίου καὶ ἐπιστατικὴν φαίη ἄρχειν τῶν ὅτι ἐπὶ τούτῳ πρεπόντα τῷ τῇ πόλει.

ΤΕΛΟΣ ΤΟΥ Ε.

ΑΡΙΣΤΟΤΕΛΟΥΣ ΗΘΙΚΩΝ ΕΥΔΗΜΙΩΝ, ΤΟΥ Ζ'.



ΕΤΑΙ δὲ ταῦτα λεκτέον ἀλλὴν ποιησαμένους ἀρχήν, ὅτι τῶν περὶ τὰ ἤθη φυκτῶν, ξία ἐστὶν εἴδη κακία· ἀκρασία· θηριότης· τὰ δὲ ἐναντία τοῖς μὲν δυσὶ, δῆλα· τὸ μὲν γὰρ ἀρετήν· τὸ δ' ἐγκράτειαν καλῶμεν· πρὸς δὲ τὴν θηριότητα μάλιστα ἂν ἁρμόττοι λέγειν, τὴν ὑπὲρ ἡμᾶς ἀρετὴν ἡρωικήν τινα καὶ θείαν· ὥσπερ Ὅμηρος περὶ Ἕκτορος πεποίηκε λέγοντας τὸν Πρίαμον ὅτι σφόδρα ἦν ἀπαθὴς· ἢ δὲ ἐκ θεῶν ἀνδρὸς γεγενῆσθαι παῖς ἔμμεναι· ἀλλ' ἀθεῖον· ὡς τε καθάπερ φασὶν ἐξ ἀνθρώπων γίνονται θεοὶ διὰ ἀρετῆς ὑπερβολὴν, τοιαύτην τὸν ἂν εἴη δηλονότι· καὶ τῇ θηριώδει ἀντιτιθεμένην ἕξιν· καὶ γὰρ ὡς περ θηρίου οὐδὲ κακία ἐστὶν ἀλλ' ἐστὶν ἀρετή· οὕτως οὐδὲ θεοῦ· ἀλλ' ἐστὶν ἀμείνω τις ἀρετή· ἢ δ' ἕτερόν τι γένος κακίας· ἐπεὶ δὲ σπανίως ἐστὶν ὁ θεῖον ἄνδρα εἶναι καθάπερ οἱ Λάκωνες φασὶν εἰώθασι προσαγορεύειν ὅταν ἄγαν θῶσι σφόδρα τὸν θεῖος ἀνὴρ φασὶν, οὕτω καὶ ὁ θηριώδης ἐν τοῖς ἀνθρώποις σπανίως μάλιστα δ' ἐν τοῖς βαρβάροις ἐστὶν· γίνεται δὲ ἐνίοις καὶ διὰ νόσους καὶ πηρώσεις· καὶ τὸν διὰ κακίαν δὲ τὸν ἀνθρώπων ὑπερβάλλοντας ὅτων ὧν δυσφημοῦμεν· ἀλλὰ περὶ μὲν τῆς διαθέσεως ταύτης ὕστερον ποιητέον τὴν μνείαν· περὶ δὲ κακίας εἰρήσθω πρότερον· περὶ δὲ ἀκρασίας καὶ μαλακίας καὶ τρυφῆς λεκτέον·

καὶ περὶ ἐγκρατείας καὶ καρτερίας· οὔτε γὰρ ὡς περὶ τῶν αὐ-
τῶν ἕξεων τῇ ἀρετῇ καὶ τῇ μοχθηρίᾳ ἑκατέραν αὐτῶν ὑπο-
ληπτέον· οὔτε ὡς ἕτερον γένος· δεῖ δὲ ὥσπερ ἐπὶ τῶν ἄλλων τι-
θέντας τὰ φαινόμενα καὶ πρῶτον διαπορήσαντας, οὕτω δεικνύ-
ναι μάλιστα μὲν πάντα τὰ ἔνδοξα περὶ ταῦτα τὰ πάθη· εἰ
δὲ μὴ, τὰ πλεῖστα καὶ κυριώτατα· ἐὰν γὰρ λύηταί τε τὰ δυ-
σχερῆ καὶ κατα λείπηται τὰ ἔνδοξα, δεδειγμένον ἂν εἴη ἱκανῶς·
δοκεῖ δ' ἡ ἐγκράτεια καὶ ἡ καρτερία, τῶν σπουδαίων καὶ τῶν
ἐπαινετῶν εἶναι· ἡ δὲ ἀκρασία τε καὶ μαλακία τῶν φαύλων
τε καὶ ψεκτῶν· καὶ ὁ αὐτὸς ἐγκρατὴς καὶ ἐμμενητικὸς τῷ
λογισμῷ· καὶ ἀκρατὴς καὶ ἐκστατικὸς τοῦ λογισμοῦ, καὶ ὁ
μὲν ἀκρατὴς εἰδὼς ὅτι φαῦλα διὰ τὸ πάθος πράττοι· ὁ δὲ
ἐγκρατὴς εἰδὼς ὅτι φαύλαις ἐπιθυμίαις οὐκ ἀκολουθεῖ διὰ
τὸν λόγον· καὶ τὸν σώφρονα μὲν, ἐγκρατῆ καὶ καρτερικόν· τὸν δὲ
τοιοῦτον οἱ μὲν, πάντη σώφρονα, οἱ δ' οὔ· καὶ τὸν ἀκόλαστον
ἀκρατῆ· καὶ τὸν ἀκρατῆ ἀκόλαστον συγκεχυμένως· οἱ δ' ἑτέ-
ρους εἶναι φασί· τὸν δὲ φρόνιμον ὁ τὲ μὲν οὔφασιν ἐνδέχεσθαι
εἶναι ἀκρατῆ· ὁ τὲ δ' ἐνίους φρονίμους ὄντας καὶ δεινοὺς, ἀκρα-
τεῖς· ἔτι ἀκρατεῖς λέγονται καὶ θυμοῦ καὶ τιμῆς καὶ κέρ-
δους· τὰ μὲν οὖν λεγόμενα ταῦτά ἐστιν· ἀπορήσειε δ' ἄντις πῶς
ὑπολαμβάνων ὀρθῶς ἀκρατεύεταί τις· ἐπιστάμενον μὲν οὖν
οὔφασί τινες οἷόν τε εἶναι· δεινὸν γὰρ ἐπιστήμης ἐνούσης ὡς ὤετο
σωκράτης ἄλλο τι κρατεῖν καὶ περὶ αὐτὴν
ὥσπερ ἀνδράποδον· σωκράτης μὲν γὰρ ὅλως ἐμάχετο πρὸς
τὸν λόγον ὡς οὐκ οὔσης ἀκρασίας· οὐθένα γὰρ ὑπολαμβάνοντα
πράττειν παρὰ τὸ βέλτιον· ἀλλὰ διάγνοιαν· οὗτος μὲν οὖν ὁ λό-
γος ἀμφισβητεῖ τοῖς φαινομένοις ἐναργῶς· καὶ δέον ζη-
τεῖν περὶ τὸ πάθος εἰ διάγνοιαν τίς τρόπος γίνεται τῆς ἀγνοίας
ὅτι γὰρ οὐκ οἴεταί γε ὁ ἀκρατευόμενος πρὶν ἐν τῷ πάθει γενέσθαι.
φανερόν· εἰσὶ δή τινες οἳ τὰ μὲν συγχωροῦσι· τὰ δ' οὔ· τὸ μὲν γὰρ

ἐπι-

ἐπιστήμης μηθὲν εἶναι κρεῖττον, ὁμολογοῦσι· τὸ δὲ μηδένα πράττειν παρὰ τὸ δόξαν βέλτιον, οὐχ ὁμολογοῦσι· καὶ διὰ τοῦτο τὸν ἀκρατῆ φασὶν οὐκ ἐπιστήμην ἔχοντα κρατεῖσθαι ὑπὸ τῶν ἡδονῶν· ἀλλὰ δόξαν· ἀλλὰ μὴν εἴγε δόξα καὶ μὴ ἐπιστήμη μὴ δὲ ἰσχυρὰ ὑπόληψις ἡ ἀντιτείνουσα ἀλλ' ἠρεμαία καθάπερ ἐν τοῖς διστάζουσι, συγγνώμη τὸ μὴ μένειν ἐν αὐταῖς πρὸς ἐπιθυμίας ἰσχυράς· τῇ δὲ μοχθηρίᾳ οὐ συγγνώμη· οὐ δὲ τῶν ἄλλων οὐδενὶ τῶν· φρονήσεως ἄρα ἀντιτείνουσης· αὕτη γὰρ ἰσχυρώτατον· ἀλλ' ἄτοπον· ἔσται γὰρ ὁ αὐτὸς ἀμαφρόνιμος καὶ ἀκρατής· φήσει ἐδὰν οὐδεὶς φρονίμου εἶναι, τὸ πράττειν ἑκόντα τὰ φαυλότατα· πρὸς δὲ τούτοις δέδεικται πρότερον ὅτι πρακτικός γε ὁ φρόνιμος· τῶν γὰρ ἐσχάτων τις καὶ τὰς ἄλλας ἔχων ἀρετάς· ἔτι εἰ μὲν ἐν τῷ ἐπιθυμίας ἔχειν ἰσχυρὰς καὶ φαύλας ὁ ἐγκρατὴς, οὐκ ἔσται ὁ σώφρων ἐγκρατής· οὐδ' ὁ ἐγκρατὴς σώφρων· οὔτε γὰρ τὸ ἄγαν σώφρονος οὔτε τὸ φαύλως ἔχειν· ἀλλὰ μὴν δεῖγε· εἰ μὲν γὰρ χρησταὶ αἱ ἐπιθυμίαι, φαύλη ἡ κωλύουσα ἕξις μὴ ἀκολουθεῖν· ὥστε ἡ ἐγκράτεια οὐ πᾶσα σπουδαία· εἰ δ' ἀσθενεῖς καὶ μὴ φαῦλαι οὐθὲν σεμνόν· οὐδ' εἰ φαῦλαι καὶ ἀσθενεῖς, οὐδὲν μέγα· ἔτι εἰ πάσης δόξης ἐμμενετικὸν τοιεῖ ἡ ἐγκράτεια, φαύλη· οἷον εἰ καὶ τῇ ψευδεῖ· καὶ εἰ πάσης δόξης ἡ ἀκρασία ἐκστατικὸν, ἔσται τὶς σπουδαία ἀκρασία· οἷον καὶ ὁ σοφοκλέους νεοπτόλεμος ἐν τῷ φιλοκτήτῃ· ἐπαινετὸς γὰρ ὁ οὐκ ἐμμένων οἷς ἐπείσθη ὑπὸ τοῦ ὀδυσσέως διὰ τὸ λυπεῖσθαι ψευδόμενος· ἔτι ὁ σοφιστικὸς λόγος ψευδόμενος ἀπορία· διὰ γὰρ τὸ παράδοξα βούλεσθαι ἐλέγχειν ἵνα δεινοὶ ὦσιν ὅταν ἐπιτύχωσιν, ὁ γινόμενος συλλογισμὸς ἀπορία γίνεται· δέδεται γὰρ ἡ διάνοια ὅταν μένειν μὴ βούληται διὰ τὸ μὴ ἀρέσκειν τὸ συμπεραινθέν· προϊέναι δὲ μὴ δύνηται διὰ τὸ λῦσαι μὴ ἔχειν τὸν λόγον· συμβαίνει δ' ἔκτινος λόγου μετὰ

ἀκρασίας ἀρετή· τοὐναντία γὰρ πράττῃ ὧν ὑπολαμβάνει διὰ τὴν ἀκρασίαν· ὑπολαμβάνῃ δὲ τἀγαθὰ κακὰ εἶναι καὶ δεῖν πράττειν ὥστε τὰ ἀγαθὰ ⸂οὐ⸃ τὰ κακὰ πράξῃ. ἔτι ὁ τῷ πεῖσαι πράττων καὶ μὴ κωλυθεὶς τὰ ἡδέα καὶ προαιρούμενος, βελτίων δόξειε τοῦ μὴ διὰ λογισμὸν ἀλλὰ δι' ἀκρασίαν. δι' αὐτὸ τοῦτο γὰρ διὰ τὸ μετὰ πεισθῆναι αὖ· ὁ δ' ἀκρατὴς οὐδὲν ἔχων τὴν παρομοίαν. φαῦλα μέν, ὅταν τὸ ὕδωρ πίνῃ, τὸ δεῖ ἔτι πίνειν· εἰ μὲν γὰρ μὴ ἐπείθετο ἃ πράττῃ, ἠθείς ἂν ἐπαύσατο· νῦν δὲ πεισθεὶς, οὐδὲν ἧττον ἄλλα πράττῃ εἰ μὴ ταύτα ἀκρασία δή τις καὶ ἐγκράτεια, τίς ὁ ἀφλῶς ἀκρατὴς· οὐδεὶς γὰρ ἀφώσας ἔχει τὰς ἀκρασίας· φαῦλα μὲν δὴ εἶναι τὰ ἀκρασίας· αἱ μὲν οὖν ἀπλαῖ, ταῦτα τοιαῦτα συμβαίνουσι· τῶν δὲ τὸ μὲν ἀναλεῖν δεῖ· τὸ δὲ καταλιπεῖν· ἡ γὰρ λύσις φλαπλῆς οὔσης ὅτι· πρῶτον μὲν οὖν σκεπτέον, πότερον εἰδότες ἢ οὔ· καὶ πῶς εἰδότες· εἶτα περὶ ποῖα τὸν ἀκρατῆ καὶ τὸν ἐγκρατῆ θετέον· λέγω δ' ἢ πότερον περὶ πᾶσαν ἡδονὴν καὶ λύπην, ἢ περὶ τινας ἀφωρισμένας· καὶ τὸν ἐγκρατῆ ⸂καὶ⸃ τὸν καρτερικὸν πότερον ὁ αὐτὸς ἢ ἕτερός ἐστιν, ὁμοίως δὲ καὶ περὶ τῶν ἄλλων ὅσα συμβεβηκὸς φθειρομένης ἐστὶ ταύτης· ἔτι δ' ἐὰν χρὴ φιλοσοφέψεως, πότερον οἱ ἐγκρατεῖς εἰσὶ τῶν περὶ ἃ ἡ τοῦ πῶς ἔχοντος τὴν διαφορὰν λέγοντες ἢ πότερον τῷ περὶ ἃ εἶναι μόνον ἀκρατὴς ἢ οὔ· ἀλλὰ τὸ ὡς ἢ ὅ· ἀλλ' ἐξ ἀμφοῖν· ἐπεὶ τ' εἰσὶ πάντες ἀκρασία καὶ ἐγκράτεια, ἢ οὔ· οὔτε γὰρ περὶ ἅπαν ἐστὶν ὁ ἁφλῶς ἀκρατὴς· ἀλλὰ περὶ ἅπερ ὁ ἀκόλαστος, οὔτε ⸂ὡς⸃ πρὸς ταῦτα ἁφλῶς ἔχειν· ταυτὸν μὲν γὰρ ἂν ἦν τῇ ἀκολασίᾳ· ἀλλὰ τὸ ὡδὶ ἔχειν· ὁ μὲν γὰρ ἀγεννοῦς προαιρούμενος νομίζων ἀεὶ δεῖν τὸ παρὸν ἡδὺ διώκειν· ὁ δ' οὐκοίτου μέν, διώκει δέ· περὶ μὲν οὖν τοῦ δόξαν ἀληθῆ ἀλλὰ μὴ ἐπιστήμην εἶναι παρ' ἣν ἀκρατεύονται, οὐδὲν διαφέρει πρὸς τὸν λόγον· τινὲς γὰρ τῶν δοξαζόντων ἀδιστάζουσιν· ἀλλ' οἱ-

ονται ἀκριβῶς εἰδέναι· εἰ οὖν διὰ τὸ ἠρέμα πιστεύειν, οἱ δοξάζοντες μᾶλλον τῶν ἐπισταμένων παρὰ τὴν ὑπόληψιν πράξουσιν, οὐθὲν διοίσει ἐπιστήμη δόξης· ἔνιοι γὰρ πιστεύουσιν οὐθὲν ἧττον οἷς δοξάζουσιν· ἢ ἕτεροι οἷς ἐπίστανται· δηλοῖ δὴ ῥάκλειτος· ἀλλ' ἐπεὶ διχῶς λέγομεν τὸ ἐπίστασθαι, καὶ γὰρ ὁ ἔχων μὲν, οὐχρώμενος δὲ τῇ ἐπιστήμῃ· καὶ ὁ χρώμενος λέγεται ἐπίστασθαι, διοίσει τῶν ἔχοντα μὲν, μὴ θεωροῦντα δὲ, καὶ θεωροῦντα ἃ μὴ δεῖ πράττειν· τοῦτο γὰρ δοκεῖ δεινόν· ἀλλ' οὐκ εἰ μὴ θεωροῦν· ἔτι ἐπεὶ δύο τρόποι τῶν προτάσεων, ἔχοντα μὲν ἀμφοτέρας οὐδὲν κωλύει πράττειν παρὰ τὴν ἐπιστήμην, χρώμενον μέντοι τῇ καθόλου, ἀλλὰ μὴ τῇ κατὰ μέρος· πρακτὰ γὰρ τὰ καθ' ἕκαστα· διαφέρει δὲ καὶ τὰ καθόλου· τὰ μὲν γὰρ ἐφ' ἑαυτοῦ τὰ δὲ ἐπὶ τοῦ πράγματός ἐστιν· οἷον ὅτι παντὶ ἀνθρώπῳ συμφέρει τὰ ξηρά· καὶ ὅτι ὁ αὐτὸς ἄνθρωπος· ἢ ὅτι ξηρὸν τὸ τοιόνδε· ἀλλ' εἰ τόδε τοιόνδε, ἢ οὐκ ἔχει, ἢ οὐκ ἐνεργεῖ· κατά τε δὴ τούτους διοίσει τοὺς τρόπους ἀμήχανον ὅσον, ὥστε δοκεῖν οὕτω μὲν εἶναι μηδὲν ἄτοπον· ἄλλως δὲ θαυμαστόν· ἔτι τὸ ἔχειν τὴν ἐπιστήμην ἄλλον τρόπον τῶν νῦν ῥηθέντων, ὑπάρχει τοῖς ἀνθρώποις· ἐν τῷ γὰρ ἔχειν μὲν μὴ χρῆσθαι δὲ, διαφέρουσαν ὁρῶμεν τὴν ἕξιν, ὡς καὶ ἔχειν πῶς καὶ μὴ ἔχειν· οἷον τὸν καθεύδοντα καὶ οἰνωμένον ἀλλὰ μὴν οὕτω διατίθενται οἱ ἐντοῖς πάθεσιν ὄντες· θυμὸς γὰρ καὶ ἐπιθυμίαι ἀφροδισίων καὶ ἔνια τῶν τοιούτων, ἐπιδήλως καὶ τὸ σῶμα μεθιστᾶσιν· ἐνίοις δὲ καὶ μανίας ποιοῦσι· δῆλον οὖν ὅτι ὁμοίως ἔχειν λεκτέον τοὺς ἀκρατεῖς τούτοις· τὸ δὲ λέγειν τοὺς λόγους τοὺς ἀπὸ τῆς ἐπιστήμης, οὐδὲν σημεῖον· καὶ γὰρ οἱ ἐντοῖς πάθεσι τούτοις ὄντες, ἀποδείξεις καὶ ἔπη λέγουσιν ἐμπεδοκλέους· καὶ οἱ πρῶτον μαθόντες συνείρουσι μὲν τοὺς λόγους, ἴσασι δ' οὔπω· δεῖ γὰρ συνεῖναι· τοῦτο δὲ χρόνου δεῖ· ὥστε καθάπερ τοὺς ὑποκρινομένους, οὕτως ὑπολητέον λέγειν τοὺς ἀκρατευομένους·

ἔτι καὶ ὧ δι φυσικῶς αὐτὸς ἐπιβλέψει τὴν αἰτίαν· ἡ μὲν γὰρ καθόλου δόξα· ἡ δ' ἑτέρα περὶ τὰ καθ' ἕκαστά ἐστιν· ὧν αἴσθησις ἢ δὲ κυρία· ὅταν δὲ μία γένηται ἐξ αὐτῶν, ἀνάγκη τὸ συμπέρασμα θεμένου ἤδη μὲν φάναι τὴν ψυχήν· ἐν δὲ ταῖς ποιητικαῖς πράττειν εὐθύς· οἷον εἰ παντὸς γλυκέος πίνειν δεῖ, τοῦτο δὲ γλυκὺ ὡς τι καθ' ἕκαστον, ἀνάγκη τὸν δυνάμενον καὶ μὴ κωλυόμενον, ἅμα τοῦτο καὶ πράττειν· ὅταν οὖν ἡ μὲν καθόλου ἢ κωλύουσα πίνειν, ἢ δ' ὅτι πᾶν γλυκὺ ἢ δυνατὸν τοῦτο γλυκύ, αὕτη δὲ ἐνεργῇ, τύχῃ δὲ ἐπιθυμία οὖσα, ἡ μὲν λέγει φεύγειν τοῦτο, ἡ δὲ ἐπιθυμία ἄγει· κινεῖν γὰρ ἑκάστην δύναται τῶν μορίων, ὥστε συμβαίνει ὑπὸ λόγου πως καὶ δόξης ἀκρατεύεσθαι, οὐκ ἐναντίας δὲ καθ' αὑτὴν ἀλλὰ κατὰ συμβεβηκός· ἡ γὰρ ἐπιθυμία ἐναντία· ἀλλ' ὀρθὴ λόγῳ ὥστε καὶ διὰ τοῦτο τὰ θηρία οὐκ ἀκρατῆ, ὅτι οὐκ ἔχει καθόλου ὑπόληψιν· ἀλλὰ τὰ καθ' ἕκαστα φαντασίαν καὶ μνήμην· πῶς δὲ λύεται ἡ ἄγνοια καὶ πάλιν γίνεται ἐπιστήμων ὁ ἀκρατής· ὁ αὐτὸς δὲ λόγος καὶ περὶ οἴνου καὶ καθεύδοντος καὶ μεθύοντος· καὶ δὴ καὶ δι' ἡδονὴν φύγοντα τὸ πάθους· οὐ δεῖ ἁπλῶς τὰ φυσιολόγων ἀκούειν· ἐπεὶ δ' ἡ τελευταία πρότασις δόξα τὶ αἰσθητοῦ καὶ κυρία τῶν πράξεων, ταύτην οὐκ ἔχει ὁ τῷ πάθει οὖν, ἢ ὅπως ἔχει, ὡς δοκεῖν τὸ ἔχειν ἐπίστασθαι· ἀλλὰ λέγειν ὥσπερ ὁ οἴνῳ μόνον τὸ ἐμπεδοκλέους καὶ διὰ τὸ μὴ καθόλου μὴ δὲ ἐπιστημονικὸν ὁμοίως εἶναι δοκεῖν τὸ καθόλου τὸν ἕκαστον ὅρον· καὶ ἔοικεν ὁ ἐζήτει Σωκράτης συμβαίνειν· ὄντος γὰρ κυρίως ἐπιστήμης ἐνοῦσης παρούσης γίνεται τὸ πάθος· ὃ δὲ αὐτὴν περιέλκεται διὰ τὸ πάθος ἀλλὰ κατ' αἴσθησιν· περὶ μὲν οὖν τοῦ εἰδότα καὶ μὴ πῶς εἰδότα ἐνδέχεται ἀκρατεύεσθαι, τοσαῦτα εἰρήσθω· πότερον δ' ὅστις ἁπλῶς ἀκρατὴς ἢ πάντες κατὰ μέρος, ἢ εἴδεσί περὶ ἕκαστα, λεκτέον ἐφεξῆς· ὅτι μὲν οὖν περὶ ἡδονὰς εἰσὶν οἵ τε ἐγκρατεῖς καὶ καρτερικοὶ καὶ οἱ ἀκρατεῖς καὶ μαλακοί, φανερόν· ἐπεὶ δ' ἐστὶ τὰ μὲν ἀναγκαῖα τῶν ὑπαρχόντων ἡδέων, τὰ δ' αἱρετὰ μὲν οὐκ

αὐ τὰ

θ' αὐτὰ ἔχοντα δ' ὑπερβολὰ, ἀναγκαῖα μὲν τὰ σωματικὰ λέγω
δὲ τὰ τοιαῦτα, τά, τε περὶ τὴν τροφὴν καὶ τὴν τῶν ἀφρο-
δισίων χρείαν καὶ τὰ τοιαῦτα τῶν σωματικῶν περὶ ἃ τὴν
ἀκολασίαν ἔθεμεν καὶ τὴν σωφροσύνην· τὰ δ' οὐκ ἀναγκαῖα
μὲν, αἱρετὰ δὲ, λέγω δὲ οἷον νίκην· τιμήν· πλοῦτον καὶ τὰ τοι-
αῦτα τῶν ἀγαθῶν καὶ ἡδέων, τοὺς μὲν πρὸς ταῦτα παρὰ τὸν
ὀρθὸν λόγον ὑπερβάλλοντας τὸν ἐν αὐτοῖς, ἁπλῶς μὲν οὐ λέ-
γομεν ἀκρατεῖς· προστιθέντες δὲ τὸ χρημάτων ἀκρατεῖς, καὶ
κέρδους καὶ τιμῆς καὶ θυμοῦ· ἁπλῶς δ' οὔ· ὡς ἑτέρους καὶ κα-
θ' ὁμοιότητα λεγομένους· ὥσπερ ἄνθρωπος ὁ τὰ ὀλύμπια-
νικῶν· ἐκείνῳ γὰρ ὁ κοινὸς λόγος τοῦ ἰδίου μικρὰ διέφερεν· ἀλ-
λ' ὅμως ἕτερος ἦν· σημεῖον δὲ ἡ μὲν ἀκρασία ψέγεται οὐχὼς
ἁμαρτία μόνον, ἀλλὰ καὶ ὡς κακία τις ἁπλῶς οὖσα, ἢ κατὰ
μέρος τι· τούτων δ' οὐδείς· τῶν δὲ περὶ τὰς σωματικὰς ἀπο-
λαύσεις περὶ ἃς λέγομεν τὸν σώφρονα καὶ ἀκόλαστον, ὁ μὴ
τῷ προαιρεῖσθαι τῶν δὲ ἡδέων διώκων τὰς ὑπερβολὰς καὶ τῶν
λυπηρῶν φεύγων, πείνης καὶ δίψης καὶ ἀλέας καὶ ψύχους
καὶ πάντων τῶν περὶ ἁφὴν καὶ γεῦσιν, ἀλλὰ παρὰ τὴν προ-
αίρεσιν καὶ τὴν διάνοιαν, ἀκρατὴς λέγεται· οὐ κατὰ πρόσ
θεσιν ὅτι περὶ τάδε καθάπερ ὀργῆς ἀλλ' ἁπλῶς μόνον· σημεῖον
δὲ οἱ μαλακοὶ λέγονται περὶ ταύτας· περὶ ἐκείνων δ' ὀδεμίαν
καὶ διὰ τοῦτο εἰς ταυτὸ τὸν ἀκρατῆ καὶ τὸν ἀκόλαστον τίθεμεν,
καὶ ἐγκρατῆ καὶ σώφρονα· ἀλλ' οὐκ εἰνῶν οὐδένα· διὰ τὸ περὶ
τὰς αὐτὰς ἡδονὰς καὶ λύπας εἶναι· οἱ δ' εἰσὶ μὴ περὶ ταῦτα
ἀλλ' οὐχ ὡσαύτως εἰσὶν· ἀλλ' οἱ μὲν προαιροῦνται· οἱ δ' οὐ προαι-
ροῦνται· διὸ μᾶλλον ἀκόλαστον ἂν εἴποιμεν, ὅστις μὴ ἐπιθυ-
μῶν ἠρέμα διώκει τὰς ὑπερβολὰς καὶ φεύγει μετρίας λύ-
πας, ἢ τοῦτον ὅστις διὰ τὸ ἐπιθυμεῖν σφόδρα· τί γὰρ ἂν
ἐκεῖνος ποιήσειεν, εἰ προσγένοιτο ἐπιθυμία νεανική· καὶ πε-
ρὶ τὰς τῶν ἀναγκαίων ἐνδείας λύπη ἰσχυρά· ἐπεὶ δὲ τῶν

ἐπιθυμιῶν καὶ τῶν ἡδονῶν, αἱ μὲν εἰσὶ τῶν γένει καλῶν καὶ
σπουδαίων, τῶν γὰρ ἡδέων ἔνια φύσει αἱρετά· τὰ δ' ἐναντία
τούτων, τὰ δὲ μεταξὺ καθάπερ διειλόμην πρότερον οἷον
χρήματα καὶ κέρδος, καὶ νίκη· πρὸς πάντα δὲ ϛ τὰ τοιαῦτα
καὶ τὰ μεταξὺ, οὕτω πάσχειν καὶ ἐπιθυμεῖν καὶ φιλεῖν ψέγονται.
ἀλλὰ τῷ πῶς ϛ ὑπερβάλλειν· διὸ ὅσοι μὲν παρὰ τὸν λόγον
ἢ κραφῦνται ἢ διώκουσι τῶν φύσει τί καλῶν ἢ ἀγαθῶν οἷον
εἰ περὶ τι μὴν μᾶλλον ἢ δεῖ σπουδάζοντες ἢ περὶ τέκνα καὶ
γονεῖς· καὶ γὰρ ταῦτα τῶν ἀγαθῶν· ϛ ἐπαινοῦνται οἱ περὶ ταῦ-
τα σπουδάζοντες, ἀλλ' ὅμως ἔστι τις ὑπερβολὴ καὶ ἐν τούτοις,
εἴ τις ὥσπερ ἡνιόβη μάχοιτο πρὸς τοὺς θεούς· ἢ ὥσπερ ὁσάτυ-
ρος ὁ φιλοπάτωρ ἐπικαλούμενος, περὶ τὸν πατέρα· λίαν γὰρ
δοκεῖ μωραίνειν· μοχθηρία μὲν οὖν ἀδεμία περὶ ταῦτ' ἐστὶ διὰ
τὸ εἰρημένον· ὅτι φύσει τῶν αἱρετῶν ἕκαστόν ἐστι δι' αὐτό· φαῦ-
λαι δὲ καὶ φευκταὶ αὐτῶν εἰσὶν αἱ ὑπερβολαί· ὁμοίως δὲ οὐ
